θηλυμανὲς τ' ἀλκμᾶνος ἀηδόνες, ἵλατε. πάσης
ἀρχὴν οἳ λυρικῆς καὶ πέρας ἐσπάσατε.

Εἰς τοὺς ἐννέα λυρικούς.

Ἔκλαγεν ἐκ θηβῶν μέγα Πίνδαρος. ἔπνεε τερπνὰ
ἡδυμελιφθόγγου μοῦσα Σιμωνίδεω.
λάμπει Στησίχορός τε, καὶ Ἴβυκος. ἦν γλυκὺς Ἀλκμάν.
λαρὰ δ' ἀπὸ στομάτων φθέγξατο Βακχυλίδης.
πειθὼ Ἀνακρείοντι συνέσπετο. ποικίλα δ' αὐδᾷ
Ἀλκαῖος κύκνος Λέσβιος αἰολίδι.
ἀνδρῶν δ' οὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
ἐν μούσαις, δεκάτη μοῦσα καταγράφεται.

Εἰς Σαπφώ, Ἄδηλον.

Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν ἥρης
Λεσβίδες, ἁβροπόδων βήματ' ἐρεισάμεναι.
ἔνθα καλὸν στήσασθε θεῇ χορόν. ὕμμι δ' ἀπάρξει
Σαπφώ, χρυσείην χερσὶν ἔχουσα λύρην.
ὄλβιαι ὀρχηθμοῦ πολυγηθέος, ἦ γλυκὺν ὕμνον
εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.

Πλάτωνος.

Ἐννέα τὰς μούσας φασίν τινες· ὡς ὀλιγώρως.
ἠνὶ δὲ καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

Ἄδηλον.

Λέσβιον Ἠρίννης τόδε κηρίον· εἰ δέ τι μικρόν,
ἀλλ' ὅλον ἐκ μουσέων κιρνάμενον μέλιτι.
οἱ δὲ τριηκόσιοι ταύτης στίχοι ἶσοι Ὁμήρῳ,
τῆς καὶ παρθενικῆς ἐννεακαιδεκέτευς.
ἣ καὶ ἐπ' ἠλακάτῃ μητρὸς φόβῳ, ἣ καὶ ἐπ' ἱστῷ
ἑστήκει, μουσέων λάτρις ἐφαπτομένη.
Σαπφὼ δ' Ἠρίννης ὅσσον μελέεσσιν ἀμείνων,
Ἤριννα Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις.

Ὡς ἀπὸ τῆς βίβλου Λυκόφρονος.

Οὐκ ἂν ἐν ἀμετρήτοισι πολυγνάμπτοις λαβυρίνθοις
ῥηϊδίως προμόλοις ἐς φάος, ἄν κε τύχῃς.
τοίους γὰρ Πριαμὶς Κασσάνδρη φοίβασε μύθους,
ἄγγελος οὓς βασιλεῖ ἔφρασε λοξοτρόχις.
εἰ δ' ἐστί σε φίλατο Καλλιόπη, λάβε μ' ἐς χέρας. ἢν δὲ
νῆϊς ἔφυς μουσέων, χερσὶ βάρος φορέεις.

Ἄδηλον.

Ἀρχιλόχου τάδε μέτρα, καὶ ἠχήεντες ἴαμβοι,
θυμοῦ, καὶ φοβερῆς ἰὸς ἀπεχθολίης.

Ἄδηλον.

Βίβλοι Ἀριστοφάνευς, θεῖος πόνος. αἷσιν Ἀχαρνεὺς
κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνὶ δ' ὅσον Διόνυσον ἔχει σελίς, οἷα δὲ μῦθοι
ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ Ἑλλάδος ἤθεσιν ἶσε
κωμικέ, καὶ στύξας ἄξια, καὶ γελάσας.

Ἄδηλον.

Αὐταὶ αἱ ἐσομάτεσσιν ἀνεγράψαντο μέλισσαι
ποικίλα μουσάων ἄνθεα δρεψάμεναι.

αὐταὶ

αὐταὶ καὶ χάριτές σοι ἐδωρήσαντο Μένανδρε,
σωμύλον εὐτοχίην δράμασιν ἐνθέμεναι.
ζώεις δ' εἰς αἰῶνα, τὸ δὲ κλέος ἐστὶν ἀθήναις
τοὐκ σέθεν, οὐρανίων ἁπτόμενον νεφέων.

Ἀντιπάτρου θεσσαλοῦ.

Ἀρκεῖ τέττιγας μεθύσαι δρόσος, ἀλλὰ πιόντες,
ἀείδειν κύκνων εἰσὶ γεγωνότεροι.
ὣς καὶ ἀοιδὸς ἀνὴρ ξενίων χάριν ἀνταποδοῦναι,
ὕμνους εὐέρκτους οἶδε παθὼν ὀλίγα.
τοὔνεκά σοι πρώτως μὲν, ἀμειβομένην δ' ἐθέλουσι
μοῖραν, πολλάκι μου κείσεται ἐν σελίσιν.

Καλλιμάχου.

Ἦλθε Θεαίτητος καθαρὴν ὁδόν. εἰ δ' ἐπὶ κισσὸν
τὸν τεὸν, οὐχ αὕτη Βάκχε κέλευθος ἄγει.
ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
φθέγξονται, κείνου δ' ἑλλὰς ἀεὶ σοφίαν.

Τοῦ αὐτοῦ.

Μικρή τις Διόνυσε καλὰ πρήσσοντι ποιητῇ
ῥῆσις. ὁ μὲν, νικῶ φησὶ τὸ μακρότατον.
ᾧ δὲ σὺ μὴ πνεύσῃς ἐνδέξιος, ἤν τις ἔρηται
πῶς ἔβαλες, φησὶ σκληρὰ τὰ γιγνόμενα.
τῷ μερμηρίξαντι τὰ μὴ ἔνδικα, τοῦτο γένοιτο
τοὔπος, ἐμοὶ δ' ὦναξ ἡ βραχυσυλλαβίη.

Ὅσαι μοῦσαι, καὶ οἷαι.

Καλλιόπη, σοφίην ἡρωΐδος εὗρεν ἀοιδῆς.
κλειὼ, καλλιχόρου κιθάρης μελιηδέα μολπήν.
εὐτέρπη, τραγικοῖο χοροῦ πολυηχέα φωνήν.
μελπομένη, θνητοῖσι μελίφρονα βάρβιτον εὗρε.
τερψιχόρη χαρίεσσα, πόρεν τεχνήμονας αὐλούς.
ὕμνους ἀθανάτων ἐρατὼ πολυτερπέας εὗρε.
τέρψιας ὀρχηθμοῖο Πολύμνια πάνσοφος εὗρεν.
ἁρμονίην πάσαισι Πολύμνια δῶκεν ἀοιδαῖς.
οὐρανίη, πόλον εὗρε, καὶ οὐρανίων χορὸν ἄστρων.
κωμικὸν εὗρε Θάλεια βίον τε, καὶ ἤθεα κεδνά.

Εἰς τὰς αὐτάς.

Οὐκ ἴδε τερψιχόρην ὁ ζωγράφος, ἀλλ' ἀπὸ τέχνης
ψεύδεται ὀφθαλμοὺς, εἴκελος ἀτρεκίῃ.
Εἴποτε τερψινόοιο φίλος φόρμιγγος ἀκούσεις,
τὴν ἐρατὼ θαύμαζε τόσης εὑρήτορα τέχνης.
εὐτέρπη δονάκεσσι πολυτρήτοισι λιγαίνει,
πνεῦμα σοφῆς ὀχετηγὸν ἐπισπείρουσα μελίσσης.
κωμικὸν ἀμφιέπω Θάλεια μέλος. ἔργα δὲ φωτῶν
οὐχ ὁσίων θυμέλῃσι φιλοκροτάλοισιν ἀθύρω.
εἰκόνα σῆς σοφίης ποτιδέρκεο. Καλλιόπης γὰρ
εἰκόνα σῇ κραδίῃ λάμβανε τὴν σοφίην.
Δαφνοκόμοις Φοίβοιο παρὰ τριπόδεσσι κελεύω
Κλειὼ μαντοσύνης μοῦσα, καὶ ἱστορίης.

Οὐρανίη ψήφοισι θεορρήτῳ τινὶ μέτρῳ
ἀστρῴην ἐδίδαξα πολυδίνητον ἀνάγκην.
Σκέπτεο χαλκεόφωνον ὑπασθρύχουσαν ἀοιδὴν,
Μελπομένην, βραχίστορα δυσπίης.
Σιγῶ φθεγγομένης παλάμης θελξίφρονα παλμὸν
νεύματι φωνήεσσαν ἀπαγγέλλουσα σιωπήν.

Κριναγόρου.

Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε· δὴ γὰρ ἐπ' αὐτῷ
ἀνὴρ τῶν μουσέων πάντας ἔσεισε κάλως.
ἀείδει δ' Ἑκάλης τε φιλοξείνοιο καλιὴν,
καὶ Θησεῖ μαραθὼν οὓς ἐπέθηκε πόνους.
τοῦ, σοι καὶ νεαρῶν χειρῶν σθένος εἴη ἀρέσθαι,
Μάρκελλε, κλεινοῦ τ' αἶνον ἴσον βιότου.

Ἀδήλου.

Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς·
αἴτιος ὁ γράψας αἴτια Καλλιμάχου.

Ἀδεσπότου.

Ἡρόδοτος μούσας ὑπεδέξατο, τῷ δ' ἄρ' ἑκάστη
ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.

Ἀδήλου.

Ἡσιόδου ποτὲ βίβλον ἐμαῖς ὑπὸ χερσὶν ἑλίσσων,
πύῤῥην ἐξαπίνης εἶδον ἐπερχομένην.
Βίβλον δὲ ῥίψας ἀπὸ γῆν χερὶ, τοῦτ' ἐβόησα,
ἔργα τί μοι παρέχεις ὦ γέρον Ἡσίοδε;

Ἀδήλου.

Νόννος ἐγὼ, Πανὸς μὲν ἐμὴ πόλις. ἐν φαρίῃ δὲ
ἔγχει φοινήεντι γονὰς ἤμησα γιγάντων.

Λεωνίδου.

Ἦν ὁπότε γράμμασιν ἐμὴν φρένα μοῦνον ἔτερπον,
οὐδ' ὄναρ εὐγενέτας γνώριμος ἰταλίδας.
ἀλλὰ τὰ νῦν πάντεσσιν ὁράσιμος. οὐδὲ γὰρ ἔγνων
ὁππόθεν οὐρανίην Καλλιόπη προφόρει.

ἄστρα. astra & stellas. ἔμπυρος ἥλιος. Heraclito & stoicis accedit Leonidas, talem quoq; esse probare nititur Cleomedes ne Rhetorice quidem mathematicus nō modo dialectice, quanquā nec oculis priuatos Higiniū & Empedoclē fuisse certo scimus, quorū hic ἥλιον μὲν λευκὸν ὁρᾶν (nisi cū Simplicio atq; alijs θερμὸν aut λαμπρὸν legas) pronunciat, ille album esse censet, per se sic enim accipio, nam interiecto qui obstat crasso aere rutili speciem præbet. Galenus. μὲν ἔστι τοῖς ὀφθαλμοῖς ἥδιστον θέαμα τὸ κυανοῦν, ὥσπερ ὀδυνηρότατον τὸ, τε λαμπρὸν καὶ λευκὸν οἷον ὁ ἥλιος. Ego tamen iucundissimum oculis colorem uiridem, eosq; maxime recreare ac reficere arbitror, id quod ipso uisu aspectúque non impedito sano & ualenti apparet, cui in eo genere fidem maiorem habeo, quàm Logodædalorum sensibus nos orbantium, enthymematibus. Philosophiæ patri obstrepentes spinosi rabulæ emendicatis terrenis marinisque

uaporibus

temporibus Apollinem ne sumptuarias leges irritas faciat uictitare uôciferantur, poetis medius fidius uaniores omnibus ex æquo dijs ambrosiam & nectar apponentibus: nec soli desunt in caritate annonæ boum greges quibus in Sicilia epuletur non stipem cogat. ἀνδροφάγχος ἐπιθρίων. Iliad. χ. & ω. ἐκ βάθρων. à fundamentis. ἀιάντειον. Aiacis. ἀπὸ στεφάνης. στεφάνας τείχους ἐπάλξεις. Hesychio mœnium pinnæ & propugnacula. Architecti στεφάνην murulum esse dicũt qui in circulo tectorũ fit ne quis in preceps labatur: loriculam quidam appellant. Leo Albertus pro summo parietis usurpauit. πόλι@. Troiæ. ἵππων. Achillis. δηρὸν μία πατρίς. non tantum septem urbes, Smyrna, Colophon, Ios, Rhodus, Athenæ, Argos, Salamis, apud se natum Homerũ digladiantur, uerumetiam Cumæ, Thebæ Aegyptiæ, Chios, Lydia, Ithaca, Creta, Babylon. Roma quoq; ne quid ineptiarũ deesset ciuem esse suũ uendicat. euocauit umbras Appion grãmaticus ad percunctandum qua patria quibus ue parentibus genitus esset. Syrum fuisse credit Meleager, quod is pro patriȩ consuetudine antiquos piscibus uescentes nunquam introduxerit. neq; tamen Syri omnes à piscium esu abstinebãt, sed superstitiosi ut refert Plutarchus περὶ δεισιδαιμονίας: & ij tantũ qui Astarten deam quibusdam Atargaten Derceto & Atharam, Opẽ Phurnuto, lunam Luciano, Ciceroni & quãplurimis uenerem, in cultum receperãt. testis est Artemidorus. pete Higinium lib. signo. cœl. 2. in piscibus & pisce notio, & Plautum in Mercatore. γαίης ἀμφοτέρης. Asiæ & Europæ. hoc est uniuersæ. κεύθετε. occulitis, continetis. δεκέτους. decennalis. ἐνδέκα πιερίδας. nouem Musis Iliadem & Odysseam immiscens, ut undecim posthac predicentur. ἀγρέχοιδί ζ. piscatores percũctatur Homerus. ὅσσ' ἕλομεν. Herodotus in uita Homeri. ἀρσβέσει. extinguet. φαιδρὴν. Lucidam. γλυκύ. non salsum. καὶ νέκυς. Mortui. ἤειδον. canebam ego. ἐχάραξε. stylo impressit. scripsit. πρηξίλλαν. Sicyone Pelopõnesi oppido nata est Praxilla, quæ Lyrica cõposuit. μυρώ. Suidas & Varinus. Hæc forte est Homeri Byzantini mater, quæ ob hymnum Neptuni ab ea editũ magna in gloria fuit. Christodorus. infra lib. ς. εἰς ὅμηρον. ἀλλ' οὐ θρηίκιοισι παρ' ἠόσι γένετο μήτηρ μυρὼ κυδαλίμη βυζαντὶς aut Rhodia. μοιρὼ apud Athenæũ lib. 11. male excusum est. αὐτῆς σῶμα. Pausanias. ὁ ἐν τῷ ἀπόλλωνι πέμπει θεὸς αὐτὴν τῶν ποιῶ ἀείδειν τὰ ἔπη. Huius in hisce libris aliquot epigrammata uidemus. τελέσιλλαν. Pausanias in Corinthia. ὑπὲρ τοῦ θεάτρου δὲ τὸ ἕδος, τελέσιλλα ἡ ποιήσασα τὰ ᾄσματα ἐπείργασται στήλῃ. καὶ βιβλία μὲν ἐκεῖνα ἔρριπται οἱ πρὸς τοῖς ποσίν. αὐτὴ δὲ κράνος ὁρᾷ κατέχουσα τῇ χειρὶ καὶ ἐπιτίθεσθαι τῇ κεφαλῇ μέλλουσα, &c. Lucianus in Amoribus οὐχ ἡ σπαρτιάταις ἀνθωπλισμένη τελέσιλλα, δι' ἣν ἐν ἄργει θεὸς ἀριθμεῖται γυναικῶν ἄρης. Suidas in uocabulo τελέσιλλα, & Plutarchus in commentario cui titulum nuncupauit γυναικῶν ἀρεταί. Telesillæ quam citat Athenæus meminerunt. harum omnium Tatianus in oratione quadã contra Græcos. καὶ σὲ κόριννα. Corinna Thebana aut Tanagræa Pindarũ in certamine Lyrico auditorũ inscitia superauit. fuit & altera Thespia aut Corinthia. Plutarchus. ἡ δὲ κόριννα τὸν πίνδαρον ὄντα νέον ἔτι καὶ τῇ λογιότητι σοβαρῶς χρώμενον, ἐνουθέτησεν ὡς ἄμουσον ὄντα καὶ μὴ ποιοῦντα μύθους, ὃ τῆς ποιητικῆς ἔργον εἶναι συμβέβηκε. Pausanias in Bœot. κορίννης δὲ ἣ μόνη δὴ ἐν τανάγρᾳ ᾄσματα ἐποίησε, ταύτης ἐστὶ μὲν μνῆμα ἐν περιφανεῖ τῆς πόλεως. ἔστι δὲ ἐν τῷ γυμνασίῳ γραφὴ ταινίᾳ τὴν κεφαλὴν ἡ κόριννα ἀναδουμένη τῆς νίκης ἕνεκα. ὅτι πίνδαρον τῇ φωνῇ τῇ αἰολίδι ᾖδεν ὁ πίνδαρ@, ἀλλὰ ὁποίᾳ συνήσειν ἔμελλον αἰολεῖς. καὶ ὅτι ἦν γυναικῶν τότε ἤδη καλλίστη τὸ εἶδ@, εἴ τι ἐπὶ εἰκόνι δεῖ τεκμαίρεσθαι. uide Suidam. Eustathius Iliad. β. Theano & Charixenam his agglutinat. ἀθηναίης ἀσπίδα. Homeri exemplo Mineruæ parmam Iliad. ε. &

scutum

scutum Achillis eiusdem operis σ. fabrefacientis, aut Hesiodi in Herculis clypeo copiosissimi. μύρτιν. Suidas. Huius mulieris discipulus fuit Pindarus. Plutarch. in Elleni. ὡς μύρτις ἡ ἀνθηδονία ποιήτρια μελῶν ἱστόρηκεν. de alijs suo loco. σελίδων. operum, librorum. ἐννέα δ' αὐτάς. quas enumerauit. μοῦσαν. musam. πίνδαρε. Huic de nouem Lyricis poetis epigrãmati lucem adfert Suidas in eorum nominibus. Quintilianus lib. 10. Athenæus 13. & nobilissimi illi Græcorũ πρωτολεγέων. ἐννέα τῶν πρώτων &c. σειρήν. sirenum cantum æmulans. ὅς τε. & tu Stesichore qui ἀπὸ ῥεύματα ἔσπασας. πειθοῦς, leporis in scribendis uersibus. αἷμα τυράννων. Aristoteles Politico. 3. εἵλοντό ποτε μιτυληναῖοι πιττακὸν πρὸς τοὺς φυγάδας, ὧν προειστήκεσαν ἀντιμενίδης καὶ ἀλκαῖος ὁ ποιητής. δηλοῖ δ' ἀλκαῖος ὅτι τύραννον εἵλοντο τὸν πίττακον, ἔν τινι τῶν σκολιῶν. Strabo lib. 13. ἐτυραννήθη δὲ ἡ πόλις κατὰ τοὺς χρόνους τούτους ὑπὸ πλειόνων, διὰ τὰς διχοστασίας, καὶ τὰ διχοστασικὰ ποιήματα τοῦ ἀλκαίου, περὶ τούτων ἐστίν. ἐν δὲ τοῖς τυράννοις καὶ ὁ πίττακος ἐγένετο. Horatij in odam lib. primi carminũ 32. & secundi 13. commentarij, & Herodotus in Tersipicore. ἀηδόνων. dulces cantus, mollia scripta. ἔκλαγεν. ἐκ θηβῶν. uel ἔκραγεν. αἰολίδι. Lesbio. supra σαπφοῦς τ' αἰολίδος χάριτες. καλλίοπης. quam omnibus musis anteponit Hesiodus. αὐροπέδων. emenda ἁβρὰ πεδῶν. θεᾷ. Iunoni. ὕμμ. uobis. ὕμμι δ' ἀπάρξει. uestrum omnium prima erit Sapho chorum ducens. ἦ. siquidem. ὡς ὀλιγώρως. quã negligẽter & supine. λέσβιον ἤρινναν. Eustathius. ἰστέον δὲ ὡς ἡ ἤριννα, λεσβία μὲν ἦν. ἢ ῥοδία, ἢ τηΐα ἢ τηλία ἐκ τήλου νησιδίου ἐγγίζοντος τῇ κνίδῳ. ποιήτρια δὲ ἦν. καὶ ἔγραψε ποίημα ἠλακάτην, αἰολίδι γλώσσῃ καὶ δωρίδι, ἐν ἔπεσι τριακοσίοις. ἦν δὲ ἑταίρα σαπφοῦς. καὶ ἐτελεύτησε παρθένος. οἱ δὲ στίχοι αὐτῆς, ἐκρίθησαν ὁμαλοὶ τοῖς ὁμήρου. ἀπῆλθε δὲ γυναικοφιλέστης. αἰνίσσεται δὲ τὴν ῥηθεῖσαν καὶ τὸ εἰς αὐτὴν ἐπίγραμμα. λέσβιον ἠρίννης τόδε κηρίον. Eadem Suidas. κηρίον. fauus, mellitũ opusculum ἁδύ. suaue. οὐδὲ τριηκόσιοι Eustathius. οἰδέ. & ἐφ' ἴσῳ non ἐπ' ἴσῳ. legit. μελέεσσιν ἀμείνων. Lyricorum uersus μέλη maxime dicuntur, & inde Melici seu Lyrici poetæ non ex iucunditate carminis nuncupati. μέλος ὁ τῆς φωνῆς ῥυθμὸς quibusdam est. Platoni τὸ μέλος ἐκ τριῶν ἐστὶ συγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ. Gellius longiorem uocis mensuram ῥυθμὸν, altiorem μέλος, M. Tullius quicquid sub aurium mensuram cadit ῥυθμὸν, id est numerum uocat. Capella. numerum autem marem esse, melos esse fœminam nouerimus. etenim melos materies est, quæ sine propria figura censetur. Rhythmus autem opere quodam uirilis actus tam formam sonis, quàm uarios præstitit effectus. Hermogenes. πάλιν οὖν σχήματά τε ἐστί τινα καὶ κῶλα, συνθέσεις τε καὶ ἀναπαύσεις καὶ τὸ ἐξ ἀμφοῖν τούτοιν συνιστάμενον ὁ ῥυθμός. ἡ γὰρ ποιὰ σύνθεσις τῶν τοῦ λόγου μερῶν, καὶ τὸ ὡδίπως ἀναπεπαῦσθαι τὸν λόγον, ἀλλὰ μὴ ὡδί, ποιεῖ τὸ τοιόνδε, ἀλλὰ μὴ τοιόνδε εἶναι τὸν ῥυθμόν. quem modũ Latine dici putat Censorinus. λαβυρίνθοις. inexplicabilibus difficultatibus. Labyrinthũ dici putant quia λα sit particula, uocum intendens notiones, & βύειν obturare signet, ac claudere, ex quo & λαβυρινθώδες pro flexuoso positum. de Labyrinthis lege Herodotum & Plinium. φάος. lucem. αἴκε τύχης. si in his uerseris. κασσάνδρη. Cassandra uetustissimis Cassantra. Hæc & Alexandra à Lycophrone & Luciano in Lexiphane appellatur. Suidas. ἔγραψε δὲ καὶ τὴν καλουμένην ἀλεξάνδραν, τὸ σκοτεινὸν ποίημα. Pausanias. τὴν δὲ ἀλεξάνδραν οἱ μὲν ἀμυκλαεῖς κασσάνδραν τὴν πριάμου φασὶν εἶναι. φοιβάζει μύθους. Ex ipso Lycophrone. δάφνην φαγὼν φοιβάζειν ἐκ λαιμῶν ὄπα. παρόσον ἡ δάφνη (inquiunt) ἐνεργεῖ πρὸς τὸν ἐνθουσιασμὸς. ὁ διὰ τῶν δάφνης ἐχρῶντο αἱ ἐνθαδὶ τῇς μάντεσι παραδίδοσθαι. Tibullus: uera cano, sic usq; sacras innoxia laurus uescar, nec id quidem fortassis incredibile. Athenæus. dipnos. 4. ὅτι λέβης ἦν τοῖς παλαι

καὶ φύλλα δάφνης τραγηματίζεσθαι, καλλίας ἢ διοκλῆς ἐν τοῖς κύκλωψιν φησὶν οὕτως. At Lycophronis interpres. ὅθεν λέγουσι, ὅτι καὶ οἱ μάντεις διὰ εὐφροσύνην ἀπόλλωνος δάφνης ἤσθιον. ὁ ταῦτα μὲν τὰ ληρώδη καὶ μυθικά. λοξοβόχις. in obliquas & tortuosas ambages excurrens. sermone tenebricoso utens. καλλιόπη. Musæ. ἰὸς. sagittæ aut uenenum. ἐπεσβολίης. maledictorum. conuiciorum iaculationis. ἀχαρνεὺς κισσός. Pausanias in Atticis. ἔστι δὲ ἀχαρναὶ δῆμος. οὗτοι δὲ θεῶν ἀπόλλωνα τιμῶσιν ἀγυιέα καὶ ἡρακλέα. καὶ ἀθηνᾶς βωμός ἐστιν ὑγείας. τὴν δὲ ἱππίαν ἀθηνᾶν ὀνομάζουσι καὶ διόνυσον μελπόμενον, καὶ κισσὸν τὸν αὐτὸν θεόν, τὸν κισσὸν τὸ φυτὸν ἐνταῦθα πρῶτον φανῆναι λέγοντες. Et Statius Thebaidos 12. Queque rudes Thyrsos hederis uestitis Acharnæ. propterea ἀχαρνεὺς appellatur. infra lib. 3. ἀχαρνίτης κισσὸς βρέμιον. ἀχαρνίτης ἀθηνόθεν exposuit Suidas. Acharnæ autem circiter septem passuum millia Athenis absunt, cuius uici incolæ in Comœdia Aristophanis quam Acharnes inscripsit, εἰ πρεσβύτες, πρίνινοι ab eo nominantur. quod autem duobus post uersibus subdidit comicus, τῶν ἀμπέλων τετμημένων, ut plane capias adeundus tibi est lib. 2. Thucydidis. κώμων. Aristophanis caput. ἐκ διονύσου. Comicos sales. agebantur nanque liberalibus seu Dionysiis comœdiæ: aut quam in his apta sunt & conuenientia omnia. prouerbiū est οὐδὲν πρὸς διόνυσον. ὦ καὶ θυμὸν ἄριστε. magnanime. ἐλλάδιος ἤθεσιν. facetis. dicacibus. cauillantibus. ὁ generose & salse comice. facetissimū uocat Cicero. εἰ ξας. qui malos & perniciosos ciues punxit. ἀνηρέψαντο. uel ἀνηρείψαντο. in os tuum deciderunt, aut in ore consederunt. τοὐκ στέθεν. τὸ ἐκ στέθεν. ἀθηναῖος. fuit enim Atheniensis Menander, ac iuxta Pyræum sepultus, quem miris in cœlum effert laudibus. Quintilianus lib. 10. Suidas & Plutarchus ἐν ἐπιτομῇ τῆς συγκρίσεως ἀριστοφάνους καὶ μενάνδρου. ἀλλὰ πιόντες. ut rore tantum hausto, suauiter cātillantes cicadæ uiatores & pastores mirifice oblectant, sic poetę quamlibet modicis affecti meritis &c. ἀείδειν. canendo. γηγαρύτεροι. uocaliores. dulciores sonos emittūt. ὕμνους. ξεινίων χάριν. εὐεργέταις. bene meritis. παθὼν ὀλίγα. paruo beneficio & commodo affectus. κεῖσεται. χάρις. ἀμειβομένη δ' ἐθέλουσι μοῖραι. est parēthesis. θεαίτητος. Theætetus Platonis discipulus cuius meminit in Crātore Laertius. καθαρὴν ὁδόν. Carmen elaboratum condens nō ad uulgi plausum & ostentationem. εἰ δ' οὐκ ἐκισσώθη. Si (uel ἢδ' ὕθι) ad poeticum nomen promerendum nō eadem est uia. nam eorū qui in certaminibus poeticis aut gymnicis uictores à preconibus denuntiantur gloria plerūq; è uestigio deperit: doctorum uero hominum & Phœbo digna locurorum, quorum in numero est Theætetus, laudis & doctrinæ monumenta nunquam intermoriuntur, nec excidunt. μικρὴ ῥῆσις. Hæc scilicet νικῶ. καλὰ πρήσσοντι. bona carmina edenti, uictori. τὸ μακρότατον. eum qui φησὶ σέλας ἐκ τῶν γιγνόμενα. ὡς δὲ σύ. ὦ reponendū aut supplendū. πῶς ἔβαλες. metaphora ab athleta aut sagittario. ῥημάτων ἄγαν. prolixiora quàm res patiatur. Is iterū longa & obliqua oratione fortunam suam doleat. mihi autem breue & tornatum carmen componenti ἡ βραχυσυλλαβίη γίνοιτο. id est νικῶ. ἡρωΐδος. Heroas fortesq; uiros laudantis. τραγικοῖο χόρου. Tragœdiam Atheniensium esse inuētum Plato in Minoe existimat. ἡ δὲ τραγῳδία ἐστὶ παλαιὸν ἐνθάδε. οὐχ ὡς οἴονται ἀπὸ θέσπιδος ἀρξαμένη, οὐδ' ἀπὸ φρυνίχου. ἀλλ' εἰ θέλεις ἐννοῆσαι πάλαι παλαιὸν αὐτὸ εὑρήσεις ἐν τῇ πόλει τῆσδε τῆς πόλεως εὕρημα. κωμικὸν εὗρε. Comœdia παρὰ τὸ κωμάζειν dicta est, alij ἀπὸ τῶν κωμῶν deriuant. Tu consule Aristotelem περὶ ποιητικῆς. ubi & tragœdiæ meminit. εἰκελος. Terpsichoræ hæc uere est similis. τερψινόοιο. animū delectantis. φίλος. Amice. ὀχετηγόν. spiritum quasi riuum ducētem & irrigantem. ψυχὴ δὲ φαίνεται οὐχ ὁσίων. præstabant hoc uetus & media comœdia, hæc ob-

scure & caute, illa aperte in Cleones & Hyperbolos uni archonti parcens inue
hebat. καὶ οὐκ ἐξὸν τεθνηκότας κωμῳδεῖν ait Aristophanis glossographus, tametsi
quin uita defunctis hominibus malediceret ac laruis obganniret Aristopha-
nem sibi imperare non potuisse conspicimus. noua lenones, parasitos & pro-
stibula lacerat. ἔθος γὰρ ἦν ( inquiunt quod prætereundum nõ duxi) τοῖς κωμι-
κοῖς ὅμοια τὰ πρόσωπα ποιεῖν τοῖς κωμῳδουμένοις, ἵνα φανεροὶ ὦσι ὑπὸ αὐτῶν, καὶ περι-
θέσθαι τοῖς ὑποκριταῖς. φιλοκροτάλοισιν. Plausum amantibus, δαφνοκόμοις. lau-
ro coronatis. ψήφοιο. Calculi. rationis mathematicæ. παλινδίνητον reciproco mo
tu se uersantem, aut stato quodam ordine se uoluentem. χαλκεόφωνον. forti fer-
reaque uoce. Homerus. Iliad. ε. στέντορι εἰσαμένη μεγαλήτορι χαλκεοφώνῳ. φθεγγομένης
παλάμης. Lucianus περὶ ὀρχήσεως. τορευτόν. tornatum, limatũ & elegans. ὠνήρ.
ὁ ἀνήρ. Callimachus. ἔσεισε κάλως. Erasmi Chiliades in Adagio rudentem om
nem mouere. ἑκάλης φιλοξείνοιο. Hecale anicula Theseum adolescentem comi
ter hospitio suscepit, ei apud Callimachum Sonchon & Crethmum herbas pa-
rans. Apuleius: Theseus non est aspernatus Hecales anus hospitiũ. id est mulie
ris pauperrimæ. Plautus in Cistella. nunquã Hecale fies. Ouid. de Rem. Amo.
cur nemo est Hecalen nulla est quæ cœperit Irum, Nempe quod alter egẽs, al-
tera pauper erat. Suidas Heroidem uocat. Plutarchus in Theseo id omne som-
nium putat. ἡ δὲ ἑκάλη καὶ τὸ περὶ αὐτὴν μυθολόγημα. Callimachum in Hecale o-
pusculo adducit Athenæus dipnos. 2. Apollonij Argonaut. α. Pindari hymno
nemeo. α. glossematarij, & Suidas in uocabulis. σάθρον. κωμῆται. μύωψ. μαραθών.
Taurus Marathonius. Plutarchus in Theseo. ὁ δὲ θησεὺς ἐνεργὸς εἶναι βουλόμενος,
ἅμα δὲ καὶ δημαγωγῶν, ἐξῆλθεν ἐπὶ τὸν μαραθώνιον ταῦρον, οὐκ ὀλίγα πράγματα τοῖς
οἰκοῦσι τὴν τετράπολιν παρέχοντα, καὶ χειρωσάμενος ἐπεδείξατο ζῶντα διὰ τοῦ ἄστεος
ἐλάσας. τοῦ. cuius Thesei ἔφ. tibi eueniat. ἄθλος. nam taurum marathoniũ sub-
egit, & suem Crommyoniam. Sinnim & Scironem latrones importunos ne-
cauit. κανοῦ. Thesei. alij κλεινοῦ. ἴσον βιότου. Optat Crinagoras ut Marcellus ali-
quando non minus fortis sit quam Theseus nec eo minorẽ gloriam consequa-
tur, cuius quidem pulchrorũ facinorum Callimachi opera maxime fidem faci-
unt. καλλίμαχος. distichũ ab Apollonio Argonauticôn autore Callimachi (ut
testatur Suidas) inimico uel ab Epicureo quodã editũ uaticinor. nam Callima-
chus in eo opere multorũ quæ ad sacrorũ ritus atque id genus ceremoniarũ cau-
sas pertinerent anxie ne dicam pueriliter indagabat, id quod ex ueterum mo-
numentis liquet, qui eum in Aetijs citare solent. Ipsius Apollonij & Homeri,
Iliad. α. β. γ. commentatores, Priscianus, Seruius, Martialis in epigrammate quo
dam ad Mamurram & Stephanus in uocibus ἀραχναῖον. ἀσβύστα. πρινακεία. ἄι-
τιος. ὑπόδυθμος καὶ πολλαχῶς ἄξιος. iocatur in dictionibus. αἴτιος ἢ αἴτια. πρό
δοτος. Herodotũ uidemus libros suos musarũ nominibus inscripsisse. ὑπεδέξα-
το. hospitio suscepit. ἡσιόδου βίβλον. Hesiodi opera & dies. πυῤῥῶ. amicã de qua
supra. Ipse Argentarius. ὄρνι, τί μοι φίλον ὕπνον ἀφήρπασας, ἡδὺ δὲ πυῤῥῆς εἴδωλον,
κοίτης ᾤχετ᾽ ἀποπτάμενον. ἔργα τί μοι παρέχεις. negociũ sibi exhibere Hesiodũ que-
ritur Argentarius, cuius lectione detentus amicę Pyrrhę obuiam nõ procedat.
Ludit in ipsum Hesiodi libellum, cui titulus ἔργα καὶ ἡμέραι, & illud ἔργα καὶ πρά
γματα παρέχειν. νόννος ἐγώ. is est qui diui Ioannis Euangeliũ Græco uersu emisit. πα-
νὸς πόλις. sum Panopolitanus. Agathias. Quos inter & Nonnus ille ex Panos
urbe Aegyptia oriũdus poeta in opere suo quod Dionysia nuncupatur. ἐν φα-
ρίῃ. in Aegypto. ἤμησα. messui. trãslatio à messoribus stipulas falce desecãtibus.
Succisos & necatos à dijs gigantes cecini. γονὰς γιγάντων. stirpẽ gigantũ. Ouid.

Meta-

Metamorph. 5. lib. fuit tẽpus cũ. γραμμαῖσι. Geometriæ & Astrologiæ. quæ formis planis elemẽta sua probãt ac demõstrant. Proclus. ταῦτα μὲν οὖν δείκνυσι τῷ Πτολεμαίῳ γραμμικῶς. Lineari probatione, grammica apodexi apud Quintilianũ lib. 5. Et. καὶ δείκνυται δὲ διὰ γραμμικῆς ἐφόδου. Galenus. οὔτε γὰρ εἰ ἀσώματος, γραμμικῶς ἀποδείξειν εὗρον ἵνα κεχρημένον. has artes ante Vraniam nullus sicuti ferunt in lucem protulit, idq; est quod iam præcessit. οὐρανίη πόλον εὗρε. ἰταλίδαις. Romanis. καλλιόπη πρόφερα. illud Hesiodi Theogoniæ respicit. τερψιχόρη τ' ἐρατώ, πολύμνιά τ' οὐρανίη τε, καλλιόπη θ' ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.

ΕΙΣ ΠΟΙΜΕΝΑΣ. Γλαύκου.

Νύμφαι, πευθομένῳ φράζετ' ἀτρεκές, εἰ παροδεύων
Δάφνις τὰς λευκὰς ὧδ' ἀνέπαυσ' ἐρίφους.
ναὶ ναὶ Πὰν συρικτά, καὶ εἰς αἴγειρον ἐκείναν
εἶπε κατὰ φλοιοῦ γράμμ' ἐκόλαψε λέγειν,
Πάν, Πάν, μελέαν, πρὸς ὄρος ψωφίδιον ἔρχου.
ἔσσομαι. νύμφαι, χαίρετ', ἐγὼ δ' ὑπάγω.

Ἐρυκίου.

Βουκόλε, πρὸς τοῦ Πανὸς ὁ φήγινος εἰπὲ κολοσσὸς
οὗτος, ὅτῳ σπένδεις τὸ γλάγος, ἐστὶ τίνος;
τῷ λεοντοπάλα περωβίῳ, οὐδὲ τὰ τόξα
νήπιε, καὶ σκυτάλην ἀγριέλαιον ὁρῇς;
χαίροις ἀλκείδα λαμαληφάγε. καὶ τάδε φρουρεῖ
αὔλια, κὴξ ὀλίγων μυριόβοια τίθει.

Μακεδόνιος.

Κώπην μὲν χρύσῳ Κόδρος ἔκτανε. τὴν δὲ ταχεῖαν
εἰν ἁλὶ καὶ χαροποῖς κύμασιν εἷλ' ἔλαφον.
ἔσθ' ἣν καὶ πτηνῶν θηρῶν φύσις, οὐδ' ἂν αἰθόρα
τῷ κάνου κηνῶ ἄρτεμις εἶδε χέρα.

Ἀντιφίλου.

Βόσκ' ὁ βουποίμην ὅτ' ἐπὶ γλυκὺ κνεῖον ἕρπων,
αἰγίλιπα χίνω πέτρον ἐπερχόμενος.
εἶπε τὸ οἱ σκυλάκων τις, ὁ καὶ βοσίν, ὃς φάγε λεπτὴν
χίνον, ἀνεληθομένῳ χραινομένην μέλιτι.
κἀπεσθὲν εἰς ἀΐδαο. τὸ δ' ἄβρυγες ἀνδράσιν ἄλλοις
κεῖνο μέλι, ψυχῆς ὤνιον εἰρύσατο.

Εὐνέκα μ' ἐγέλασσε, θέλοντα μὲν ἀδὺ φιλᾶσαι.
καί μ' ἐπικερτομέουσα τὸ δ' ἔννεπεν. ἕρρ' ἀπ' ἐμεῖο
βουκόλος ὤν. ἐθέλεις με κύσαι τάλαν; οὐ μεμάθηκα
ἀγροίκως φιλέειν, ἀλλ' ἀστικὰ χείλεα θλίβειν.

Ἀδέσποτον.

Ὦ πᾶν, φερβομέναις ἱερὸν φάλιν ἄπυε ποίμναις,
κυρτὸν ὑπὲρ χρυσέων χεῖλος ἱεὶς δονάκων.
ὄφρ' αἱ μὲν λευκοῖο βεβριθότα δῶρα γάλακτος
οὔθασιν ἐς κλυμένου πυκνὰ φέρωσι δόμον,
σοὶ δὲ καλοὺς βωμοῖσι παριστάμενος πόσις αἰγῶν
φοίνιον ἐκ λασίου στήθεος αἷμ' ὀρύγη.

νύμφαι. Panos oratio. λέγειν. ut hoc tibi nunciaret. πᾶν πᾶν. uersus hic in cortice populi incisus erat à Daphnide pro pastorum consuetudine, cuius imaginem in Ouidiana Oenones ad Paridem epistola cernimus. πρὸς μαλέαν. Peloponnesi Promontoriũ. πρὸς ὄρος ψωφίδιον. Lampeiam Pani sacrũ, aut Erymanthum montes iuxta Psophidem urbem (de qua Stephanus & Polybius lib. 4.) ἐξοῦμαι. Faunus lecto carmine, iturũ se profitetur. τῶ πανός τω. φήγινος. faginus. τῶ λεοντοπάλα. gignẽdi casu Dorico. respondet pastor, nimirũ rogatus per Pana, ingẽs illud simulachrũ esse Herculis Tyrinthij, eius uidelicet qui Nemeum Leonem Heliconiũ aut Lesbium domuit. ἀγριέλαιον. Clauam dextera tenebat Colossus, quã ex oleastro fuisse putãt nõnulli, nõ ὁλόχαλκον ut Pisander nec ferream. nam id ad clauæ duritiẽ referendũ censent. ἀλαμπηφάγε. hæc ante. μυριόβοια. magnum gregem efficias. ἔλαφον. canes fugientem. θηρῶν. terrestrium animalium, si apri, cerui, & lepores uolarent. ἀν αἰθέρα. Castigo. ἀν αἰθέρα. Lucillius ἀρθεὶς δὲ αὔραις λεπτῆς, ἐπέτατο δι' αἴθρας χαιρήμων. Archias. οἷς σὺ δι' αἴθρης, καὶ γαῖς, καὶ πελάγους, δίσοχα πέμπε λίνα. Homerus, πέδιον δ' αἴθρην. commentarius. αἴθρη ὁ ἀνέφελος, καὶ εὔδιος ἀήρ. uocem Græcam fœneratus est Lucretius. αἰγίλιπα. excelsam. ὁ καὶ βοσίν. εἴπερ. πέτρον. in quo mellificabant apes. ἀτρυγής. Columella mellis uindemiam quoq; appellat, Varro mellis exemptionẽ & eximendorum fauorum tempus. ψυχῆς ὤνιον. uita emptum, caro constans. θυναίμε γελᾶσαι. hij quatuor uersus ex initio Bucolici Theocriti temere huc intrusi sunt. φάτην ἄπυε. sonum ede. κλυμένου. Clymeni. πυκνά. δ' ὦρα aut Sæpe. quotidie. καλῶς πειθόμενος. nam si reluctabatur hostia, triste auguriũ erat. contraq; bonum si quod ait Horatius meditans ictum immolaretur.

ΕΙΣ ΠΟΛΕΜΟΝ, καὶ εἰρήνην.

Ἀπολλωνίδου.

Σκύλλος, ὅτε Ξέρξου δολιχὸς στόλος Ἑλλάδα πᾶσαν
ἤλαυνε, βυθίην εὕρατο ναυμαχίην,
νέρθε λαθραίοισιν ὑπὸ πλώοις τενάγεσσι,
καὶ τὴν ἀπ' ἀγκύρης ὅρμον ἔκειρε νεῶν,
αὔτανδρος δ' ἐπὶ γῆς ὀλίσθανε Πέρσις ἄναυδος
ὀλλυμένη, πρώτη πεῖρα Θεμιστοκλέους.

Φιλίππου.

Οὐκ ἔτι πυργωθεὶς ὁ φαλαγγομάχας ἐπὶ δῆριν,
ἄγετος ὁρμαίνει μυριόδους ἐλέφας,
ἀλλὰ φόβῳ στέλας βαθὺν αὐχένα πρὸς ζυγοδέσμους
ἄντυγα διφρουλκεῖ Καίσαρος οὐρανίου.
ἔγνω δ' εἰρήνης καὶ θὴρ χάριν. ὄργανα ῥίψας
ἄρεος, εὐνομίης ἀντεπάγει πατέρα.

Ἀρτεμᾶς ἱδρώουσα, πρὸς ἄγγελός ἐστι κυδοιμοῦ.

σκύλλος ὅτε ξέρξου. repono σκύλλις ex Pausania, hæc in Phocicis declarante. παρὰ δὲ τὸν γοργίαν, ἀνάθημα ἐστὶν ἀμφικτυόνων, σκιωναῖος σκύλλις, ὃς καταδῦναι καὶ ἐς τὰ βαθύτατα θαλάσσης πάσης ἔχει τὴν φήμην. ἐδιδάξατο δὲ κυάναν τὴν θυγατέρα δύεσθαι. οὗτοι ἐπὶ τὸ ὄρος τὸ πήλιον ἐπιπεσόντος ναυτικῷ τῷ ξέρξου βιαίου χειμῶνος, προσεξειργάσαντο σφίσιν ἀπώλειαν, τάς τε ἀγκύρας καὶ εἰ δή τι ἄλλο ἔρυμα ταῖς τριήρεσιν ἦν, ὑφέλκοντες. Plinius lib. 35. cap. 10. Androbius pinxit Scyllin ancoras Persicæ

ficæ classis præcidentem. βυθίζω. urinans. νηρεῦς. Nerei, maris. νεῶν. nauiū, earum funes præcidens. αὔτανδρος. cum propugnatoribus & nautis. ἄνανδρος. ἄφωρος. Persæ interempti. θεμιστοκλέους. Plutarchus in Themistocle & Herodotus in Vrania, ubi σκύλλην urinatorem non σκύλλιν appellat. πυργοβάς. πυργοφόρος. Heliodorus Aethiopicôn θ. οἱ τε ἐπὶ τῶν ἐλεφάντων κατὰ τοὺς πύργους ἐξ μὲν ἕκαστοι καταλαφθέντες, δύο δὲ ἐπὶ πλευρὰν ἑκάστην ἐκτοξεύοντες. φαλαγγομάχης. cum phalangibus in acie stans. ἐπὶ δῆριν. ad pugnā. μυκρόδους ἐλέφας. maximis dentibus præditus. Plinius lib. 8. cap. 3. prędam ipsi (Elephātes) in se expetēdam sciūt solum esse in armis suis, quæ Iuba cornua appellat: Herodotus tanto antiquior & cōsuetudo melius, dentes. Sic Aristoteles lib. de Historia animal. 2. nec loco mouēdus Pausanias in Eliacis ex ipso Iuba nō tenuibus argumentis ebur cornua & esse & appellari potius debere quā dentes concertans. Huic assentitur Oppianus Cyneget. β. quorum sententias cum aliis se copulans euertere conatur in uita Apollo. uolumine 2. Philostratus. πρὸς ζυγοδέσμους. Lorum quo iugum temoni alligatur. ἄντυγα. currum. ἐλέφας. Diui Augusti in curru ab elephantibus iugum subeuntibus tracto triumphantis. ὄργανα. turres telis refertas. ἀγάλματ' ἱδρώοντα. Cæsarem. Iulianus Obsequēs simulachrū Apollinis aliquando sudasse. Appianus & Dion deorū signa. scuta duo Valer. Max. Virgil. Georg. 1. æraq; sudant. Seruius super hoc Aeneid. 2. salsusq; per artus sudor iit, laborem futurum per sudorem notari, addo & calamitatem denuntiari. Consentit in Camillo Plutarchus, & Q. Cicero in lib. de diuinatione. à quibus non aliena sunt quæ de Orphei signo sudore manāte idē Plutarchus in Alexandro memoriæ mādat. φοβουμένων δὲ πάντων τὸ σημεῖον. Apollonii glossographus. ὅταν μέλλῃ τι συμβαίνειν χαλεπὸν, εἰώθε τὰ ἀγάλματα ἱδροῦν. Hæc, sanguinis fluxus, lachrymę, atq; iis nō dissimilia quę uocāt prodigia lignorū natura ὧν ἐλαιῶδες ἡ ὑγρότης è quibus statuæ fiunt quinto περὶ φυτῶν Theophrastus: M. Tullius decoloratione ex aliqua contagione terrena aut humore allapso extrinsecus sæpenumero euenire iudicauit. Plutarchus in Coriolano. ἱδροῦντα μὲν γὰρ ἀγάλματα φανῆναι καὶ δακρυρροῦντα, καί τινας μεθιέντα νοτίδας αἱματώδεις, οὐκ ἀδύνατόν ἐστι. καὶ γὰρ ξύλα καὶ λίθοι πολλάκις μὲν εὐρῶτα συνάγουσι γόνιμον ὑγρότητος. πολλὰς δὲ χροιὰς ἀνιᾶσιν ἐξ ἑαυτῶν καὶ δέχονται βαφὰς ἐκ τοῦ περιέχοντος, οἷς ἔνια σημαίνειν τὸ δαιμόνιον, οὐδὲν ἂν δόξειε κωλύειν.

ΕΙΣ ΠΟΛΕΙΣ.

Εὐήνου εἰς Τροίαν.

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πόλιν Ἴλιον ἱρήν,
τὴν πάρος εὐπύργοις τείχεσι κλῃζομένην,
αἰὼν ὁ τέφρῃ κατεδήδοκεν. ἀλλ' ἐν ὁμήρῳ
κεῖμαι, χαλκείων ἕρκος ἔχουσα πυλῶν.
οὐκ ἔτι με σκύψει προσφθόρα δούρατ' ἀχαιῶν,
πάντων δ' ἑλλήνων κεῖμαι ἐν στόμασιν.

Ἀγαθίου σχολαστικοῦ εἰς τὸ αὐτό.

Ὦ πόλι, πῇ σέο κεῖνα τὰ τείχεα; πῇ πολύολβοι
νηοί; πῇ δὲ βοῶν κράατα τεμνομένων;
πῇ Παφίης ἀλάβαστρα, καὶ ἡ πάγχρυσος ἐφεστρίς;
πῇ δὲ τριχογλυφοῦς δείκελον ἐνδιαπίης;
πάντα μόθος, χθονίη τε χύσις, καὶ μοῖρα κραταιὴ
ἔσπασεν, ἀλλοίην ἀμφιβαλοῦσα τύχην.

καί σε τόσον νίκησε βαρὺς φθόνος. ἀλλ' ἄρα μοῦνον
οὔνομα σὸν κρύψαι καὶ κλέος οὐ δύναται.

Βάσσου Λολλίου εἰς τὸ αὐτό.

Ἀρρήκτοι μοιρῶν πυμάτην ἐσφρήγισαν ὅρκοι.
ὡς φρυγὶ γὰρ βωμῷ τὴν Πριάμου θυσίην.
ἀλλὰ σὺ Αἰνεία, στόλος ἱερός, ἐς καλὸν ἤδη
ὅρμον ἔχεις, πάτρης φροίμιον οὐρανίης.
ἦν καλὸν ὤλετο πύργος ὁ Τρώϊος. ἡ γὰρ ἐν ὅπλοις,
ἠγέρθη κόσμου παντὸς ἄνασσα πόλις.

Ἀδριανοῦ Καίσαρος. οἱ δὲ,
Γερμανικοῦ.

Ἕκτορ, ἀρήϊον αἷμα, κατὰ χθονὸς εἴπου ἀκούεις,
χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται, κλεινὴ πόλις, ἄνδρας ἔχουσα
σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους.
μυρμιδόνες δ' ἀπόλοντο. παρίστασο, καὶ λέγ' ἀχιλλεῖ
θεσσαλίην κεῖσθαι παισὶν ὑπ' αἰνεάδαις.

Τούτοις ὑπέγραψε λάθρα σπαρτιάτης
Δημάρατος.

Θάρσυνοι. οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι πρόσωπον.

Ζητηθεὶς δ' ὑπὸ τοῦ βασιλέως,
αὖθις προσέθηκεν.

Εἰμὶ μὲν εὐθώρηκος ἐνυαλίου πολεμιστὴς,
εἰμὶ δὲ καὶ θεράπων ἑλικωνίου ἀπόλλωνος.

Ἀγαθίου.

Εἰ μὲν ἀπὸ σπάρτης τις ἔφυς ξένε, μή με γελάσῃς.
οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτ' ἐτέλεσσε τύχη.
εἰ δέ τις ἐξ ἀσίης, μὴ πένθεο. δαρδανικοῖς γὰρ
σκήπτροις αἰνεαδῶν πᾶσα νένευκε πόλις.
εἰ δὲ θεῶν τεμένη, καὶ τείχεα, καὶ νεατῆρας
ζηλήμων δηΐων ἐξεκένωσεν ἄρης,
εἰμὶ πάλιν βασίλεια. σὺ δ' ὦ τέκος ἄτρομε ῥώμη,
βάλλε καθ' ἑλλήνων σῆς ζυγόδεσμα δίκης.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Αδε πόθ' ἁ κλεινὰ Πριάμου πόλις, ἅν ἀλαπάξαι
ἑλλάνων ζαμενὴς οὐκ ἐτάλασσεν ἄρης
ἀμφαδὸν, ἀλλ' ἵπποιο κακὸν ξύλον. αἴθε δ' ἐπειὸς
κάτθανε πρὶν τεῦξαι δουρατέαν παγίδα.
οὐ γὰρ ἂν ἀτρειδᾶν ὀροφηφάγον ἀψαμένων πῦρ,
οὕτω ἐφ' ἁμετέροις λαέεσιν ἐριπόμαν.

Εἰς τὸ αὐτὸ ἀντιφίλου.

Δούρειον τὸν τροίας δεκέτη λόχον, εἴσιδε πῶλον
εὔοπλον δαναῶν ἔγκυον ἡσυχίης.
τεκταίνει μὲν ἐπειὸς, ἀθηναίη δὲ κελεύει
ἔργον, ὑπὲρ νώτων δ' ἑλλὰς ὅλη δύεται.

ἦρα μάτην ἀπόλοντο τόσος στρατός, εἰ πόθος ἁγνὰν
ἦν δόλος ἀρχαίαις ἐξ ἀλλότριος πόλεμον.

Εἰς μυκήνην Πομπηΐου, οἱ δὲ,
Μάρκου νεωτέρου.

Εἰ καὶ ἐρημαίη κέχυμαι κόνις ἔνθα μυκήνη,
εἰ καὶ ἀμαυροτέρη παντὸς ἰδεῖν σκοπέλου,
Ἴλου τις καθορῶν κλεινὴν πόλιν, ἧς ἐπάτησα
τείχεα, καὶ Πριάμου πάντ' ἐκένωσα δόμον,
γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον. εἰ δέ με γῆρας
ὕβρισεν, ἀρκοῦμαι μάρτυρι Μαιονίδῃ.

Ἀντιπάτρου θεσσαλοῦ εἰς τὸ αὐτό.

Ἡρώων ὀλίγαι μὲν ἐν ὄμμασιν αἱ δέ τε λοιπαὶ
πατρίδες, οὐ πολλῶν αἰπύτεραι πεδίων.
οἵην καὶ σὲ τάλαινα παρερχόμενός τε μυκήνην,
ἔγνων αἰπολίου παντὸς ἐρημοτέρην.
αἰπολικὸν μίνυμα γέρων δέ τις, ἡ πολύχρυσος
εἶπεν, κυκλώπων τῇδ' ἐπέκειτο πόλις.

Ἀντωνίου ἀργείου.

Ἡ πολύχρυσος ἐγὼ τὸ πάλαι πόλις, ἡ τὸν ἀτρειδῶν
οἶκον ἀπ' οὐρανίου δεξαμένη γενεῆς,
ἡ τροίην πέρσασα θεόκτιτον, ἡ βασίλειον
ἀσφαλὲς ἑλλήνων οὖσά ποθ' ἡμιθέων,
μηλόβοτος κεῖμαι, καὶ βούνομος, ἔνθα μυκήνη
τὴν ἐπ' ἐμοὶ μεγάλων οὔνομ' ἔχουσα μόνον.

Ἀλφειοῦ μιτυληναίου.

Ἄργος ὁμηρικὲ μῦθε, καὶ ἑλλάδος ἱερὸν οὖδας,
καὶ χρυσῆ τὸ πάλαι περσέος ἀκρόπολι,
ἐσβέσθη ἡρώων κείνων κλέος, οἵ ποτε τροίης
ἤρειψαν κατὰ γῆς θειοδόμον στέφανον.
ἀλλ' ἡ μὲν, κρείσσων ἐστὶ πόλις. αἱ δὲ, πεσοῦσαι,
δείκνυσθε βοῶν αὔλια βουκολίων.

Ἀντιπάτρου.

Ποῦ τὸ περίβλεπτον κάλλος σέο δωρὶ κόρινθε;
ποῦ στεφάναι πύργων, ποῦ τὰ πάλαι κτέανα;
ποῦ νηοὶ μακάρων, ποῦ δώματα. ποῦ δὲ δάμαρτες
σισύφιαι, λαῶν θ' αἵ ποτε μυριάδες;
οὐδὲ γὰρ οὐδ' ἴχνος πολυκάμμορε σεῖο λέλειπται.
πάντα δὲ συμμάρψας ἐξέφαγε πόλεμος.
μοῦναι ἀπόρθητοι νηρηΐδες ὠκεανοῖο
κοῦραι σῶν ἀχέων μίμνομεν ἀλκυόνες.

Ὀνέστου κορινθίου.

Ἔστην ἐν φόρμιγγι, κατηρείφθην δὲ σὺν αὐλῷ
θήβη, φεῦ, μούσης ἔμπαλιν ἁρμονίης.
κωφὰ δέ μοι κεῖται λυροθελγέα λείψανα πύργων
πέτροις μουνοδόμοις, τείχεσιν αὐτομόλοις.

σῆς χερὸς ἀμφίων ἄπονος χάρις. ἑπτάπυλον γὰρ
πάτρην, ἑπτάμιτος τείχισας ἐν κιθάρῃ.

Τοῦ αὐτοῦ.

Ἁρμονίης ἱερὸν φάσεις γάμον, ἀλλ᾽ ἀθέμιστον
οἰδίποδος. λέξεις ἀντιγόνην ὁσίην,
ἀλλὰ κασίγνητοι μαρνάμενοι. ἄμβροτος ἰνώ,
ἀλλ᾽ ἀθάμας τλήμων. τειχομελὴς κιθάρη,
ἀλλ᾽ αὐλὸς δύσμουσος. ἴδ᾽ ὡς ἐκεράσατο θήβῃ
δαίμων ἐσθλά. κακοῖς δ᾽ εἰς ἓν ἔμιξεν ἴσα.

Φιλίππου.

Ἐν θήβαις κάδμου κλεινὸς γάμος, ἀλλὰ μυσαχθὴς
οἰδίποδος. τελετὰς δῖος κατάσατο,
ἃς γελάσας πενθεύς, ὠδύρατο. τέκνα χορείαις
ἔσυ, καὶ λωποῖς ἔσχε λυόμενα.
αὐτιόπης ὁσίη, χαλεπὴ δ᾽ αὖ δὶς ἰοκάστης,
ἣν ἰνὼ φιλόπαις, ἀλλ᾽ ἀσεβὴς ἀθάμας.
οἰκτρὸν ἀεὶ πτολίεθρον. ἴδ᾽ ὡς ἐσθλῶν περὶ θήβας
μύθων, καὶ συγνῶν ἤρκεσεν ἱστορίη.

Βιάνορος.

Σάρδιες αἱ τὸ πάλαι γύγου πόλις, αἵ τ᾽ ἀλυάττου
σάρδιες, αἱ βασιλεῖ περσὶς ἐν ἀσιάδι,
αἳ κροίσῳ τὸ παλαιὸν ἐπλινθώσασθε μέλαθρον
ὄλβον πακτωλοῦ ῥεύματι δεξάμεναι,
νῦν δὲ ὅλαι δύστηνοι ἐς ἓν κακὸν ἁρπασθεῖσαι,
ἐς βυθὸν ἐξ ἀχανοῦς χάσματος ᾐρίπετε,
βοῦρα, καὶ ἐς ἑλίκην κεκλυσμέναι, αἱ δ᾽ ἐνὶ χέρσῳ
σάρδιες, ἐν βυθίαις εἰς ἓν ἔκεισθε τέλος.

Δούριδος ἐλεαίτου εἰς τὸν κατα-
κλυσμὸν ἐφέσου.

Ἱεραὶ νεφέλαι, πόθεν ὕδατα πικρὰ πιοῦσαι,
νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατεκλύσατε;
οὐ λιβύης, ἐφέσου δὲ τὰ μυρία κεῖνα ταλαίνης
αὔλια, καὶ μακάρων ἐξ ἐτέων κτέανα.
ποῦ δὲ σαωτῆρες τότε δαίμονες ἔτραπον ἄμματα;
αἲ, αἲ, τὴν ἰάδων πολλὸν ἀοιδοτάτην;
κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὁμοῖα,
εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπταμένοις.

Ἰωάννου Βαρβουκάλλου ἐπὶ τῇ κατα
καύσει Βηρυτοῦ.

Ἅδ᾽ ἐγὼ ἁ τλάμων ἄπολις πόλις, ἄμμιγα νεκροῖς
ἐνναέταις κεῖμαι ἁ παναποτμοτάτα.
ἥφαιστός μ᾽ ἐδάμασσε, μετὰ κλόνον ἐννοσιγαίου.
φεῦ, ἐκ τοσατίου κάλλεος εἰμὶ κόνις.
ἀλλὰ παραστείχοντες ἐμὰν στοναχήσατε μοῖραν,
σπείσατε βηρυτῷ δάκρυα καὶ φθιμένᾳ.

τοῦ

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ποῦ τελέθει Κύπρις πολιοῦχος, ὄφρα νοήσῃ
ὕστερον ἑδώλων τῶν πρὶν ἔδος χαρίτων;

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τύμβος ἀταρχύτων μερόπων πόλις, ἧς ὑπὸ τέφρῃ
αἱ Βορόης πολλαὶ κείμεθα χιλιάδες.
χεῦαθ' ἑνὸς καθύπερθε λίθου φίλα λείψανα φωτῶν,
Βηρυτὸς γραφὴ κεῖται ὑπὲρ δαπέδων.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ναυτίλε, μὴ στήσῃς δρόμον ὁλκάδος εἵνεκ' ἐμοῖο,
λαίφεα μὴ λύσῃς, χέρσον ὁρᾷς λιμένα.
τύμβος ὅλη γενόμην. ἕτερον δ' ἐς ἀπήμονα χῶρον
σπεύσει κώπη, νηὸς ἐπειγομένης.
Τοῦτο Ποσειδάωνι φίλον, ξενίοις τε θεοῖσι.
χαίρεθ' ἁλιπλανέες, χαίρεθ' ὁδοιπλανέες.

Αντωνίου ἀργείου.

Η πρὶν ἐγὼ Περσῆος ἀκρόπολις αἰθερίοιο,
ἡ πικρὸν ἑλικώδεσιν ἀστράσι θρεψαμένη,
ἀπολίοισιν ἔναυλον ἐρυμαίοισιν ἀνεῖμαι;
πῆ δὲ Γεραιμε δαίμοσιν ὄψε δίκας.

Αδηλον.

Παλλὰς πολιοῦχε, σὲ μὲν χρυσαυγέϊ νηῷ
ὡς θέμις ἁ τλάμων Ἴλιος ἠγασάμην.
ἀλλὰ σύ με προλέλοιπας ἑλώριον. ἀντὶ δὲ μήλων,
πᾶσαν ἀπεδρέψω τείχεος ἀγλαΐην.
ἄξιον ἦν θνήσκειν τὸν Βουκόλον. εἰ γὰρ ἄθεσμος
ἔπλετο, τᾶς πάτρας οὐκ ἀλίτημα τόδε.

τῶν περίβωτον. Celebrem, nobilem. Apollonides. κορηκαφίδη περίβωτε, ἴλιον ἱρὴν ex Homero. κατεδήδοκεν. deuorauit. χιλιείων. semper victurarum. ἱερά. clara illa. βοῶν ἱερεῖα. boues victimæ. ἀλάβαστρα. Alabastrum uas erat unguentarium forma turbinata sine ansulis quod ex lapide Alabastrite, Onyche antiquitus appellato fiebat, quoniam optime unguenta incorrupta in eo seruari dicitur. ἐσθῆτες. uestes, indumenta. τριπηχυιοῦς διίπετον. Palladium quod Vlysses & Diomedes προδεδωκυίας αὐτὸ θεανοῦς τῆς τοῦ ἀντήνορος γυναικός, ἱερείας τυγχανούσης καὶ φυλακτούσης αὐτό, ἐκ τοῦ ἱεροῦ ἐσύλησαν, aut suffossa Troianorum arce & interemptis custodibus sustulerunt. de hoc Suidas, Appianus in Mithridatico, Seruius cum grammaticis lib. Aeneid. 2. Pomponius Letus in Constantino. Viues in diui Augustini Ciuitatem dei. φερεκύδης, ut inquiunt, παλλάδια λέγει τὰ ἀχειροποίητα μορφώματα ἐκ τῶν ἀπὸ τοῦ οὐρανοῦ πρὸς γῆν πεμπόμενα. Alij sic. παλλάδια ἐκάλουν τὰ βαλλόμενα εἰς γῆν ἐκ τοῦ οὐρανοῦ ἀγάλματα. Aristophanis enarrator. παλλάδια δὲ ἐν ταῖς πρύμναις τῶν τριήρων ἦν ἀγάλματα τῆς ἀθηνᾶς καθιδρυμένα. Cur nuncupetur Minerua τειτογένεια uel τειτογενὴς ostendit Eustathius Iliad. δ. Tzetzes in Lycophronem, Diodorus libro sexto, Pindari in Pythijs glossemata, Phurnutus περὶ τῆς ἀθηνᾶς, atque Etymologici Græci cum Suida. ἐγχωρίους. indigenæ. ἄλλοίαν. longe diuersam.

μορφὴν

μοιρῶν. parcarum. ἐσφράγισαν. σφραγίζειν proprie sigillo insignire est. τῷ ἑρκείῳ πὰρ βωμῷ. Ad aram Iouis Hercei tanquam uictima obtruncatus est Priamus. Euripides in Troadib. Pausa. in Messeni. & Corinthia. ubi de Ioue Herceo nõnulla, apud quem aliter in Phocicis autumat Lescheus. alteram de cæde Priami opinionem ad fert Seruius Aeneid. 2. Homerus semper aulam sub dio collocat, ubi Iouis Hercei ara solebat esse. Herceus utiq; Iupiter intra cõseptum domus cuiusq; colebat, quem & deum penetralem appellabant. ædificialẽ absurde uertit quispiam. θυσίην. cædem. φοίτιμον. origo. οὐρανίης. Romanæ. εὖ καλόν. εὐκαίρως. ἄνασσα πόλις. Roma. hinc urbs propter excellentiam. Athenæ olim ἄστυ, & Alexandria πόλις dicta, quod eminere inter cæteras uidebantur. ἄμπνευσον. respira. πατρίδος. Troiæ. ἴλιον οἰκεῖται. Ilium Alexãder magnus, Lysimachus, Sylla à Fimbria bello Mithridatico captum & ambustum instaurarunt. καὶ καίσαρ ὁ θεός (Iulius) ait Strabo libro 13. ubi sit ne hoc nostrum quærit, atq; Eustathius Iliad. λ. θεσσαλίην κᾶθαι. Ex quo Paulus Aemilius Perseum ultimum Macedoniæ regem in triumphum duxit. ἀντολίδης. Romanis. θάρσυνοι. Homeri uersus Iliad. π. θάρσυνος· οὐ γὰρ ἐμῆς. φυλαλίοιο πολεμίζης. Ex Archilocho apud Plutarchũ. ἀμφοτέρων, θεράπων μὲν ἐνυαλίοιο θεοῖο, καὶ μουσέων ἐρατῶν δῶρον ἐπιστάμενος. μήμε. Troiam. τύχη. Euersæ sunt & aliæ urbes. ἀντεαδῶν. Romanorũ. πᾶσα πόλις. omnes orbis terrarum ciuitates. βασίλεια. Roma è me prognata. σὺ δ' ὦ τέκος. Matrem populi Romani Troiam uocat Diuus Augustinus. nam à Troianis qui sub Aenea in Italiam uenerunt conditum est Lauinium, à Lauinianis Alba longa, ab Albanis Roma. Quid Sallustius? urbem Romam (sicuti ego accepi) condidere atq; habuere initio Troiani, qui Aenea duce, profugi, incertis sedibus uagabantur. lege Dionysium Halicarnasseum lib. primo. ἀμφαδόν. sed fraude & insidijs. αἴθε. utinam. οὐ γὰρ ἂν ἀτρειδᾶν. non enim Atridis ignem tecta mea consumentem accendentibus. κεκτήμαν. cecidissem. Loquitur Troia, ut in superiore epigrammate. λαοῖσιν. super populum meum à Græcis interemptum. δεκέτη. decennalem. ἄθρει. inspice. πῶλον. equum. ἔγκυον fœtum. τεκταίνει μὲν ἐπειός. Homerus Odyss. θ. τὸν ἐπειὸς ἐποίησεν σὺν ἀθήνῃ. quem Aeneidos 2. Virgilius imitatur. instar montis equum diuina Palladis arte ædificant. aliquanto inferius. Et ipse doli fabricator Epeus. Hoc fuse Calaber lib. 12. Equũ qui nunc aries appellatur in muralibus machinis Epeum ad Troiam inuenisse dicunt. uerba Plinij lib. 7. cap. 56. cum quibus disceptat Vitruuius lib. 10. cap. 19. arietem à Carthaginensibus excogitatum memorans, & Tertullianus in libello de Pallio. nos Pausaniæ in Atticis & Higinij auctoritate septi (nam Dictys & Palæphatus firmamenti non satis habent) equum Troianum, oppugnatorium machinamentum fuisse credimus, quo conquassatis perforatisq; mœnibus in urbem penetrarunt Græcorum copiæ. Est etiam equus Troianus Liuij poetæ tragœdia, cuius in extremo, Sero sapiunt Phryges. ἑλλάδος ὄλη. Græciæ principes. Virgil. Aeneid. 2. μάτην. nequicquam, temere, perijsset tantus exercitus. εἰ πρὸς ἄγρα. belli uictoriam consequendam. εἰ καὶ ἐρημαίης. Siquidem Mycẽnas Argiui exciderunt ὑπὸ ζηλοτυπίας inquit Pausanias. Strabo χρόνοις δ' ὕστερον κατεσκάφησαν, ὥστε νῦν μηδ' ἴχνος εὑρίσκεσθαι τῆς μυκηναίων πόλεως. Homerus Mycenas ab Argis separare solet, nec minores tantum Argos & Mycenas pro eadem ciuitate ob uicinitatem urbium assumunt, ut docent plerique, sed etiam Euripides. Ipse uero Homerus Argos pro Peloponneso usurpauit. Ibi. ἀργείην ἑλένην, καὶ μέσον ἄργος. & ἄργει πάντι ἀνάσσειν. γνῶθι. γνωτῷ θε. ἰδεῖν. quantum apparet ac uidemus.

ἴλιον

ἴλου πόλιν. Ilium. fuit Ilus (non Ilion) Laomedontis pater. Homer. Iliad. υ. ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα λαομέδοντα. ἦς ἐπόρθησε. Per ea tempora regnum finitum est Argiuorum translatumq; ad Mycenas. Diuus Augustinus. Cur dicantur Mycenæ Eustathius 2. Iliad. Rhapsodia, & Plutarchus περὶ ποταμῶν in flumine Inacho ostendit. γνώσονται χθόνα. Quantum olim possem, argumento est Agamemnon, qui maxima classe comparata dux Græciæ Troiam excidit. ἀφάνισμα. mihi unus satis est testis Homerus. ἀπώτερα πεδίων. Solo æquatæ. ἀπολίου. ἀγονομένου. omnibus scopulis μηλοβότοις καὶ βουνόμοις desolatior. μήνυμα. indicium non μίνημα. ἡ πολύχρυσος. Ciuitas illa, quam locupletissimam appellat Homerus Odyss. γ. & alibi πολυχρύσοιο μυκήνης. κυκλώπων πόλις, Constructæ sunt Mycenæ aut certe huius oppidi mœnia à Cyclopibus. Pausa. in Achaicis & Euripidis in Orestem glossographus. Congruere ijs uidetur ipse in Iphigenia Aulidense Euripides. ἐν μυκήναις δὲ τὰς κυκλωπέας. ac rursum in eadem fabula, Mycenas κυκλωπίων πόνον χερῶν appellat. κυκλωπέαν πόλιν in Hercule furente, infra lib. 4. οὐκ ἄργος δαναοῖο, κυκλωπέας τε μυκήνας. His astipulatur Hesychius in uoce κυκλώπων ἕδος. Diuersos esse hos à Cyclopibus siculis asserit Eustathius & Strabo (nisi fallor) lib. η. & Tzetzes hoc sermone, κυκλώπων γὰρ γένη τρία. κύκλωπες, οἱ τὰς μυκήνας τειχίσαντες, οἱ περὶ τὸν πολύφημον, καὶ αὐτοὶ οἱ θεοί. Ego ut semel finiam, cum à Cyclopibus quos turres & ærariam fabricam inuenisse dicunt quidpiam ædificatum aut fabricatum audio, magnificentiam & perpetuitatem operis in eo commẽdari suspicor, ut de ijs Seneca in Thyeste. Cerno Cyclopum sacras turres labore maius humano decus. & Statius Thebaid. 4. Monstrat Cyclopum ductas fornacibus arces. At Virgilius Aeneid. 6. Cyclopumq; educta caminis mœnia. Claudianus. Cyclopum formata manu. Porrò qui Cyclopes è Thracia oriundos in Sicilia habitasse, uel eos Aetnam tulisse in historias retulerunt, non cum omnibus concordant, qui simul & Thucydide solertiores uidentur, cui qui fuerint Cyclopes non est compertum. Hesiodo Cyclopes sunt Asteropes, Brontes & Arges, Virgilio, Brontes Steropes Pyracmon. Dolet igitur Antipater sumptuosis muris atq; ædibus hostile aratrum esse circumductum. ἀπ' οὐρανίου γενεῆς. Tantalus Iouis filius fuit, Tantali Pelops, Pelopis Physthenes. ex quo Agamemnon & Menelaus geniti. τροίην θεόκτιστον. ab Apolline, & Neptuno constructam. Euripides ὦ φοῖβ', ὁ πυργώσας τὸν ἐν ἰλίῳ εὐτειχῆ πύργον. Coluthus. ἰλίου ἣν πύργωσε ποσειδάων καὶ ἀπόλλων. Eadem nostri ex Homero Iliad. φ. uide Pindari glossemata hymno Olymp. 8. ποσειδῶνα καὶ ἀπόλλωνα λέγουσι τειχίσαι τὸ ἴλιον, τὸ δὲ οὐχ οὕτως ἔχει. ἀλλ' ὁ λαομέδων ἐτείχισεν αὐτό, οὐχ ὁσίως. ἦν ἐν τῇ ἀκροπόλει ἱερὸν ἀπόλλωνος, καὶ ποσειδῶνος, ὅθεν λαομέδων ἀνήλισκε τὰ χρήματα εἰς τὴν τοῦ τείχους κατασκευήν. Varinus: nonnullis Apollo Troiæ auctor dicitur quod Ilus cum pecus in Mysia custodiret ex certamine quodam uictor quinquaginta pueros ac totidem puellas accepit in præmium quos Apollinis oraculo monitus in coloniam deduxit, Iliumq; ex suo nomine urbem appellauit. μηλόβοτος. Suidas. βούνομος. locus ubi boues pascunt. τῶν ἐπ' ἐμοὶ μεγάλων. quod diues, quod Atridarum lares, quod Troiæ domitrix. ἄργος ὁμήρειε μῦθε. Strabo multis, lib. η. & Stephanus in dictione ἄργος. περσέος ἀκρόπολι. Mycenæ. Mycenas à Perseo conditas docent Eustathius, Strabo lib. η. sed nemo melius Pausania in Corinthi. Euripides in Iphigenia Aulidense. μυκῆναι τ' ἐμαὶ θεράπναι. χέρσος. κλεεὶς πόλισμα περσέως. ἐσβέσατε. extinxistis. perdidistis. στέφανον. Troiæ muros. αἱ δὲ πεσοῦσαι. uos prolapsæ. δεῖγμα ποθεινόν. Strabo lib.

lib. η. ἐλάφθη δ' ἐν τῇ πελοποννήσῳ τὰ δύο ἔθνη, τό, τε αἰολικὸν καὶ τὸ δωρικόν. deinde. δοκοῦσι δὲ δωρίζειν ἅπαντες διὰ τὴν συμβᾶσαν ἐπικράτειαν. Pindari interpres λέγει ὅτι οἱ δωριεῖς, διὰ πίνδου τὴν κάθοδον ποιησάμενοι, τῆς χώρας τῆς πελοποννήσου ἐγένοντο ἐγκρατεῖς. Et. δωρίων ἂν στεφάνωμα φησίν, ἀντὶ τοῦ, ἰσθμίων. δωριεῖς ἐπεὶ πρὶν ἐπῴκησαν τὴν πελοπόννησον. ἢ δωρίων σελίνων, τῶν κορινθιακῶν. ὅτι δωριεῖς ἐπῴκησαν τὴν κόρινθον. ἡ δὲ κόρινθος, πύλαι τῆς πελοποννήσου. Pausanias in Corinthia. τούτων βασιλευόντων, δωριεῖς στρατεύουσιν ἐπὶ κόρινθον. ἡγεῖτο δὲ ἀλήτης. δωριεῦσι μὲν οὖν καὶ σισυφίδας παραδόντες τὴν βασιλείαν ἀλήτῃ, κατέμενον αὐτοῦ. τῶν δὲ κορινθίων ὁ δῆμος, ἐξέπεσον ὑπὸ δωριέων κρατηθεὶς μάχῃ. Thucyd. δωριεῖς ξὺν ἡρακλείδαις πελοπόννησον ἔσχον. σισυφίαι. Corinthiæ à Sisypho qui Corinthi regnauit. Sisyphi fallacias Sophoclis in Philoctete & Aiace Mastigophoro & Homeri Iliad. ζ. scholiastæ prætexuerunt, quibus agnitis Apuleium Sisyphus nō Syphax in 2. Apologia posuisse mihi suspicio incidit. Hinc Aeschines περὶ παραπρεσ. ἀνακροτήσας ὁ σίσυφος οὗτος τὰς χεῖρας, literator quispiam peruerse σύμψηφος castigauit. μιμούμεναι ἀλκυόνες. ut Halcyon Ceycem maritum luget, ita nos Oceani filiæ Nereides quasi præficæ excidiū tuum defiemus. Halcyon, inquit Sophoclis enarrator, τίκτει ἐν ταῖς ὑψηλαῖς πέτραις. ἔστι τῶν ᾠδῶν ἀφανιζομένων, δακρύει. Quid Aristoteles? πάντων δὲ (ὀρνίθων) κοινὸν τὸ περὶ τὰς ὀχείας μάλιστα ᾄδειν καὶ λαλεῖν. Plinius auium loquaciores quæ minores, & circa coitus maxime. nullam sane alitem nec ipsum quidem morientem olorem in dolore canere testificatur Socrates. εὐφόρμιγγι. Phorminx paulū à cithara differt. Amphionis lyram secuti sunt lapides, id est Amphionis uiri eloquentis & prudentis sermone deliniti rudes atque agrestes homines in montibus ac syluis dissipati, in unam ciuitatem coierunt. uel gentes saxi instar nullo affectu mobiles ad sensum uoluptatis canens traxit Amphion, quem præstigiatorem & magū fuisse odoramur. Hæc ad ueritatem magis accedunt quàm quæ adducit in Zetho Palæphatus. refert Homerus Odyss. λ. mœnibus Thebas cinxisse Amphionem & Zethum fratres, ut se suosque à uicinorum iniurijs protegerent. ἵνα δὴ (ait Pherecydes) τοὺς φλεγύας πολεμίους ὄντας εὐλαβῶνται. uide Diodorum lib. 19. & Suidam in uoce αὐλιόπη. σὺν αὐλῷ. quo milites ad muros conscendendos inflammantur. Sed hoc melius Tzetzes. τὰς θήβας ἀτειχίστους γοῦν τελέσας ἐν ὕστεροις ἔκτισαν ζῆθος τε αὐτὸς καὶ ἀμφίων λυρῳδοῦντε. ἃς θήβας πάλιν ὕστερον ἀλέξανδρος ὁ μέγας, αὐλήμασι κατέσκαψεν, αὐλοῦντος ἰσμηνίου. ab Alexādro deletæ sunt Thebæ, ut docent Arrianus. lib. 1. Diodo. 17. ἔμπαλιν. Sono & harmonia omnino contraria & inuersa. μουσοδόμοις & αὐτομόλοις. Hæc ad Amphionis lyram spectant. ἑπταπύλου γάρ. Hoc Epitheto ueluti signo quodam Bœotias Thebas notant poetæ, nam cōplures magno eorum qui tres tantum posuerunt errato commemorat Stephanus. ἑπταμίτου κιθάρης. Antiquorum morem intuetur Onestus cui lucem adferunt Homericæ annotationes Iliad. σ. οἱ πρῶτοι τοῖς θεοῖς μετὰ ᾠδῆς σπονδὰς φέροντες, οὐκ ἐξ ἐντέρων κατεσκεύαζον τὰς κιθάρας, οὐχ ὅσιον, οὐδὲ θεοῖς ἀρεστὸν εἶναι ὑπολαμβάνοντες, διὰ τὸ ἐκ νεύρων πεποιῆσθαι, ἀλλ' ἐκ λίνου. Pindari commentarius. ἑρμῆς δὲ χέλυν εὑρὼν τετράχορδον, λίνα ἀντὶ χορδῶν ἐνημμένην, ἐπειδὴ οὔπω ἡ τῶν νεύρων χρῆσις εὕρητο. Eustathius. ἔστι δ' εὑρεῖν ποτε καὶ μίτον οὕτω καὶ λίνον ἐπὶ μουσικῆς χορδῆς λεγόμενον κατὰ παλαιοτάτην χρῆσιν, καθ' ἣν καὶ χέλυς καὶ λύρα λέγεται. & alius μίτους γὰρ νεύρας ἔλεγον, ἐπειδὴ πρὸ τῆς χρήσεως τῆς νευρᾶς λίνοις δήμοσιν ἐκέχρηντο. Hinc Ouidius Metamorph. 5. Concidit & digitis morientibus ille retentat fila lyræ. Valerius Flaccus. ut socius charo pariter meditetur Achilli fila lyræ. Cæterum quatuor neruis quibus primū citharam intendebant tres adiecisse Amphionem

phionem uult Pausanias. Arati commentator & Homerus in hymnis Mercu-
rij citharam septem chordas habuisse, tres Diodorus, quatuor Pindari scholia-
stes cum Boetio, quibus duas Orpheum addidisse nonnulli ferunt. ἁρμονίης ἱε-
ρὸν φύσεως γάμον. Cadmi & Harmoniæ nuptias præsentia sua dij honorarunt.
Diodor. lib. 6. Euripides in Phœniss. ἁρμονίας δέ ποτ᾽ εἰς ὑμεναίους ἦλθον οὐρανί-
δαι, in quibus & musas epithalamium cecinisse fama est. Pausanias in Bœoti.
Theognis. μοῦσαι καὶ χάριτες κοῦραι διὸς, αἵ ποτε κάδμου ἐς γάμον ἐλθοῦσαι καλὸν ἀεί-
σατ᾽ ἔπος. Adi Stephanū in uocabulo δάρδανος. Plures fuisse Cadmos Xeno
phō in Aequiuocis indicat. οἰδίποδος. cui Iocaste mater nupsit. ἀντιγόνην ὁσίην.
à qua Polynices frater aduersus Creōtis edictū pro præsenti copia funerat̃. ἀλ
λὰ κασιγνήτοι. Eteocles & Polynices, qui mutuis uulneribus ceciderūt. ἄμβροτος
ἰνώ. Isis dea ab Aegyptijs pręcipue culta, Leucothea à Gręcis, à Romanis Matu
ta dicit̃. Ouid. Metam. 4. Pausanias, Aristophanis scholiastes. κιθάρη. Amphio
nis. αὐλὸς δύσμουσος. Ismeniæ. Thebas ab Alexādro euersas restituit Cassander,
quæ prius solo æquatæ fuerant à nouem Epigonis, cæsusq; Leodamas Theba-
rum rex. Exhausta est huius epigrammatis materia ex tertio Pindari Isthmio-
rū hymno. θύιος καπέδεκτο, orgia à Ioue accepta homines edocuit Bacchus. Eu
ripides in Bacchis. ἃς γυλλάδες πενθεύς. Euripides in nuper allegata tragœdia. O-
uidius in Metamorph. & Theocritus in Idyllio cui titulus Lenæ seu Bacchæ.
λωβεῖς. ταῖς αὐλοῖς. ἀντιόπης οἶκον. Antiope Nyctei Thebanorum regis filia ex Ioue
Zethum & Amphionem suscepit. ἀσεβὴς ἀθάμας. siquidem furore correptus fi
lium Learchum occidit. ἀλυάττου. fuit Alyattes Crœsi pater. Herodotus in Clio.
& Suidas in uocibus ἀλυάττης & γύγης. ἀ βασιλεῖ. regi Persarū. ἐν ἀσιάδι. in ter-
ra Asia. ἐπλινθώσασθε. ædificauistis, fabricauistis. νῦν δ᾽ ὅλαι δύσζωοι. Eodem an-
no duodecim celebres Asiæ urbes collapsæ nocturno motu terræ, quo impro-
uisior grauiorq; pestis fuit, neq; solitum in tali casu effugium subueniebat in a-
perta prorumpendi, quia diductis terris hauriebantur &c. Asperrima in Sarde
nos lues plurimum in eosdem misericordiæ contraxit. Hæc annal. 2. Tacitus.
Terræmotus huius quo nullus unquam maior mentionem facit Plinius, Tran-
quillus, & Strabo lib. 13. ἠρείπετε. corruistis. βοῦρα καὶ εἰς ἑλίκην. Totus ille Buræ
& Helices tractus funditus haustus est. Plinius Pyrrhā & Antissam circa Mæo
tim pontus abstulit, Helicem & Buram in sinu Corinthiaco. Strabo. βοῦρα δὲ καὶ
ἑλίκη ἡ μὲν ὑπὸ χάσματος, ἡ δ᾽ ὑπὸ κύματος ἠφανίσθη. Adeat si cui ista curæ sunt
Ammianū Marcel. lib. 16. Strabonem 8. Eustathiū Iliad. β. Pausaniā in Achaicis,
Nasonem trāsform. 15. Apud Orosium lib. 3. cap. 3. restitue Bura & Helice non
Melinus color Seruio Georg. 2. quē aperit Isidorus, sub albidū uocās. Is utriq; est quē Vitruuius Leucophæū, Palladius cineritiū, Galli griscum, Hetrusci bigium, Veneti beretinū appellant. At Plinio à Melo insula Melinus cādidus est & Mancinello Seruiū incessenti. Thylesius inter purpureos collocat. Dioscoridis interpretes luteū præclare meo iudicio semper uertūt, τῷ χρόᾳ μηλίζειν. luteo colore esse id est croceo. omninoq; in floribus pro luteo dici animaduerto. ἀσπάραγον. hic Asparagus tener adolescētis κράμβης brassicæ uel Raphani partus est. Festo Pōpeio asparagū herbā dictam existimāti quod in aspero uirgulto nascatur, quis adhæreat? ueteres quippe Græci qui altiles Asparagos nō uident agnouisse, nomē eo deduxerūt quod sua sponte sine satu prosiliret. Erasmus in Chiliadibus: dicit autē asparagus quod qui sunt in his præcipui non serunt ut Athenæus dixit. Tu uide an hoc Athenæus lib. 2. dixerit, ego sane non puto. ἀπεῖν. nominare. ὁ καλέσαντα. ad cœnā. μύμε καλέσῃ. hircinū pedē esitaturū. ἀφόων. cōtrectans. ἀποθνήσκειν. locuples moriturus. σκιόγρ κόρδος. inutile, in somnis uisum. πάντες ἅπαξ βρώγουσι. nemo bis prādet, aut itē cœnat. Κέφη. ad prandiū aut cœnā uocarit. ὡς κῆπον τεθυκώς. ac si nō uitulū aut ouem sed hortū mactasset. Plautus, qui mihi cōdita prata in patinis proferūt. σέρις. intybū de hoc & reliquis cōsule Dioscoridē. ἡμιβρεχεῖς. Lupinū semimadidū. ἀνασαστίς. Paulus diaconus lib. 17. ὡς χαλκοῦ. Aeneæ statuę. σῶσαν τὴν χάρυβδιν. Anastasiū rapacē de quo uide Suidā. hominē maiorem in modū edacē, bibacem, rapacē, helluonē, Charybdim aut barathrū uocamus. Multa Erasmus in prouerb. euitata Charybdi in scyllā incidi, Strabo lib. 1. Iustinus 4. Thucydides fretū Italiā à Sicilia diuidens Charybdim appellat. Est etiā terrę uorago, inter Apameā & Antiochiā. τὸ σκύλλης. Scyllæ simulachrū. συγγνώμη. tibi dāda est uenia. οἶστρος ἔλη κτεάνων. maxima diuitiarū cupiditas. Plinius apē grandiorē quæ cæteras fugat, œstrū uocat, tabanum Varro de re Rustica. Seneca epist. 59. Virgilij testimonio Asilū Latine appellari docet. Apollonij cōmētator, œstrū ab eo nominat quod uaccas cōcitet. hoc addito Iuno Io in insaniā egit, unde οἰστρεῖν καὶ οἰστρηλατεῖν. Myopē alibi ab œstro differre credit, quod ille è lignis, hic ex bestiolis quibusdā (ἐμπίδας uocat Aristoteles alij κώνωπας) proueniat. superiorē sententiā cōprobat Aeschylus. βοηλάτην μύωπα, κινητήριον οἶστρον καλοῦσιν αὐτό. Percurre Theocriti Idyl. 6. & Homeri Odyss. χ. glossographos, cū Hesychio. ἄλλοι. Hęredes. μῦς. mus. μονῆς. mansionis, habitatiōis. ἀργυρέῳ λιμῷ. uasis argēteis sed inanibus quæ Martialis preciosam famem cognominat, aliud est Hesychio ἀργυρέα λιμός. πειναλέος. famelicos, uacuos. ὀχθήσας δ' ἄρ' εἶπεν. Homerus Odys. ε. ὀχθήσας δ' ἄρ' εἶπε. ἐν ἀργυροειδεῖ λιμῷ. ad illud Homeri oculos uertit ἐν ἠεροειδεῖ πόντῳ eadē Rhapsodia. ἐξύστρων πινάκων. uocis huius etymū. βρωτὴν κολοκυνθιάδα alij βρῶσιν. cucurbitā in cibū ἡ ὀλιγότροφός ἐστι. δίσκων ὑδισορα. ut sunt ij quos antiquarios uocāt. ὕλην. δίσκους. πίνακας. οὐ βρωγομένην. nō esculenta. κρητίζων. fallens decipiēs. Erasmus in prouerbijs Cretensis Cretensem, Cretēsis cū Aegineta, πρὸς κρῆτα κρητίζειν. κοῦφον ἄσημον, argenteam supellectilem ostentās antiquo opere & summo artificio factam uetustateq; detritam. est autem æs uel argentū ἀργόν, rude & infectum, factum id est cælatum & elaboratum, detractis crustis & emblematibus quasi purum. est & signatum cussumq;. ἄσημον, aurum uel argentum factum est μὴ κεχαραγμένον. non signatum nec percussum. Epigrammatistes in lances nullis onustas obsonijs ex argento tamen conflatas inuehitur eas κοῦφον argentum uocans, fuerūt & diuitum quondam cælatæ patellæ in quibus sigilla erant ad effigiem uel alicuius deorum uel alterius rei facta. ζῴδιον ἐμπόνου.

Eadem

Eadem Plutarchus in libello περὶ φιλοπλουτίας. de asino balneatoris, qui ligna & farmenta deferebat, semper fumo & fauillis oppletus nunquam autẽ particeps balnei neq; teporis neq; mundiciei. τιμαλφεῖα. preciosum.

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ.

Τοῦ αὐτοῦ.

Εἶναι μὲν κυνικόν σε Μενέκρατες, κἀνυπόδητον,
  καὶ ῥιγοῦν, οὐδεὶς ἀντιλέγει καθόλου.
ἂν δὲ παραρπάζῃς ἄρτους, καὶ κλάσματ' ἀναιδῶς,
  κἀγὼ ῥάβδον ἔχω, καὶ σὲ λέγουσι κύνα.

Τοῦ αὐτοῦ.

Πᾶς ὃς ἂν ᾖ πτωχὸς, καὶ ἀγράμματος, οὐκ ἔτ' ἀλήθει
  ὡς πρὶν, οὐδ' αἴρει φορτία μισθαρίου.
ἀλλὰ τρέφει πώγωνα. καὶ ἐκ τριόδου ξύλον ἄρας,
  τὴν ἀρετὴν εἶναί φησιν ὁ πρωτοκύων.
ἑρμοδότου τόδε δόγμα τὸ πάνσοφον. εἴ τις ἀχαλκεῖ
  μηκέτι πεινάτω, θεὶς τὸ χιτωνάριον.

Ἀμμιανοῦ.

Οὗτος ὁ τὴν ἀρετὴν ἀδάμας βαρὺς, οὗτος ὁ πάντη
  πᾶσιν ἀπλήκτοσων, οὗτος ὁ ῥιγομάχας,
καὶ πώγωνα τρέφων, ἑάλω. τί γὰρ ἄπρεπες εἰπεῖν;
  ἀλλ' ἑάλω, ποιῶν ἔργα κακοσομάχων.

Τοῦ αὐτοῦ.

Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,
  καὶ διὰ τοῦτο τρέφεις φίλτατε μυσόβιω;
κεῖρον ἐμοὶ πεισθεὶς ταχέως, οὗτος γὰρ ὁ πώγων
  φθειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονεν.

Τοῦ αὐτοῦ.

Ὠ'γαθὲ, καὶ μῶν ὤν, καὶ πεῖ δὴ, καὶ πόθεν ὦ τάν,
  καὶ θαμὰ, καὶ φέρε δὴ, καὶ κομιδῇ, καὶ ἴθι,
καὶ σόλιον, μάλλιον, πωγώνιον, ὤμιον ἔξω,
  ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.

Ἀντιπάτρου.

Αἰάζει πήρη τε, καὶ ἡράκλειον ἄριστον,
  βριθὺ σινωπίδου Διογένους ῥόπαλον.
Καὶ τὸ χύδην ῥυπόωντι πίνῳ πεπλασμένον ἔθος,
  δίπλωσιον κρυερῶν ἀντίπαλον νιφάδων.
ὅττι τεοῖς ὤμοισι μιαίνεται. ἦν γὰρ ὁ μέν που
  οὐράνιος. σὺ δ' ἔφυς ἐν σποδιῇσι κύων.
ἀλλὰ μέθες, μέθες ὅπλα τὰ μὴ σέθεν. ἄλλο λεόντων,
  ἄλλο γενειητῶν ἔργον ὀρεσσιβάτων.

Παλλαδᾶ εἰς θεμίστιον τὸν φιλόσοφον, γενόμενον
ὕπαρχον κωνσταντινουπόλεως, ἐπὶ οὐαλεν
τινιανοῦ καὶ οὐάλεντος.

Ἄντυγες οὐρανίης ὑπερήμενος, ὃν πόθον ἦλθες
  ἄντυγος ἀργυρέης, αἶσχος ἀπειρέσιον·

ἦλθα κάτω κρείσσων, ἀναβὰς δ' ἐγένου μέγα χείρων.
δεῦρ' ἀνάβηθι κάτω. νῦν γὰρ ἄνω κατέβης.

Ἄδηλον.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖς σοφίαν περιποιεῖν,
καὶ τράγος εὐπώγων, εὔστολός ἐστι Πλάτων.

Τοῦ αὐτοῦ.

Ἄλλον ἀριστοτέλην, Νικόστρατον ἰσοπλάτωνα,
σκινδαλμοφράστην ἀκρυτάτης σοφίης,
ἤια περὶ ψυχῆς τις ἀνήρετο, πῶς θέμις εἰπεῖν
τὴν ψυχὴν θνητήν, ἢ πάλιν ἀθάνατον;
σῶμα δὲ δεῖ καλέειν, ἢ ἀσώματον; ἐν δὲ νοητοῖς
τακτέον, ἢ λυπροῖς, ἢ τὸ συναμφότερον;
αὐτὰρ ὅ, τὰς βίβλους ἀνελέξατο τῶν μετεώρων,
καὶ τὸ περὶ ψυχῆς ἔργον ἀριστοτέλους.
καὶ παρὰ τῷ φαίδωνι πλατωνικὸν ὕψος ἐπεγνούς,
πᾶσαν ἐνησκήθη πάντοθεν ἀτρεκίην.
εἶτα περιστέλλων τὸ τριβώνιον, εἶτα γενείου
ἄκρα καταψύχων, τὴν λύσιν ἐξέφερεν.
εἴπερ ὅλως ἐστὶ ψυχὴ φύσις, οὐδὲ γὰρ οἶδα,
ἢ θνητὴ πάντως ἐστίν, ἢ ἀθάνατος,
στεγνοφυής, ἢ ἄϋλος. ὅταν δ' ἀχέροντα περήσῃς,
κεῖθι τὸ νημερτὲς γνώσεαι ὡς ὁ Πλάτων.
εἰ δ' ἐθέλεις, τὴν παῖδα Κλεόμβροτον ἀμβρακιώτην
μιμοῦ, καὶ τεγέων σὸν δέμας ἐκχάλασον.
κἀκεν ἐπιγνοίης δίχα σώματος αὐτίκα σαυτὸν,
μοῦνον ὅπερ ζητεῖς τοῦδ' ἀπολειπόμενος.

Τοῦ αὐτοῦ.

Εἰ μοναχοί, τί τοσοίδε, τοσοίδε τε; πῶς πάλι μοῦνοι;
ὦ πληθὺς μοναχῶν, ψευσαμένη μονάδα.

Τοῦ αὐτοῦ.

Τοῦ πωγωνοφόρου κυνικοῦ τοῦ βακτροπροσαίτου,
εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίην.
θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο, καὶ ῥαφανίδων,
μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
εὖτε δ' ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
στρυφνὴν, ὃ πινυτὸν ἤδη ἔκλεπτε νόον,
ᾔτησεν παρὰ προσδοκίαν, καὶ ἔβρωγεν ἀληθῶς,
κοὐδὲν ἔφη βολβὸν τὴν ἀρετὴν ἀδικεῖν.

Τῶν μὲν κυνικῶν τε. de Cynicis habes apud Laertiū in uita Antisthenis & Diogenis, Lucianū in Cynico, & uitarū uenditione, Arriani Epictetū περὶ κυνισμοῦ & Atheneū dipn. 13. Cynici appellati sunt siue ob sordidā uitam, siue quod obuios quosq; cõuiciantes mordeāt, & mendicato uiuāt, more canū. κἀνυπόδητον. ueteres philosophos ęmulātē. Aristoph. in Neb. τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις. ῥάβδον ἔχω. qua te percutiam. Ὦ ἀγράμματε. Luciani Diogenes ἐν βίων πράσει. οὐ γάρ σοι δεήσει παιδείας, ὦ λόγων καὶ λήρων, ἀλλ' ἐπίτομος αὕτη σοι πρὸς δόξαν ἡ ὁδός. οὐδ' ἆρα φορτία. baiulus est. ἀχθοφόρος. τρέφε πώγωνα, καὶ ξύλον ἄρας, extricat Laer-

Laertius memoratis locis. Diogenem barba comāte fuisse ait Sidonius Apollinaris. ὁ πρωτόκυων, primus uirtutis sectator. Ludit in uoce πρωτόκυων, quæ astrum canem significat. εἴ τις ἀχαλκεῖ. Si quis pecunijs caret. fuisse hic rei nummariæ ordo uidetur, ut primū homines ære graui rudi & informi usi sint, postea ære signato, unde æris appellatio pro quauis pecunia accipi consueuit. Cussa deinde est argentea, postremo aurea moneta. θὲς. πόθεν θὲς τὸ χιτωνάριον. Philosophi pallium assumens. alij θὲς uestem tuam deponens & cynicam induens. ἀδάμας βαρύς. ἄπονος, ἀπαθής. omniū perturbationū uictor. est adamantis indomita uis ferri ignisq; contemptrix. Hesiodus. ἀδάμαντος ἔχων κρατερόφρονα θυμόν. Tzetzes. τοῖς τισι σκληρὰν ψυχὴν ἔχειν καὶ ἀκαμπεῖς ἦσαν, ὥσπερ ὁ ἀδάμας. ἀδάμας δὲ ἐστιν εἶδος σιδήρου, καὶ λίθος σορρὸς, ὃς διὰ ὑπερβάλλουσαν πυκνότητα, οὔτε πυροῦται, οὔτε σιδήρῳ τέμνεται. ἀλλὰ μολιβδῷ (falsum) καὶ αἵματι τράγου. Erasmi Chiliades, Ibi, Adamantinus. πάσης ὕλης πλέον ὤν. Lucianus ἐν βίων πράσει. οὗτος ὁ ξιμαλέας. Diogenem Cynicum forte intuetur qui statuas niue perfusas & æneas amplectebatur. in quo exultātem interrogauit Lacon, an algeret. negante illo, quid igitur (inquit) magnum præstas. Hoc uoluit Arriani Epictetus περὶ ἀσκήσεως. ἢ φοίνικα ἱστάνειν, ἢ ἀνδριάντας περιλαμβάνειν, Diogenem taxans. ὄργα καὶ σομαλχῶν. fellans, aut crapulam uomens. μυοσόβην. barbam qua muscas æstate abigat, σαλεύοντα πώγωνος Synesio. dicuntur & μυοσόβαι qui friuolis officijs cuipiam deseruiunt. φθειρῶν. pediculorum. καὶ μῶν οὖν. Qui Atticas aut communes philosophis uoculas ingerūt quasi ipsi propterea eos referāt, naso adunco suspendit Ammianus. ὦ τᾶν. ô amice. καὶ σόλιον, τριβώνιον. μαλλιον, uillosum (unde ἀμφίμαλλα) quod in magnis caloribus induant Cratetis æmuli, se ad tolerantiam laborum exercentis. Theocriti interpres τὸ δὲ κικίνοις, τοῖς μαλλοῖς, τῇ κόμῃ. demissam comam quidam intelligunt personato philosopho non indecentem, Cynico pene necessariam. Lucianus in Cynico. Athenæus dipnos. 4. τῶν κυνικῶν τρόπον ἔχει, κομῶν, καὶ ῥυπῶν, καὶ ἀνυποδητῶν. & Martialis. cui cana putrisq; stat coma. ὦμον ἔξω. uestem extra humerum ferre. sic enim pallium ferebant Cynici ut humerus dexter extra amictum nec eo contentus esset, in sinistrum aut sub leuum brachiū reiecto sinu, qui idem dextro est subiectus. Arriani Epictetus περὶ κυνισμοῦ. ἢ τοῖς ἀπαντῶσι λοιδορεῖσθαι ἀκαίρως, ἢ καλὸν τὸν ὦμον δεικνύειν. Et alibi. ἀνέλαβε τρίβωνα, γυμνὸν δείκνυσι τὸν ὦμον. ἄριστον ῥόπαλον. non solum in hoc Herculi se similes dicebant Cynici quod baculum ferrēt ut ille clauam, uerum etiam quia eum in totū se imitari profitebātur: Lucianus ἐν βίων πράσει. ἀγορ. ζηλοῖς δὲ τινά. διογ. τὸν ἡρακλέα. monstrat & hoc in Lucino. Laertius in uita Diogenis. τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν, ὅνπερ καὶ ἡρακλῆς. Idem in Antisthene. καὶ ὅτι ὁ πόνος ἀγαθὸν συνέστησε διὰ τοῦ μεγάλου ἡρακλέους. quem Antisthenem primum Cynicū fuisse refert cū Ammonio Suidas, tametsi hæc Ausonij: Diogenes, Inuentor primus Cynices ego. quæ ratio isthæc? Alcides multo dicitur esse prior. ἡράκλειον. Herculanū. hoc transegimus. βειθυσινωπίθου conflatum nomen ex dictionibus. βεῖθος, σινωπεύς, πίθος. in quo degebat Diogenes Sinope natus. aut forte rectius à βειθὺς καὶ σινωπίτης. βειθυσινωπίτου per τ non θ. χύδην. passim, sparsim. πίνῳ. eluuie. sordibus. πεπλαγμένον ἔθος. cōspurcatum uestimentum. διπλοΐδιον. Pallium duplicatū, pannus duplex Horatio. Laertius in Diogene. τρίβωνα διπλώσας πρῶτος, τοῖς ὤμοισι. Siquidem Cynicus es pallio tenus, nec dignus, quorum longe absis à moribus, habitum assumere. ob id lugent pera, baculus, atq; alia Cynicorum insignia. οὐράνιος. Diogenes ipse in quadam epistola. καλοῦμαι γὰρ ὁ κύων ὁ οὐρανοῦ οὐχ ὁ γῆς, ὅτι ἐκείνῳ εἰκά-

ζω

ζῶ ἐμαυτὸν, ζῶν οὐ κατὰ δόξαν, ἀλλὰ κατὰ φύσιν ἐλεύθερος ὑπὸ τὸν Δία. Sæpe οὐρανίος μέγαν καὶ περιβλεπτὸν σημαίνει. Laertius in Diogene. ἐρωτηθεὶς τί ποιῶν κύων καλεῖται, ἔφη. τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. ὀρώρει. mouetur, excitatur. ἄντυγος οὐρανίης. Philosophiæ dans operã. ἄντυγος ἀργυρέης. Rector Cõstantinopoleos à Valentiniano aut Iuliano factus. ἦλθέ ποτε κρέσσων. in fronte Themistij sic elegantius. ἦλθε κάτω κρέσσων, ἀναβὰς δ' ἔγνων μέγα χείρων. ἀνάβηθι κάτω. Hic κάτω philosophiæ studia, & ἄνω amplissimæ urbis administrationem uocat, in qua ut quis nauiter se gerat nihil ea antiquius habere debet, seq; ipse à libris parumper diuelli necesse est ut patiatur. καὶ τράγος. & hircus barbatus Plato esse poterit. νικόστρατον. Hermogenes περὶ τοῦ πολιτικοῦ λόγου. ὁ δὲ νικόστρατος ἀφελὴς μὲν οὐδαμῶς ἧττον δέ τῶν προειρημένων, λιτότερος δὲ καὶ πολλῷ καθαρώτερος σχεδὸν ἁπάντων. Simplicius in prædicamenta Aristotelis cum eo acriter litigat. σκινδαλμοφράστην. Aristophanes in Neb. πῶς ὂν γέρων ὢν κἀπιλήσμων καὶ βραδύς, λόγων ἀκριβῶν σκινδαλμοὺς μαθήσεται. Scholia. σκινδαλμοὺς δὲ λεπτολογίας ἀπὸ τῆς σχίσεως τῶν καλάμων, ἐξήγησις δὲ καὶ ἐπεξεργασία τῶν ἀκριβῶν οἱ σκινδαλμοί. ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν τὰ λεπτότατα τῶν ξύλων, καὶ τὰ τῶν καλάμων ξύσματα. σῶμα. Hoc Empedocli, Stoicis, Epicureis, Galeno, Tertulliano atq; alijs placuit. ἐν δὲ νοηθεῖς. Aphrodisæus εἴδη τινά ἐστιν εἴδη ὡς τὰ καθ' αὑτὰ χωρὶς ὕλης τε καὶ ὑποκειμένου τινός, ταῦτα κυρίως ἐστὶ νοητά. ἐν τῇ οἰκείᾳ φύσει τὸ εἶναι τοιαῦτα ἔχοντα, ἀλλ' οὐ παρὰ τοῦ νοοῦντος αὐτὰ βοηθείας λαμβάνοντα. τὰ δὲ τῇ αὑτῶν φύσει νοητά, κατ' ἐνέργειαν νοητά. δυνάμει γὰρ νοητὰ τὰ ἔνυλα. νοητοῖς. ὑπὸ τῆς διανοίας λογισμῷ ἐπιλαμβανομένοις. ἢ ληπτοῖς. τῇ φαντασίᾳ ἢ τῇ αἰσθήσει καταληπτοῖς. comprehẽsis. Cicero κατάληψιν, cognitionem, perceptionem, comprehensionem uertit. τῶν μετεώρων. Hæc nihil ad Bacchum. ὄργον libros Aristotelis de anima. περὶ φαίδωνι. Platonis dialogo cui titulus φαίδων ἢ περὶ ψυχῆς. ἐνησκήθη. concinnauit. καταψήχων. leniter contrectans. ψυχὴ φύσις. ἀρχὴ κινήσεως καὶ ἠρεμίας. στερνοφυής. corporea uisu tactuq; manifesta. ἢ ἄυλος. εἶδος. forma. res materia carens. γνώσεαι. scies. κλεόμβροτον. de hoc infra μιμοῦ. imitare. τὸ δ' ὑπολειπόμενος nihil præter animum habens, hocq; tantum relictus. εἰ μοναχοί. aut philosophos ridet Palladas ut ex titulo apparet, aut in dictione μοναχοὶ ludit alius quispiam. μοῦνοι. quasi dicat μοναχοί. τῶν βακτροπροσαιτῶν. cũ baculo mendicantis. θέρμων. à lupinis abstinebat. γαστρί. uentri. gulæ. χοιρώδεα. album. βολβόν. bulbum. stomachum calefacientem & Venerem stimulantem. στρυφνὸν νόον. rigidum. acerbum.

## ΕΙΣ ΧΩΛΟΥΣ.

### Παλλαδᾶ.

Χωλὸν ἔχεις τὸν νοῦν, ὡς τὸν πόδα, καὶ γὰρ ἀληθῶς
εἰκόνα τῶν ἐντὸς σὺ φύσις ἐκτὸς ἔχει.

### Τοῦ αὐτοῦ.

Υἱὸν ἔχεις τὸν ἔρωτα, γυναῖκα δὲ τὴν ἀφροδίτην.
οὐκ ἀδίκως χαλκεῦ, τὸν πόδα χωλὸν ἔχεις.

### Αδηλον.

Μισοπτώχε θεά, μούνη πλούτου δαμάτειρα,
ἡ τὸ καλῶς ζῆσαι πάντοτ' ἐπισταμένη,
εἰ δὲ καὶ ἀλλοτρίοις ἐπιζομένη ποσὶ χαίρεις,
ὁπλοφορεῖν οἶδας, καὶ μύρα σοι μέλεται.

ποδάγρα

τέρπει καὶ στέφανός σε, καὶ αὐσονίου πόμα βάκχου.
ταῦτα παρὰ πτωχοῖς γίγνεται οὐδέποτε.
τοὔνεκα καὶ φεύγεις πενίης τὸν χάλκεον οὐδόν.
τέρπῃ δ' ἐς πλούτου πρὸς πόδας ἐρχομένη.

Ἀδήλου.

Λυσιμελοῦς βάκχου, καὶ λυσιμελοῦς ἀφροδίτης,
γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

τῶν φωτός. occultorum animi uitiorum. τὸν ἔρωτα. bellum puerum. τὴν ἀφροδίτην. impudicam. χαλκεῦ. fabrum quempiam lacerat. τὸν πόδα χωλὸν ἔχει. ut nihil sit, in quo Vulcano nō sis simillimus. μισόπτωχε θεά. Podagra. ἀλλοβίοις ποσί, a seruis uecta, aut eis ambulādo insistens, aut utrinq; sustinētibus pendens. ὁπλοφορῶν. baculos ferunt podagrici quibus sustentantur. αὐσονίου. Ausonij, Italici. πενίης οὐδόν. podagram hodie diuitum morbum uulgus quoq; nostrum appellat, qua tamen eorum diuitiæ domantur, cum quibus abūdant frui nequeunt. ἐς πλούτου. ἢ τῶν πλουσίων οἶκον. aut εἰς cum ἐρχομένη copula. εἰσερχομένη, (figura tmesis) πλούτου πρὸς πόδας. ἀφροδίτης. Ex cruditatibus, ebrietate, immoderato ac intempestiuo rei Venereæ usu podagrā nasci scribit Aetius sermone 12. Luciani podager eam Cocyti filiam nominat, articularis morbi dolores impiorū cruciatibus non leuiores esse subindicans. Hippocrates περὶ παθῶν, ποδάγρη βιαιότερον μὲν τῶν τοιούτων ἁπάντων ὁκόσα περὶ τὰ ἄρθρα.

## ΕΝ ΤΩΔΕ ΤΡΙΤΩ ΤΜΗΜΑΤΙ
τῷ τὰ ψόγια ἔχοντι, περιέχεται κεφάλαια τάδε, εἰς

| | | |
|---|---|---|
| Ἀγαθοὺς ἄνδρας. | Γυναῖκας. | Νέους, καὶ νέας. |
| Ἀγωνιστάς. | Δούλους. | Ὄρνις. |
| Ἀδελφούς. | Ἥρωας. | Ποιητάς. |
| Ἁλιέας. | Ἰατρούς. | Ποιμένας. |
| Ἀνδρείους. | Ἰξευτάς. | Πόλεις. |
| Ἄνδρας οὐκ ἐπισήμους. | Ἰχθύας. | Πτωχούς. |
| Ἀρχαίους τινάς. | Κυνηγούς. | Πονηρούς. |
| Αὐλητάς. | Κιθαρῳδούς. | Ῥήτορας. |
| Βρέφη. | Μεθύσους. | Υἱούς, καὶ θυγατέρας. |
| Γέροντας. | Μοιχούς. | Φιλοσόφους. |
| Γεωργούς. | Ναυαγήσαντας. | |

# EPIGRAMMATVM GRAECORVM, IOANNIS BRODAEI TVRONENSIS SCHOLIIS illustratorum, Liber tertius.

## ΕΙΣ ΑΓΑΘΟΥΣ ΑΝΔΡΑΣ.

Εἰς Πλάτωνα.

ΣΩΦΡΟΣΥΝΗ προφέρων θνητῶν, ἤθει τε δικαίῳ,
ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης.
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
οὗτος ἔχει πουλὺν, καὶ φθόνον οὐ φέρεται.

Ἀδέσποτον.

Δουλικίτου μὲν ἄνακτα ἐν ἄκρον βιότοιο πρὸς ὄλβον
ἤγαγον ἐξ ἀρετῆς, καὶ κλέος ἀνθυπάτων.
ὡς δὲ φύσις μιν ἔλυσεν ἀπὸ χθονός, ἀθάνατοι μὲν
αὐτὸν ἔχουσι θεοί, σῶμα δὲ σηκὸς ὅδε.

Ἰουλιανοῦ Αἰγυπτίου.

Κλεινὸς Ἰωάννης. θνητὸς λέγε. γαμβρὸς ἀνάσσης,
θνητὸς ὅμως. γενεῆς ἄνθος Ἀναστασίου.
θνητὸς κἀκεῖνος. βίον ἔνδικος. οὐκ ἔτι τοῦτο
θνητὸν ἔφυς. ἀρεταὶ κρείσσονές εἰσι μόρου.

Χριστοδώρου.

Οὗτος Ἰωάννην κρύπτει τάφος. ὃς ῥ' Ἐπιδάμνου
ἄστρον ἔην, τὴν δὴ παῖδες ἀριπρεπέες
ἔκτισαν Ἡρακλῆος. ὅθεν καὶ μάρμαρος ἥρως,
αἰεὶ τῶν ἀδίκων σκληρὸν ἔκοπτε μόθος.
εἶχε δ' ἀπ' εὐσεβέων προγόνων ὀβρικυδέα πάτρην,
Λυχνιδὸν, ἣν Φοῖνιξ Κάδμος ἔδειμε πόλιν.
ἔνθεν λύχνος ἔην Ἑλικώνιος, οὕνεκα Κάδμος
στοιχείων Δαναοῖς πρῶτος ἔδειξε τύπον.
εἰς ὑπάτους δ' ἀνέλαμψε. καὶ Ἰλλυριοῖσι δικάζων,
μοῦνος, καὶ καθαρὴν ἐστεφάνωσε δίκην.

Ἀδέσποτον.

Εἰ χῶρος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
ναιετάου κατὰ θυμὸν ἀνὰ στόμα φωτὸς ἑκάστου,
ἀνθέα, σὺ ζώεις, οὐ κάτθανες. ἀλλά σε χῶρος
ἄμβροτος ἀθανάτων ἁγίων ὑπεδέκτο καμόντα.

Καρφυλίδου.

Μὴ μέμψῃ παριὼν τὰ μνήματί μου παροδῖτα.
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.

τέκνων

τέκνων τέκνα λέλοιπα, μιῆς ἀπέλαυσα γυναικὸς
συγγήρου, βιοτοῖς παισὶν ἔδωκα γάμους.
ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
οὐδενὸς οἰμώξας, οὐ νόσον οὐ θάνατον.
οἵ με κατανάσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
κοιμᾶσθαι, χώρην πέμψαν ἐπ' εὐσεβέων.

Ἀδεσπότου.

Μὴ σύ γε θνητὸς ἐών, ὡς ἀθάνατός τι λογίζου.
οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις.
εἰ καὶ τὸν δὲ Κάσανδρον ἔχει σορὸς ἥδε θανόντα,
ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

Εἰς τὸν αὐτόν.

Τίς λίθος οὐκ ἐδάκρυσε, σέθεν φθιμένοιο Κάσανδρε;
τίς πέτρος, ὃς τῆς σῆς λήσεται ἀγλαΐης;
ἀλλά σε νηλειής, καὶ βάσκανος ὤλεσε δαίμων,
ἡλικίην ὀλίγην εἰκοσιὲξ ἐτέων.
ὃς χήρην ἄλοχον θῆκεν, μογερούς τε τοκῆας
γηραλέους στυγερῷ πένθεϊ τειρομένους.

Θαλλοῦ.

Διοσσὰ φάη μέλλοντε τέως βλαστήματα γαίης,
ἴσταλις ὠλυμόρους ἀμφεκάλυψε κόνις.
πυρσὰ δὲ στεφάνων ἠλλάξαο. λείψανα δ' αἶ, αἶ,
ἔδρακον ἐν βαιῇ κάλπιδι κευθόμενα.
φεῦ, πάρα τετράλαινα. πόθεν πάλιν, ἢ πότε τοίους
ἀστέρας αὐχήσεις Ἑλλάδι λαμπομένους.

Καλλιμάχου.

Τῇδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον
κοιμᾶται. θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

Μελεάγρου.

Παμμῆτορ γῆ, χαῖρε. σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αὐσιγένην, καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

Ἡγησίππου.

Τὴν ἐπὶ πυρκαϊῆς ἐνδέξια φασὶ κέλευθον
ἑρμείην τοὺς ἀγαθοὺς εἰς ῥαδάμανθυν ἄγειν.
ᾗ καὶ ἀριστονόου Χαιρέστρατον οὐκ ἀδάκρυτος
παῖς ἡγησίλεω δῶμ' ἄϊδος κατέβη.

Ἀγαθίου σχολαστικοῦ ἐπὶ Θεοδότῳ τῷ γαμβρῷ, ἐπ' ἔχθρᾳ τετελευτηκότι τῆς ἰδίας γαμετῆς.

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρόμον, οὔτε μ' ἄκοιτις
ἔστυγεν, οὔτ' αὐτὸς Θεύδοτος εὐγενίης
ἐχθρὸς ἑκὼν γενόμην. ἀλλὰ φθόνος, ἤ τις ἀλάστωρ
ἡμέας εἰς τοίην ἤγαγεν ἀμπλακίην.

νῦν δ' ἤδη μίνωα καθαρὴν κρηπῖδα μολόντων,
ἀμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.

Παύλου σιλεντιαρίου.

Γηραλέος, ἐλευθερίην τῷ ἀειμνήστῳ, ἥδυς ἰδέσθαι,
ἐν βιότῳ πολιπῶν ἦεν γηροκόμον,
τύμβον ἔχει Θεόδωρος ἐπ' ἐλπίδι κρείσσονι μοίρης,
ὄλβιος ἐν καμάτοις, ὄλβιος ἐν θανάτῳ.

Λεωνίδου.

Ἐσθλὸς ἀριστοκράτης ὅτ' ἀπέπλεεν εἰς ἀχέροντα,
εἶπ' ὀλιγοχρονίης ἀψάμενος κεφαλῆς·
παίδων τις μνήσαιτο, καὶ ἑδνώσαιτο γυναῖκα;
εἰ καί μιν δακνεῖ δυσβίοτος πενίη,
ζωὴν συλώσαιτο; κακὸν δ' ἄστυλος ἰδέσθαι
οἶκος. ὁ δ' αὖ λωστος τ' ἀνδρὸς ἐσχαρεὼν,
θνητῶν φαίνοιτο, καὶ ἐν πολυκαεῖ ὄγκῳ
φυσῆ, αὐγάζων δαλὸν ἐπεσχάδιον.
ἤδει ἀριστοκράτης τὸ κρήγυον. ἀλλὰ γυναικῶν
ἀνθρώπ' ἤχθαιρεν τὴν ἀλιτροφροσύνην.

Σωφρονίου πατριάρχου ἱεροσολύμων εἰς
τὸν τάφον ἰωάννου πάπα
ἀλεξανδρείας.

Τύμβε, τίς, ἢ πόθεν; ἦν καὶ τίς; πῶς τίνος; ἔργα, καὶ ὄλβον;
νεκρός, ὃν ἔνδον ἔχεις, ἔννεπε κευθόμενον.
οὗτος ἰωάννης, κύπριος γένος, ὃς ἐτύχθη
θυγατρὸς Στεφάνου. ἦν δὲ νομεὺς φαρίης.
κτήμασι μὲν πολύολβος ὅλων πλέον, ὧν τρέφε κύπρος
ἐκ πατρὸς πατέρων, ἐξ ὁσίων τε πόνων.
ἔργα δὲ θέσκελα πάντα λέγειν, ἅπερ ἐν χθονὶ τεῦξεν
οὐδ' ἐμοῦ ἐστὶ νόου, οὐδ' ἑτέρων στομάτων.
πάντα γὰρ ἄνδρα παρῆλθε φαεινοτάταις ἀρετῇσι,
δείξαντα κρατέειν ταῖς ἀρεταῖς ἑτέρων.
τοῦ, καὶ κάλλεα πάντα, τάπερ πόλις ἔλλαχεν αὕτη,
εἰσὶ φιλοφροσύνης κόσμος ἀρειότατος.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Ἀρχὸς ἰωάννης φαρίης ἀρετῶν ἱερήων,
ἐνθάδε νῦν μετὰ τέρμα φίλῃ παρὰ πατρίδι κεῖται.
θνητὸν γὰρ λάχε σῶμα, καὶ εἰ βίον ἄφθιτον ἔσχεν.
ἀθανάτους πρήξεις τε κατὰ χθόνα ῥέξεν ἀπείρους.

Σιμωνίδου.

Τῶν αὐτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται.
Νικόδικον δὲ φίλοι, καὶ πόλις ἥδε κλάει.

Ἀδήλου.

Τοῦτό τι ἡμετέρης μνημήϊον ἐσθλὲ Σαβῖνε
ἁ λίθος ἁ μικρά, τᾶς μεγάλας φιλίας.

αἰεὶ

αἰεὶ ζητήσω σε. σὺ δ᾽ εἰ θέμις ἐν φθιμένοισι,
τῷ λήθης ἐπ᾽ ἐμοὶ μή τι πίῃς πόματος.

Ἀδήλου.

Ενθάδε τύμβος ἔχει θεουδέας ἄνδρας ἐσθλούς,
θεῖον ἰωάννην, τὸν πάνυ θευδόσιον.
ὧν ἀρετὴ πολύολβος ἐν οὐρανοῦ ἄντυγας ἦλθεν.
καὶ φωτὸς μετόχους δεῖξεν ἀκηρασίου.

Εἰς Νικόλαον πατριάρχην
ἀλεξανδρείας.

Ος βασιλῆας ἐδάμασσε, καὶ ἰσόρρεπον κατέπαυσεν
ἀντιπάλων, πατέρων εἵνεκεν εὐνομίης,
οὗτος ὑπὸ σμικρῷ κατάκειται σήματι τῷδε,
ἀρχιερεὺς χριστοῦ Νικόλεως γεγαώς.
ἀλλ᾽ ἀρετὴ πολύολβος ἐπέπτατο πείρατα κόσμου,
καὶ ψυχὴ μακάρων ἀμφιπολεῖ θαλάμους.
τοίην γὰρ βιοτὴν ποθέεσκεν ἐὼν ἔτι γαίης,
σῶμα καλὸν πιέζας κυδαλίμοις καμάτοις.

Εἰς τὸ αὐτό.

Στήλην εὐνομίης, καὶ σωφροσύνης ἀνάθημα,
εἰκόνα Νικόλεω στήσατο Γρηγόριος.
οὐδὲ θανὼν, κλέος ἐσθλὸν ἀπώλεσας ἐν χθόνα πᾶσαν,
ἀλλ᾽ ἔτι σῆς ψυχῆς ἀγλαὰ πάντα μένει.
ὡς ἔλαχές τ᾽, ἔμαθές τε φύσει μῆτιν πανάριστε.
τῷ ῥα καὶ ἐν μακάρων νῆσον ἔβης πυθέα.

Καλλιμάχου.

Ην δίζῃ Τίμαρχον ἐν ἅιδος, ὄφρα πύθηαι
ἤ τι περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεται,
δίζεσθαι φυλῆς πτολεμαΐδος, υἱέα πατρὸς
Παυσανίου, δήεις δ᾽ αὐτὸν ἐν εὐσεβέων.

## Ioannis Brodæi Turoneñ. Scholia.

ΘΝΗΤΩΝ. hominum. θεῖος ἀριστοκλέης. Plato cui prius Aristocli nomen fuit. Ammonius. τὸν γὰρ ἀριστοκλέα ἔδοξε τοῖς παλαιοῖς καλέσαι πλάτωνα καὶ τὸν τύρταμον θεόφραστον. fatetur in Platone Laertius: Apuleius. Platoni habitudo corporis cognomētum dedit. nanq; Aristocles prius nominatus est. Suidas. προσηγορεύετο δ᾽ ἀριστοκλῆς. διὰ δὲ τὸ πλατὺς εἶναι τὸ στέρνον, πλάτων ἐπωνομάσθη. ἄλλοι δὲ ὡς πλατὺν ἐν λόγοις πλάτωνα κληθῆναι. in Theophrasto tam est eloquendi uitor ille diuinus ut ex eo quoq; nomen traxisse dicatur. Strabo. τύρταμος δ᾽ ἐκαλεῖτο πρότερον ὁ θεόφραστος. μετωνόμασε δ᾽ αὐτὸν ὁ ἀριστοτέλης θεόφραστον, ἅμα μὲν φεύγων τὴν τοῦ προτέρου ὀνόματος κακοφωνίαν, ἅμα δὲ τὸν τῆς φράσεως αὐτοῦ ζῆλον ἐπισημαινόμενος, καὶ φθόνου οὐ φθέντα. inuidia maior, omnesq; longe antecellens. inuidentia nempe fere non nisi inter pares serpit. ἄνακτες. imperatores Cōstantinopolitani. ἀνθυπάτων. proconsulum. Qui dicantur proconsules, indicat Dion lib. 53. ὅδε. ἔχει. ἀνάσσης. Imperatoris Constantinopolitani uxoris. ἄνθος. decus. βίον ἔνδικον. integre uitæ. ὕστατον. hoc postremū. κρείσσονα μόρου. nō cum hominū interitu rerum præclare ab his

gestarum uirtutisq; perit memoria. μόρμορος ἥρως. Hercules. uide Appianū lib. bello. ciuiliū 2. τῶν ἀδίκων ἀνθρώπων. λυχνιάδην. λυχνίδην Stephano & Ptolemæo. λύχνιδος. Cadmū literas è Phœnicia in Græciam intulisse sedecim numero multi cum Herodoto autumāt. Has Orpheum inuenisse putat Alcidamas Rhetor, pleriq; Cecropē, Linum, Simonidē & Palamedem. is Cadmus etiā Thebarum Bœotiarū conditor est, cuius atq; Harmoniæ uxoris iuxta Lychnidū tumulum fuisse ex Dionysio Afro coniicimus. alij milesiū fuisse putant. ἔδειμε. cōstruxit, ędificauit. λύχνος. frigida allusio ad uocem λύχνιδος. εἰς ὑπάτους. Consularē dignitatē. ἐστεφάνωσε δίκην. Metaphora ab Athletis gymnicis, qui patrias suas uictores coronāt. ἀνὰ στόμα. in omniū ore. καμόντα. mortuū suscepit. περιών. trāsiēs. οὐδὲ θανών, ne mortuus quidē. οἵ με καταστείσαντες. qui me peractis exequijs &c. ὡς ἀθάνατος. tanquā immortalis sis futurus. ἐφημερίοις. Hominibus. φύσεως. uitę. τίς ὠμὸς; quis tam ferreus aut inhumanus. δαίμων. malus dæmon. θάνατον. λήσεται. obliuiscetur. ἡλικίην ὀλίγην, ἔχοντα, βεβιωκότα id, aut tale quidpiam subaudiendum. πένθει. propter tuū obitum. φάη. lumina. πένθεα δὲ στεφάνων. gaudiū tuū in mœrorem & luctū conuertisti. στέφανον pro lætitia usurpat, quod ueteres coronas bono audito nuncio, uictores, epulantes, faciētes sacra omnino trāquillo & securo animo tantū sumerent. Apollonij scholiastes. ἐχρῶντο δὲ τῇ στέψει ῥιχῶς. περὶ τῆς κεφαλῆς, περὶ τοῦ μετώπου, περὶ τὸν τράχηλον, τιθέμενοι τοὺς στεφάνους, διὰ τὸ θυμηδὲς τῆς τριμεροῦς ψυχῆς. ἀμφεκάλυψε. cōtexit. Hesiodus: θανάτου τέλος ἀμφεκάλυψε. Et, καὶ τὸ γένος γαῖα κάλυψε. ἔδρακες. uidisti. τριτάλαινα. ter misera. ἀκάνθιος. Acanthus Thraciæ & Aegypti est oppidum. ἱερὸν ὕπνον. magnum perpetuum. παμμήτορ. omniū mater & parēs. ὡς βαρὺ ἐστι. ut graciles sint, ijs fere usu uenit qui ad magnas atq; arduas res animū ualde appellunt. contra γῆς βάρος de homine uehementer inutili. καύτην castiga καύτη. νῦν. mortuū operiens. φιλεξια. dextra Græcis prospera uideri patefecimus. Homeri cōmentarius. ἀριστερὰ γὰρ σημαίνει τὰ ἀπαίσια. δεξιὰ δὲ τὰ συμφέροντα. ἑρμῆν. Mercuriū νεκροπομπόν. ἦ. qua uia. χαιρεστράτου. Cherestrati. ἡγησίλεω, ἀίδος. Agesilaus cognomē Plutonis est. παρὰ τὸ ἄγειν τοὺς λαούς. ἄρχει γὰρ τῶν θανόντων. Athenæus lib. 3. οἶδα δ᾽ ὅτι καὶ σιμωνίδης που ὁ ποιητὴς ἀρίσταρχον εἶπε τὸν δία. καὶ αἰσχύλος τὸν ἅδην ἀγησίλαον. Callimachus εἰς λουτρὰ τῆς παλλάδος. ὧ μόνος εὖτε θάνῃ πεπνυμένος ἐν νεκύεσσι φοιτάσει (Tiresias) μεγάλῳ τίμιος ἀγεσίλᾳ. usurpauit & Lactantius. δρόμον. mortem & ad manes descensum. θεόδοτος. θεόδοτος. ἧς τις ἄτη. de qua Homerus Iliad. ι. & τ. Hanc Aten dæmonem esse humano generi infensum & aduersariū qui diabolus dicitur, autor est post Iustinū martyrē Suidas. μίνωος κρηπῖδα. Minois solium. sedē. λευκὴν ψῆφον. absolutoriam. ἐλευθερίην ὑπεσχόμενος. liber. πρηύς. clemens, mansuetus. κρέσσονι μοίρης. quàm serui cōditio sperare possit. ἐς ἀχέροντα. cum animū efflaret. κεφαλῆς. suæ. παῖδ᾽ ὤν τις μνήσαιτο. Aristocrates animā agēs uxorē ducendū suadet. συλλώσαιτο. filijs. ἄστυλος. nullis liberis fulta. Aeschylus. στῦλον γὰρ ἀνδρὶ κληδὸν οἶδα σωτήριον. οἰκίαν igitur (ait) φαίνοιτο. quæ maxime in ædibus probat species nominatur εὔστυλος, quasi dicas decēter & probe colūna tam, habetq; spatia duarū columnarū & quartæ partis unius crassitudinis. ὄγκῳ magna lignorū cōgerie. Hoc quantū suspicor ad Homerica illa carmina respicit, quę in uita ipsius Homeri profert Herodotus. ἀνδρὸς μὲν στέφανοι παῖδες &c. αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι, & Adagiū: focus luculētus in ædibus. ἐφᾶ. norat. οὖδας. respōdet tumulus. νομεὺς φαρίης. Alexandriæ præsul. Agathias σῶμα τὸ φαρίης. Paulus Silentia. ἐκ φαρίης μαίην. Alexādrina Maria. ὅλον. omniū. κτήματα. diuitijs & possessionibus abūdans. ἐν χθονί. uiuus. πάντα γὰρ ἄνδρα. omnes

res qui unquã fuerint homines. πόλις αὕτη. Alexãdria. κάλλεα. uirtutes. ἀρχὸς ἱρήων. Sacerdotũ Alexandrinorũ. Alexandriæ patriarcha. ἀρετῶν. mansuetorũ. τέρμα. uitę finẽ & decursum spatiũ. κεῖται. sepultus. λάχε. λαγχάνω. ἀθανάτους. quarũ semper duratura est memoria. τὸν αὐτῶν ἕκαστος. Suorũ unusquisq; morte. ἥδε. hec urbs & λίθος. lapis hic est. ἐν φθιμένοισι. inter defunctos. τῆς λήθης. semper sis memor. Est Lethe Persarũ carcer, Hispaniæq; flumẽ Straboni, & Africæ Lucano Pharsal. 9. τὸν πάνυ. potentẽ, clarũ, illustrẽ. ἐς βασιλεῖς. Cõstãtinopolitanos. ἀντιπάλων. hæreticorũ. συνόδοις. Synodorũ. νικόλεως, Nicolaus Christi põtifex & patriarcha factus. ἐπὶ πόλον. ad cœlũ usq; peruenit. ποθέεσκεν. quæsiuit, & egit. σῶμα πιέζας. corpus affligẽs, & castigans. καμάτοις. ieiunijs, uigilijs. ἐς χθόνα. in terra. ὡς ἔλαχες. quoniã & naturæ beneficio contigerant ac labore tibi ipse paraueras cõplura. ὧν ἔλαχον nõ rasissem. φύσει μᾶλλον πανάριστε. natura prudẽtissime. τοὔνεκα. Idcirco. πυθέα. ad fortunatas insulas quarũ meminit Pytheas geographus Massiliẽsis, quẽ appellãt Strabo, Cleomedes, Plinius. πυθέα. Pytheæ gignẽdi casu. quidã ποθέων legũt. ἐν ἀΐδῃ. ὄφρα πύθηαι. audias uel perconcteris. ἢ πάλι. post obitũ. φυλῆς πτολεμαΐδος. Tribus Atheniẽsis, Pausanias ὕστερον δὲ καὶ ἀπὸ τῶνδε, φυλὰς ἔχουσιν οἱ ἀθηναῖοι, ἀττάλου τοῦ μυσοῦ, καὶ πτολεμαίου τοῦ αἰγυπτίου, καὶ κατ᾽ ἐμὲ ἤδη βασιλέως ἀδριανοῦ. fuit & Alexãdriæ tribus Ptolemæa nuncupata. grãmatici, ἀπολλώνιος ὁ τῶν ἀργοναυτικῶν ποιητὴς, τὸ μὲν γένος ἦν ἀλεξανδρεὺς, φυλῆς πτολεμαΐδος. ἐν θιάσῳ βίων. beatorũ choro & insulis Timarchũ hunc philosophũ fuisse apparet.

ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ. Σιμωνίδου.

Εἶπον τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δὲ νικῆς.
Κάσμυλος, εὐαγόρου, πύθια, πὺξ, ῥόδιος.

Τοῦ αὐτοῦ.

Μίλωνος τόδ᾽ ἄγαλμα καλοῦ καλόν, ὅς ποτε πίσῃ
ἑπτάκι νικήσας, ἐς γόνατ᾽ οὐκ ἔπεσεν.

Φιλίππου.

Τὸν ἐκ σινώπης ὦ κλύεις Δαμόστρατον,
πίτυν λαβόντα τὴν κατ᾽ ἰσθμὸν ἑξάκις,
τοῦτον δ᾽ ἑόρακας, οὗ κατ᾽ ἄγυρον πάλιν
ψάμμος πεσόντος νῶτον οὐκ ἐσφράγισεν.
ἴδ᾽ ὡς πρόσωπον θηρόθυμον, ὡς ἔτι
σώζει παλαιὰν τὴν ὑπὲρ νίκας ὄριν.
λέγει δ᾽ ὁ χαλκὸς, ὦ βάσις με λυσάτω.
χὼς ἔμπνοος νῦν ἐβδόμου κονίσομαι.

Καλλιμάχου.

Σύντομος ἦν ὁ ξεῖνος ὃ καὶ τάφος. οὐ μακρὰ λέξω.
Θῆρις, ἀριστᾰίου, κρὴς, ἐπ᾽ ἐμοὶ δολιχόν.

εἶπον. dic. τίνος. quo patre natus. ἑπτάκι νικήσας. Idem opinatur Erasmus in Adagio Crotoniatarum postremus. Suidas cum Pausania, Elia, β. sexies non septies Milonem ex Olympia palmam retulisse uult. de eo sermonem infert Athenęus lib. 10. Strabo. 6. Philostratus in Apollonio 4. Gellius 15. Aristophanis in batra. commentarij, & Plinius cum alias tum lib. 37. ubi quod Alectorijs in certaminibus uteretur inuictũ putasse multos ait, nõ id mea quidẽ sentẽtia credidit ipse Plinius. Quid; cũ Titormo bubulco infirmior iudicatus est; Quid; cũ

à Timasitheo ciue suo ualentiore athleta prostratus est, lapillo tum caruisse aut Ephesiis literis non uiribus, iam grandem natu, uocciferatæ essent rebus addicendæ necessarijs pecudes. δεδορκώς. uides οὐ νῶτον, cuius dorsum. εὔγυρον πάλην. uidemus enim se inuicem luctatores in gyrum cõtorquere. οὐκ ἐσφράγισεν. pulueri nõ est impressum: quem aduersarius nunquam deiecit. θηρόθυμον. Leoninam ferocitatem præ se ferens. ἕβδομον. nam supra ἑξάκις duxit. κονίσομαι. pugnabo. puluere conspergar. nam certaturi athletæ oleo inungebantur. κήρωμα uocant, pulueris aspersionem ἁφήν. pulverem ipsum κόνιν. τῷ ἐμοὶ δολιχόν. uictor dolichodromus. erant enim diaulodromi, oplitodromi, hemerodromi & stadiodromi cursores.

ΕΙΣ ΑΔΕΛΦΟΥΣ. Ἀγαθίου.

Ἀντίοχος, καὶ Παῦλος, ἀδελφεὼ ἀμφὼ ἐόντε,
ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην.
ξυνὰ δὲ καὶ μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα
Βοσπορίην, ξυνὴν ἀμφεβάλοντο κόνιν.
οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
ἀλλὰ ξυντρεχέτην καὶ παρὰ Φερσεφόνην.
χαίρετον ὦ γλυκερὼ, καὶ ὁμόφρονε, σήματι δ' ὑμέων
ὤφελεν ἱδρῦσθαι βωμὸς ὁμοφροσύνας.

Τοῦ αὐτοῦ.

Δὶς δύ' ἀδελφοὺς ἐπέχει τάφος. ἓν γὰρ ἐπέσχον
ἦμαρ καὶ γενεῆς οἱ δύο, καὶ θανάτου.

ξυνὴν συζυγίην. an gemellos fuisse, an potius una uixisse ostendit. θῖνα Βοσπορίην. litus Bosphori. Etymologicus in uerbo Βόσπορος. Bosphorus Procopio ciuitas est maritima. συντρεχέτην. una profecti sunt. εἷς τάφος. δύ' ἀδελφοὺς ἐπέχει. ἓν γὰρ ἐπέσχον. simul geniti sunt, simul perierunt.

ΕΙΣ ΑΛΙΕΑΣ. Σαπφοῦς.

Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἀνέθηκε Μενίσκος,
κύρτον, καὶ κώπαν, μνᾶμα κακοζωΐας.

Ἰουλιανοῦ αἰγυπτίου.

Μύγδων τέρμα βίοιο λαχὼν, αὐτόστολος ἦλθεν
εἰς ἀΐδην, νεκύων πορθμίδος οὐ χατέων.
ἣν γὰρ ἔχε ζώων βιοδώτορα μάρτυρα μόχθων,
ἄγρας εἰναλίας πολλάκι βριθομένην,
τὴν δὲ καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
εὗρεν, συλλήξας ὁλκάδι καιομένῃ.
οὕτω πιστὸν ἄνακτι τέλε σκάφος, οἶκον ἄεξον
Μύγδωνι, καὶ σύμπλουν τὸν βίον, τὸν θάνατον.

Ἀπολλωνίδου.

Ἰχθυοθηρητῆρα Μενέστρατον ὤλεσεν ἄγρη,
δόναξ δ' ἁμίης ἐκ τριχὸς ἑλκομένη.
εἶδαρ ὅτ' ἀγκίστρου φόνιον πλάνον ἀμφιχανοῦσα,
ὀξείην ἐρυθρὴ φυκὶς ἔφριξε πάγην.
ἀγνυμένη δ' ὑποδῦσα κατέκτανεν ἅλματι λάβρῳ
ἐντὸς ὀλισθηρῶν δυσβαίνη φαρύγων.

ἀνέθη-

ἀνέθηκε. sepulchro imposuit. in lapide incidit. Virgilius Aeneidos 6. suaq; arma uiro remumq; tubamq;. ex Homero Odyss. λ. πῆξαι τ' ἐπὶ τύμβῳ ἐρετμόν. ex eo liquet apud Maronem remum, tonsam esse non lorum quod continet tubam. αὐτόσολος. suo acatio crematus. νεκύων πορθμῆος. Charontis Cymbulæ. Latina dictio est Cymbula. Plinius iunior. uelut Cymbulæ onerarijs adhærescunt. Valerius Maximus libro primo. pro classe & exercitu Cymbulam eis denisus gratia miserunt. Sibyllam. expunge. Hoc uero, uera fatorum prædictione ad oraculum referre conuenit, quo Samij admoniti fuerant ut rebus afflictis Prienensiumq; auxilio implorato eo freti cum hostibus dimicarent. Ita illi uera fatorum prædictione uictoriæ ducem nauiculam habuerunt. ζώων μόχθων. uitæ laborum. σύνδρομον. cursus & itineris comitem. συλλήξας. diem claudens. πέλε. erat. οἶκον. domum. rem familiarem. ἄγρη. Phycis piscis. ἄγρη ἑλκομένη, ἐκ τευχός, ἐκ τ' ὀρμιᾶς. δόνακος. Calami piscatorij. δι' ἀμίης. Amia pisce. ego tamen legendum censeo ἱππείος non δι' ἀμίης. ἀμφιχανοῦσα. ἄγρη. Phycis. ἔφριξε. uehementer commouit. πάγλω. ipsum calamum. ἀχνυμένη. dolens ob iniuriam sibi à Menestrato illatã. nec ἀγνυμένη displicet. ἀποδιῶτα. Menestratũ in mare prolapsum, & urinantẽ. φαρύγων. faucium Menestrati piscatoris, quem præfocauit.

## ΕΙΣ ΑΝΔΡΕΙΟΥΣ.

### Ἀνακρέοντος.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σῆμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

### Ἀντιπάτρου.

Ὄρνι Διὸς Κρονίδαο διάκτορε, τοῦ χάριν ἕστας
γοργὸς ὑπὲρ μεγάλου τύμβον ἀριστομένους;
ἀγγέλλω μερόπεσσιν, ὁθούνεκεν ὅσσον ἄριστος
οἰωνῶν γενόμαν, τόσσον ὅδ' ἠιθέων.
δειλαὶ δειλοῖσιν ἐφεδρήσσουσι πέλειαι.
ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα.

### Ἀνακρέοντος.

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα,
πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις.
οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης,
ἠνάρισε στυγερῆς ἐν στροφάλιγγι μάχης.

### Μενάνδρου εἰς ἐπίκουρον, καὶ Θεμιστοκλέα.

Χαῖρε Νεοκλείδα, δίδυμον γένος. ὧν ὁ μὲν ὑμῶν,
πατρίδα δουλοσύνας ῥύσαθ', ὃ δ' ἀφροσύνας.

### Γερμανικοῦ εἰς Θεμιστοκλέα.

Ἀντὶ τάφου λιτοῖο, θὲς Ἑλλάδα. θὲς δ' ἐπὶ ταύτᾳ
δούρατα, βαρβαρικᾶς σύμβολα ναυφθορίας.
καὶ τύμβῳ κρηπῖδα περίγραφε περσικὸν Ἄρη,
καὶ Ξέρξην. τούτοις θάπτε Θεμιστοκλέα.
στάλα δ' ἁ Σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα
τἀμά. τί με σμικροῖς τὸν μέγαν ἐντίθετε.

Τοῦ αὐτοῦ.

Τοῦτο Θεμιστοκλεῖ κενὸν ἠρίον εἵσατο μάγνης
 λαός, ὅτ' ἐκ μήδων πατρίδα ῥυσάμενος,
ὀθνείην ὑπέδυ χθόνα, καὶ λίθον. ἤθελεν οὕτως
 ὁ φθόνος. αἱ δ' ἀρεταὶ μεῖον ἔχουσι γέρας.

Ἀλφειοῦ εἰς τὸν αὐτόν.

Οὔρεα μοῦ καὶ πόντον ὑπὲρ τύμβοιο χάρασσε,
 καὶ μέσον ἀμφοτέρων μάρτυρα λητοΐδην,
ἀενάων τε βαθὺν ποταμῶν ῥόον. οἵ ποτε ῥεέθροις
 Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν ἄρη.
ἔγγραφε καὶ Σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
 κηρύσσῃ μάγνης δῆμος ἀφθιμένου.

Διοδώρου εἰς τὸν αὐτόν.

Μὴ μέτρει μάγνητι τὸ πηλίκον οὔνομα τύμβῳ,
 μὴ δὲ Θεμιστοκλέους ἔργα σε λανθανέτω.
τεκμαίρου Σαλαμῖνι, καὶ ὁλκάσι τὸν φιλόπατριν.
 γνώσῃ δ' ἐκ τούτων μείζονα κεκροπίης.

Διοτίμου.

Οὐδὲ λέων ὡς δεινὸς ἐν οὔρεσιν, ὡς ὁ Μίκωνος
 υἱὸς Κριναγόρης ἐν σακέων πατάγῳ.
εἰ δὲ κάλυμμ' ὀλίγον, μὴ μέμφεο. μικρὸς ὁ χῶρος,
 ἀλλ' ἄνδρας πολέμου τλήμονας οἶδε φέρειν.

Διοσκουρίδου.

Τὰν πιτάνᾳ Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους
 ἑπτὰ πρὸς ἀργείων τραύματα δεξάμενος,
δεικνὺς πρόσθια πάντα. τὸν αἱματόεντα δ' ὁ πρέσβυς
 παῖδ' ἐπὶ πυρκαϊῆς Τύννιχος εἶπε τιθείς,
δειλοὶ κλαιέσθωσαν. ἐγὼ δὲ σε τέκνον, ἄδακρυς
 θάψω, τὸν καὶ ἐμόν, καὶ λακεδαιμόνιον.

Ἐρυκίου.

Ἀνίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ
 πάντα τὸν ὁπλιστὴν κόσμον ὀλωλεκότα,
αὐτά τοι φονίαν Δαμάτριε αὐτίκα λόγχαν
 ὦσε διὰ πλευρῶν ὠσαμένα λαγόνων,
κάτθανε, μηδ' ἐχέτω σπάρτα ψόγον. οὐ γὰρ ἐκείνα
 ἤμπλακεν, εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.

Δαμαγήτου.

Ὤλεθ' ὑπὲρ ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας,
 τεθνάμεν, ἢ φεύγειν εἵλετ' ἀρισταγόρας,
υἱὸς Θευπόμπου. μὴ θαῦμ' ἔχε. δωρικὸς ἀνήρ,
 πατρίδος, οὐ ζωᾶς ὀλλυμένας ἀλέγει.

Ἀπολλωνίδου.

Αἴλιος αὐσονίης στρατιῆς πρόμος, ὁ χρυσέοισι
 στέμμασι σωρεύσας αὐχένας ὁπλοφόρους,

νοῦσον ὅτ' εἰς ὑπάτην ὤλισθανε, τοῦ μετ' ἄφυκτον,
  ἄθρει ἀριστείην ἀμφανὲς εἰς ἰδίην.
πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος. εἶπέ τε θνήσκων,
  αὐτὸς ἑκὼν ἐδάμην, μὴ νόσος εὖχος ἔχοι.

Φιλίππου εἰς τὸν αὐτόν.

Αἴλιος ὁ θρασύχειρ, ἄγχους πρόμος, ὁ ψελιώσας
  αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,
τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδρακε θυμῷ
  ὑστατίων ἔργων ἄρσενα μαρτυρίην.
ὦσε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον, ἓν μόνον εἰπὼν,
  ἄνδρας Ἄρης κτείνει, δειλοτέρους δὲ νόσος.

Μνασάλκου.

Οἵδε πάτραν πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσαν
  ῥυόμενοι, δνοφερὰν ἀμφεβάλοντο κόνιν.
ἄρνυνται δ' ἀρετᾶς αἶνον μέγαν. ἀλλά τις ἀστῶν
  τούσδ' ἐσιδὼν, θνάσκειν τλάτω ὑπὲρ πατρίδος.

Γετουλικίου.

Ὦ χρόνε, παντοίων θνητοῖς πανεπίσκοπε δαῖμον,
  ἄγγελος ἡμετέρων πᾶσι γενοῦ παθέων.
ὡς ἱερὰν σώζειν πειρώμενοι Ἑλλάδα χώρην,
  Βοιωτῶν κλεινοῖς θνήσκομεν ἐν δαπέδοις.

Ἀντιπάτρου.

Ἰσσοῦ τοὶ προβολῇσιν ἁλὸς παρὰ κῦμα κιλίσσης
  ἄγριοι αἱ περσῶν κείμεθα μυριάδες,
ἔργον ἀλεξάνδροιο μακηδόνος. οἵ ποτ' ἄνακτι
  Δαρείῳ πυμάτην οἶμον ἐφεσπόμεθα.

Ἀλκαίου.

Ἄκλαυστοι, καὶ ἄταφοι ὁδοιπόρε τῷδ' ἐπὶ τύμβῳ,
  ἠμαθίης βίος αἱ κείμεθα μυριάδες.
ἠμαθίῃ μέγα πῆμα. τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
  πνεῦμα, θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

Εἰς τοὺς ἐν θερμοπύλαις θανόντας.

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
  ἐκ πελοποννήσου χιλιάδες τέτταρες.

Εἰς τοὺς αὐτούς.

Ὦ ξεῖν' ἄγγειλον λακεδαιμονίοις, ὅτι τῇδε
  κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

Εἰς τοὺς αὐτούς.

Ἀκμᾶς ἑστηκυῖαν ἐπὶ ξυροῦ ἑλλάδα πᾶσαν,
  ταῖς ἡμῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

Εἰς τοὺς αὐτούς.

Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες,
  κυάνεον θανάτου ἀμφεβάλοντο νέφος.

οὐδὲ

οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ ἀΐδα.

Εἰς τοὺς αὐτούς.

Εἰ τὸ καλῶς θνήσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.
ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι,
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

Σιμωνίδου.

οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὤλεσαθ' ἥβην,
πλείστοις ἑλλήνων ἀντία μαρνάμενοι.

Αἰσχύλου.

Κυανέη καὶ τούσδε μελάγχιμος ὤλεσεν ἄνδρας
μοῖρα, πολύῤῥηνον πατρίδα ῥυομένους.
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες, ὀσσαίαν ἀμφιέσαντο κόνιν.

Ἀδέσποτον.

Παῖδες ἀθηναίων, περσῶν στρατὸν ἐξολέσαντες,
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

Σιμωνίδου.

Οἵδε παρ' εὐρυμέδοντί ποτ' ἀγλαὸν ὤλεσαν ἥβην,
μαρνάμενοι μήδων τοξοφόρων προμάχοις,
αἰχμηταὶ πεζοί τε, καὶ ὠκυπόρων ἐπὶ νηῶν.
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

Πλάτωνος.

Οἵδε ποτ' αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες,
ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε κλυτή ποτε πατρὶς ἐρέτρια, χαίρετ' ἀθῆναι
γείτονες εὐβοίης, χαῖρε θάλασσα φίλη.

Ἄδηλον.

Εὐβοίης γένος εἰμὲν ἐρετρικόν. ἄγχι δὲ σούσων
κείμεθα. φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

Δαμαγήτου.

Ὦ λακεδαιμόνιοι, τὸν ἀρήϊον ὕμμιν ὁ τύμβος
γύλιππον ὑπὲρ θυρέας οὗτος ἔχει φθίμενον,
ἄνδρα, ὃς ἀργείων τρεῖς ἔκτανε. καὶ τόδε γ' εἶπε,
τεθναίην, σπάρτης ἄξια μησάμενος.

Τύμνεω.

Τὸν παραβάντα νόμους δαμάτριον ἔκτανε μάτηρ
ἁ λακεδαιμονία, τὸν λακεδαιμόνιον.
θηκτὸν δ' ἐν προβολᾷ θεμένα ξίφος, εἶπεν, ὀδόντα
ὀξὺν ἐπιβρύκουσ' οἷα λάκαινα γυνά.
ἔῤῥε κακὸν σκυλάκευμα, κακὰ μερίς, ἔῤῥε ποθ' ἅδαν,
ἔῤῥε, τὸν οὐ σπάρτας ἄξιον ἐτρεφόμαν.

Διοσκουρίδου.

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
παῖδας, ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ.
δάκρυα δ' οὐκ ἔρρηξ' ἐπὶ πένθεσιν, ἀλλὰ τόδ' εἶπε
μοῦνον, ὦ σπάρτα, σοὶ τέκνα ταῦτ' ἔτεκον.

Φαέννου.

Οὐκ ἔτλας ὦ ἆρσε Λεωνίδα αὖθις ἱκέσθαι
Εὐρώταν, χαλεπῷ σπερχόμενος πολέμῳ,
ἀλλ' ἐπὶ Θερμοπύλαισι τὸ περσικὸν ἔθνος ἀμύνων,
ἐδμάθης, πατέρων ἁζόμενος νόμιμα.

Δαμαγήτου.

Ὤλεο δὴ πατέρων παρὰ λαΐδα καὶ σὺ Μαχάτα,
δηΐων ἐπ' αἰτωλοῖς ἀντιφέρων πόλεμον,
πρωθήβας. χαλεπὸν γὰρ ἀχαιϊκὸν ἄνδρα νοῆσαι
ἄλκιμον, ἐς πολιὴν ὅς τις ἔμεινε τρίχα.

Τοῦ αὐτοῦ.

Ἔστης ἐν προμάχοις Χαιρωνίδη, ὧδ' ἀγορεύσας,
ἢ μόρον, ἢ νίκαν ζεῦ πολέμοιο δίδου,
ἡνίκα τοι περὶ τάφρον ἀχαιίδα τῇ τότε νυκτὶ
Δυσμενέες θρασέος δῆριν ἔθεντο πόνου.
ναὶ μὴν ἀλλ' ἀρετή σε Λακεδαιμὸν ἅλις ἀείδει,
θερμὸν ἀνὰ ξένην αἷμα χέαντα κόνιν.

Λεωνίδου.

Τὴν ὀλίγην βῶλον, καὶ τοῦτ' ὀλιγήριον οὖδας
σῆμα περιφθέγξαι τλήμονος ἀλκιμένους.
εἰ καὶ πᾶν κέκρυπται ὑπ' ὀξείης παλιούρου,
καὶ βάτου, ἣν ποτ' ἐγὼ δήιος ἀλκιμένης.

Ἀνύτης.

Λύδιον οὖδας ἔχει τόδ' Ἀμύντορα παῖδα Φιλίππου
πολλὰ σιδηρείης χερσὶ θιγόντα μάχης.
οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἤγαγε νυκτὸς,
ἀλλ' ὄλετ' ἀμφ' ἑτάρων σχὼν κυκλόεσσαν ἴτυν.

Τῆς αὐτῆς.

Οὐχὶ Θεμιστοκλέους Μάγνης τάφος, ἀλλὰ κέχωσμαι
ἑλλήνων φθονερᾶς σῆμα κακοτροπίης.

Ἀδαίου.

Ἠμαθίην ὃς πρῶτος ἐς ἄρεα βῆσε Φίλιππος,
αἰγαίην κεῖμαι βῶλον ἐφεσσάμενος,
ῥέξας οἷ' οὔπω βασιλεὺς πάρος. εἰ δέ τις αὐχεῖ
μεῖζον ἐμοῦ, καὶ τοῦθ' αἵματος ἡμετέρου.

Παρμενίωνος.

Τύμβον ἀλεξάνδροιο μακηδόνος ἤν τις ἀείδῃ,
ἠπείρους κείνου σῆμα λέγ' ἀμφοτέρας.

Ἀδήλου.

Οἵδ' Ἄϊδαν στέρξαντες ἐνύπνιον, οὐχ ἅπερ ἄλλοι
στάλαν, ἀλλ' ἀρετὰν ἀντ' ἀρετᾶς ἔλαβον.

Πολυστράτου.

Τὸν μέγαν Ἀκροκόρινθον Ἀχαιΐδος, Ἑλλάδος ἄστρον,
καὶ διπλῆν Ἰσθμοῦ σύντροφον ἠϊόνα,
Λεύκιος ἐστυφέλιξε· δοριπτοίητα δὲ νεκρῶν
ὀστέα σωρευθεὶς εἷς ἐπέχει σκόπελος.
τοὺς δὲ δόμον Πριάμοιο πυρὶ πρήσαντας Ἀχαιούς,
ἀκλαύστους κτερέων νόσφισαν Αἰνεάδαι.

Πεισάνδρου.

Ἀνδρὶ μὲν, Ἱππαίμων ὄνομ' ἦν. ἵππῳ δὲ, Πόδαργος,
καὶ κυνὶ, Θήραργος, καὶ θεράποντι, Βάβης,
Θεσσαλὸς, ἐκ Κρήτης, Μάγνης γένος, Αἵμονος υἱός.
ὤλετο δ' ἐν προμάχοις, ὀξὺν ἄρη συνάγων.

Ἀδήλου.

Οἱ πρὸς Ῥωμαίους δεινὸν στήσαντες ἄρηα,
κεῖνται, ἀριστείης σύμβολα δεικνύμενοι.
οὐ γάρ τις μετὰ νῶτα τυπεὶς θάνεν, ἀλλ' ἅμα πάντες
ὤλοντο κρυερῷ, καὶ δολερῷ θανάτῳ.

Σιμωνίδου.

Θηρῶν μὲν κάρτιστος ἐγὼ, θνατῶν δ' ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.

Ἀδήλου.

Ἀλλ' εἰ μὴ θυμόν γε λέων ἐμὸν ὡς ὄνομ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

Ἀδήλου.

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν, οὐχ ἵκετο καπνὸς
αἰθέρα δαιομένης εὐρυχόρου Τεγέης.
οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι θανεῖν.

Βάσσου.

Φωκίδι πὰρ πέτρῃ δειρηδὸν τάφος, εἰμὶ δ' ἐκείνων
τῶν ποτὲ Μηδοφόνων μνῆμα τριηκοσίων.
οἳ Σπάρτας ἀπὸ γᾶς τηλοῦ πέδον ἀμβλώσαντες
ἄρεα καὶ Μήδων, καὶ Λακεδαιμονίων.
ἦν δ' ἐσορῇς ἐπ' ἐμεῖο        βόστρυχον, εἰκόνα θῆρος,
ἔννεπε τοῦ ταγοῦ μνᾶμα Λεωνίδεω.

Γαίτου.

Δισσὰ τριηκοσίων τάδε φάσγανα θούριος ἄρης
ἔσπασεν Ἀργείων, καὶ Λακεδαιμονίων,
ἔνθα μάχην ἔτλημεν ἀνάγγελον, ἄλλος ἐπ' ἄλλον
πίπτοντες. θυρέα δ' ἦσαν ἄεθλα δορός.

Εἰς τὸ αὐτό.

Οἵδε τριακόσιοι σπάρτα πατρί, τοῖς συναρίθμοις
ἰναχίδαις θυρέαν ἀμφιμαχεσσάμενοι,
αὐχένας οὐ στρέψαντες, ὅπᾳ ποδὸς ἴχνια πρῶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' ὀθρυάδαο φόνῳ κεκαλυμμένον ὅπλον
καρύσσει, θυρέα ζεῦ λακεδαιμονίων.
αἰ δέ τις ἀργείων ἔφυγεν μόρον, ἦν ἀπ' ἀδράστου,
σπάρτᾳ δ' οὐ τὸ θανεῖν, ἀλλὰ φυγεῖν θάνατος.

Χαιρήμονος.

Τοῖς ἀργείοις χ' ἡμῖν ἴσαι χέρες, ἶσα δὲ τεύχη
συμβάλομεν. θυρέα δ' ἦσαν ἄεθλα δορός.
ἄμφω δ' ἀπροφάσιστα τὸν οἴκαδε νόστον ἀφέντες,
οἰωνοῖς θανάτου λείπομεν ἀγγελίαν.

Σιμωνίδου.

Εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,
οἳ θάνον, εὔμηλον ῥυόμενοι τέγεαν.
αἰχμηταὶ πρὸ πόλιος, ἵνα σφίσι μὴ καθέληται
ἑλλὰς ἀποφθιμένοις, κάρτος ἐλευθερίας.

Ἀνύτης.

Μνῆμα τόδε φθιμένου Μενεδαΐου εἵσατο Δᾶμις,
ἵππῳ ἐπεὶ στέρνον τοῦδε δαφοινὸς ἄρης
τύψε, μέλαν δέ οἱ αἷμα ταλαυρίνου διὰ χρωτὸς
ζέσσ', ἐπὶ δ' ἀργαλέαν βῶλον ἔδευσε φόνῳ.

Σιμωνίδου.

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί, σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν εὐρίπου δημοσίᾳ κέχυται,
οὐκ ἀδίκως. ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα,
τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.

Τοῦ αὐτοῦ.

Εὐκλέας αἶα κέκευθε Λεωνίδα, οἳ μετὰ σεῖο
τῇδ' ἔθανον, σπάρτης εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε, καὶ ὠκυπόδων σθένος ἵππων,
μηδείων τ' ἀνδρῶν δεξάμενοι πόλεμον.

Νικάνδρου.

Ζεῦ πάτερ, ὀθρυάδα τίνα φέρτερον ἔδρακες ἄλλον,
ὃς μόνος ἐκ θυρέας οὐκ ἐθέλησε μολεῖν
πατρίδ' ἐπὶ σπάρταν, διὰ δὲ ξίφος ἤλασε πλευρῶν,
δοῦλα καταγράψας σκῦλα κατ' ἰναχιδᾶν;

Θεοδωρίδου.

Τόλμα, καὶ εἰς ἀΐδαν, καὶ τὸν οὐρανὸν ἄνδρα κομίζει,
ἃ καὶ Σωσάνδρου παῖδ' ἐπέβασε πυρᾶς
Ἀκρόθυον. φθία γὰρ ἐλεύθερον ἦμαρ ἰάλλων,
ἐργαίων συκέων μεσόθι, καὶ χιμάρας.

ō. cuius. οὐκ ἀγαθῶν φειδὼ. fortissimū quæq; sibi solet pignerari. ὄρνι θεὸς. Aquila Iouis nuncie. τοῦ. τίνος χάριν. δεσπο ἀρίστου. Aristomenem omniū Græcorum optimum Apollinis oraculo iudicatū attestatur in Messenicis Pausanias, ex quo hæc Valerij Maximi uerba lib. 1. cap. 8. bis ingrata censenda. oculis eius admirabilius Aristomenis Messenij cor, quod Athenienses ob eximiam calliditatem executū pilis refertū inuenerunt, cū eū aliquoties captū, & astutia elapsum cepissent. Rhodi siquidē ē uita migrauit, nec ab Atheniesib. captus est unquā sed à Lacedæmonijs semper Aristomenes. posteriori clausulæ cōsentit Plinius lib. 11. cap. 37. Stephanus in uoce ἀνδανία. atq; alij. ἀλφησταῖς. hominibus, ἄμμε. nos aquilæ, ἠιθέων. quidam ἡμιθέων. ἀβδηρων. Abdera Thraciæ & Hispaniæ ciuitas. δυοβίων. uiolentū. αἰδ πόλις. Abdera. νέων. iuuenū. ὁ φιλαίματος. sanguine gaudēs. νικοκλείδα. Themistocles & Epicurus patribus procreati sunt, quibus idem nomē erat Neocles. quorū ille apud Salaminem insulā partim capta partim demersa Persarū classe Græciā seruitute liberauit. Hic ut putat Menander, Lucianus, Lucretius, Torquatus in lib. Ciceronis de Finib. bon. et malorū, superstitionem ex hominū mentibus eruit, qua imbuti, quieti esse nō possunt. floruit Themistocles 75. Olympiade, qua exercitū in Græciā trāsportauit Xerxes. natus est autem tertio 109. Olymp. anno Epicurus. ὑμῶν πατρίδα. Athenas. δὲ. pone. ὡ ταῦτα. ἐλλάδι. ναυφθόρας. apud Salaminem τάφε. mea. σμικρὸς χυτὸς. paruo tumulo cōdite. ἀλλ᾽ ὃ μάγνης. fato functus est in Magnesia Asiæ Themistocles. Huius ossa clam ab affinibus & amicis ē busto domum trāslata sunt, quoniā legibus nō concederet proditionis damnatos in Attica sepelire. ostendit Thucydides lib. 1. Aemilius Probus. Marcellinus. ὁ γὰρ ἥλιω φανερῶς ἀπήγων ἀθῆναις τ̄ ὅσι προδοσία φεύγοντα. Lycurgus κατὰ λεωκράτους. ἐκεῖνοι τὰ μὲν τ̄ προδότου ὀστᾶ ἀνορύξαντες ἐκ τ̄ ἀττικῆς ἐξώρισαν. Antiphontis prolegomena. καὶ ποῦ τῶν προδοτῶν ὑπὸ τῶν ἀθηναίων ἀτάφου ἐρρίφη. Diodori à Plutarcho in calce uitæ Themistoclis, citati opinionē confirmat in Att. Pausanias. ἡ πρὸς τῷ μεγίσῳ λιμένι, τάφος θεμιστοκλέους. φασὶ γὰρ μεταμελῆσαι τ̄ θεμιστοκλεα ἀθηναίοις, μήδων. Persarum. ὑπὸ δ᾽ ν. cum sepultus est. ὁ φθόνος. Atheniensium. οὔρεα. Athon. montes perfossos. καὶ πόντῳ. ratibus cōstratum. λυθέντα. Solem. οἱ ποτε ῥεύθροις. aliquot amnes in Polymnia recēset Herodotus, quos Xerxis copiæ (si credere dignum est) siccarūt. nam cōtra hæc insurgit Iuuenalis: & quicquid Græcia mendax audet in historia. μνειονων ἀρη. in qua expeditione maximus fuit nauiū numerus. Cōsule Herodotū in Polymnia. Aemilius Probus: Xerxis enim classis mille & ducentarū nauium longarū fuit, quam duo millia onerariarum sequebantur. Tzetzes. ὡ πᾶς ὁ στρατιωτικὸς ἦσαν πολεμιστῶν ἑπτὰ καὶ ἡμίσεια μετὰ καὶ ἀλλων. Aeschylus in Persis. ξέρξη δὲ (καὶ γὰρ οἶδα) χιλιάς μὲν ἦν, νεῶν ὧν ἦγε πλῆθος. Iustinus lib. 2. naues quoq; decies centū milia habuisse. dij immortales quæ portenta. ἐκύδωσεν. collaudet. οὔνομα. Themistoclis. μάγνητι. Magnesio. humili. μείζονα. maiorē Attica. ὡς. Ita. ὡ σκιῶν παταγῳ. in acie ubi tunduntur & illiduntur clypei. κάλυμμα. κατάλυμα. sepulchrum. μὴ μέμφου. uiator. μῆκος ὁ χῶρος. nescio an de Ceramico Athenienfi hoc explicare audeamus, in quo condebantur ij tantum qui pro patria cōfligentes, mortem oppetierāt, Thucydides. In campo Martio si Appianum audimus ante Syllam reges duntaxat humari consueuerant. τᾶ πιτάνα. Plutarchus in Lacon. Apophtheg. τὰν πιτάναν habet, hoc epigramma perstringens. Pitana hic Laconiæ est oppidum Pindaro eiusq; glossographo hymno Olymp. 6. & Callimacho in hymno Dianæ. est etiā Aeolidis ciuitas. ἐπ᾽ ἀσπίδος. super quā patrio ritu moribūdus ferebatur. πρό-

ἄβης αἰολέων. Et Aeolibus Ephebis. Aeolis quondam Mysia appellata. κῆρας. parcas. βίου κύνας. quasi canes, qui uitam mordeant & lanient. ὦ πόνοι. ô dij Epiphonema. Paulus Silentiarius. ἄχρι δυωδεκάτης, ὦ πόνοι, ἠεριπόλης. Homerus. ὦ πόποι. οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται. ἀμειδήτῳ. tristi. ἀχλυόεντι. οἷον νυκτὶ. Orci tenebris. morte. Catullus nox est perpetua una dormiēda. Homerus Iliad. ε. ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε. Eustathio. νὺξ τὸ τῶν ὀφθαλμῶν σκότος est. alijs mors uidetur. ἀμφέχανεν. uorasti. absorpsisti. κεφαλὴν. caput. hominem. χαρίεσσαν. Flaua cæsarie. πολλὴν δὲ μνήμην. multum & frequens in omniū ore & memoria. ἀριστοκράτευς. ὀστέον aut κεφαλή. ᾔδει. norat. οὐκ ὀφρύν. superciliū superborū more. ἀδηρίτως. sine rixa & contentione. συγκύλικα λαλιὴν. iucundam & compotationibus aptam garrulitatem. ξείνοισι. aduenis & externis. ἐν ἐνδήμοισι. præsentibus ciuibus. προσηνέα φρονεῖν. erga eos humane & mansuete se gerere. κραναῶν. in Attica Cranae à Cranao appellata. Strabo. ἀτθίδα δὲ καὶ ἀττικὴν ἀπὸ ἀτθίδος τοῦ κραναοῦ. ἀφ' οὗ καὶ κραναοὶ οἱ ἔνοικοι. Aristophanes. ὦ κραναὰ πόλις. Pindarus. κραναῖς ἐν ἀθάναις. Scholia. διὰ δὲ τὸ εἶναι τὴν ἀττικὴν κατάξηρον καὶ λεπτόγαιον, τὸ κραναῖς εἶπεν. δυσμαῖς. ad occidētem spectante. Aeschylus in Persis. ὦ φίλοι πρὸς τὰς ἀθήνας φασὶν ἱδρῦσθαι χθονὸς τῆλε πρὸς δυσμαῖς ἄνακτος ἡλίου φθινάσματων. ξυλόχῳ. loco arborib. cōsito. ἄγραυλοι. repone. ἔγραυλοι. Rustici. οἱ ἐν ἀγρῷ νυκτερεύοντες. ἐριπνῶν ὀροιτύποι. genere & à maioribus arbores in mōtibus cædentes. Nicander. βουκαῖος τ' ἀλέγοι ἢ ὀροιτύπος ὑλοτόμος. μηνυταί. indices. δρυοτόμοι, ξυλοτόμοι. εἶπον ἀνερομένῳ. dic percūctanti mihi. εὐχραπίδαο. filius. εὔχεο εἶναι. te esse dicis. Hesychius. εὔχεαι. καυχᾷ. αὐχεῖς. λέγεις. Homer. Odyss. α. μέντης ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι. Et. ξεῖνοι δ' ἀλλήλων πατρώιοι εὐχόμεθ' εἶναι. ἔμεν pro εἶναι. θειασεύς. Stephanus. θεία. δῆμος οἰνηΐδος φυλῆς. Atheniēsis tribus. Cāpus uero Thriasius Marathonē attingit. ἐλάθη δὲ (inquiūt) ἀπὸ τῶν ἐκβληθεισῶν ἐν αὐτῷ θειῶν, ὑπὸ ἀθηνᾶς. θεῖαι γὰρ αἱ μαντικαὶ ψῆφοι. σοφοῖς. Epicureis philosophis, aut ijs quos solos sibi sapere ait, in uoluptatibus æuum transigentes. ἐπήρατον. gratum, familiarē. αὐτοθελεί. sponte. nō inuitus. ἦ δὴ ἄρα. re uera. καὶ κάρτα. maxime. modus affirmandi. σύμφωνον. Consonantē. consentientem. λόγῳ. disciplinæ. παρὰ τρίβον. in uia. ἐν ἠμαθόεντι. effracto ac lucem admittēte. λάρνακι. urna. γυμνά. detecta. ὁδίταο. uiatoris. καὶ τροχιῇ. orbita raditur. καὶ πλαδαρά. contrito lapide. πέτρος. sepulchri lapis. αἰγιαλεῖς. κλεῖθρον. μοχλός. κροκάλαις. ut litoralibus calculis similis sim. παμφόρφοντα φρονοῦσι. ἀιζηῶν. iuuenū. εἰνοδίην. in uia positus. ἐν γὰρ. ἐν superfluit. καὶ ἄστηλος. cippo carens. ἔχον ἕκαστα. Heraclitum Cynicum quendam philosophum plebi oblatrare solitum. ἤδη μὲν τετρίμμαι. à uiatoribus. erat & hic quoq; in uia sepultus. ἁρμονίη. apte cohærentes lapides. πλὰξ τ' ἐπικεκλιμένη. Lapis mihi incumbens, aut iam deorsum inclinans. Apollonides ὑπὸ πλακὶ τυμβεύονται, et infra. ἐνθ' ἐγὼ ἡ τρίβωτος, ὑπὸ πλακὶ τῇδε τέθαμμαι. κωλῆνες. tibiæ. ossa. ὑπὸ ἐκ σοροῦ. subtus ex sepulchro nostro. apparent. conspiciuntur. τί πλέον. qua meliore conditione, γῆν ἐπιγνύμεθα. cum cadauer meum conteratur, & cœlo pateat. ἢ γάρ. profecto. πρηνῆ ὁδὸν. præcipitem uiam. ἐπινίξαντο. τέμνω. νεισσόμενοι. euntes. ambulantes. πρὸς ἐγγαίων. Artemidorus. τῶν δὲ ἐπιγαίων, αἰσθητοὶ μὲν ἑκάτη καὶ πάν, νοητοὶ δὲ, διόσκουροι καὶ ἑρμῆς. Et. χθόνιοι δὲ πλούτων καὶ περσεφόνη. fuerunt enim Græcis, θεοὶ αἰθέριοι, οὐράνιοι, θαλάσσιοι, χθόνιοι. per quos nunc obsecrat uiatores. ἑρμείαο. Mercurius (χθόνιος propterea à quibusdam uocatus) est commune profundis & superis numen & ius per limen utrunq; solus habet geminoq; facit commercia mundo, inquit Claudianus. Aeschylus in Persis. ἀλλὰ χθόνιοι δαίμονες ἁγνοί, γῆ τε καὶ ἑρμῆ βασιλεῦ τ' ἐνέρων πέμψατ' ἔνερθεν ψυχὴν ἐς φάος. ἀστεμ-

πω. ab hac uia deflectite. ῥήσσετε. uehementer pulsate. ἀνελιγμένα χαίτης. caput iactantes circumuoluentesq́. Στρυμονίην πόλιν. Amphipolim. Stephanus in uoce Στρυμών. Antipater. Στρυμονίου δ' ἔργον ἀριστομάχου. Amphipolitani. ἄφοβοι, bacchio sacrae Thyades. ἥ. quae urbs. πυθόσαντος. ἀναξιμένους. ἀσάπτοις. malim ἀνήψας. Λιμνογύρτας. nunc tympanistrijs. hoc si cui displiceat quid ὑπεστροφοῖσι faciet, τυμπάνοις aut σώμασι credo subaudiet. ἀσάπτοις igitur, γυμνοῖς ἀσόρμοις. cum eo tibia canẽte uos tympana nudae pulsaretis: aut ἀσάρπτοις. nõ enim quo pacto se per insaniã & furorem uulnerarent bacchae ignoramus. νόμους. cantilenas. νομοὺς. haec pascua. λῆθος. στήλη. aut modicus lapis. ἐν χθονίοις. mortuus. γύγῃ ἰσόλβιμος. opibus cum Gyge comparandus. Βουπάμμων. πολυπάμπων. πολλὰ κτησάμενος. μυθεῦμαι. eloquar. ἔχει. humatus. δαίμονα τὸν αὔριον. Crastini diei euẽtum. hoc ad Simonidem spectat qui αὔριον δαίμονα finxit. λύσις. Lysis pater. λύσιον. dictio haec redũdat. κενεὴν κόνιν. Cenotaphium. οὔνομα ταρχύσας. Homer. Iliad. ὄφρα ἑ ταρχύσωσι. λείψανα. cadauer, ossa, cineres. αὐτὴ. pro priscorũ regum consuetudine. πισσηθέν. è ludis Olympicis. ὥρῃ. tempore. διόθεν. οὐρανόθεν. à Ioue. è coelo. αἰγανίης. Ego castigandum arbitror αἰανίης. Oppidorum Macedoniae nomina sunt, Aiane & Beroea Stephano. νιληθείς. fulmine ictus.

## ΕΙΣ ΑΡΧΑΙΟΥΣ ΤΙΝΑΣ.

εἰς Κανδαύλην. Ἀγαθίου.

Κανδαύλου τόδε σῆμα. δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα,
οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
ἤθελε γὰρ δισσοῖσιν ὑπ' ἀνδράσι μὴ δὲ φανῆναι,
ἀλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπιστάμενον.
ἦν ἄρα Κανδαύλην παθέειν κακόν. οὐ γὰρ ἂν ἔτλη
δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.

Εἰς Σαρδανάπαλον.

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε,
τερπόμενος θαλίῃσι, θανόντι σοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
τόσσ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
τέρπν' ἔπαθον. τὰ δὲ πολλὰ, καὶ ὄλβια κεῖνα, λέλειπται.
ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισι.

Εἰς Νιόβην.

Ὁ τύμβος οὗτος, ἔνδον οὐκ ἔχει νεκρόν.
ὁ νεκρὸς οὗτος, ἐκτὸς οὐκ ἔχει τάφον,
ἀλλ' αὐτὸς αὑτοῦ νεκρός ἐστι, καὶ τάφος.

Εἰς τὴν αὐτήν. Ἀντιπάτρου.

Μούνην σὺν τέκνοις νεκυοστόλε δέξομαι πορθμεῦ
τὴν λάλον. ἀρκεῖ σοι φόρτος ὁ Ταντάλιδος.
πληρώσει γαστὴρ μία σὸν σκάφος. ἄρσενας κούρους,
καὶ κούρας, Φοίβου σκῦλα, καὶ Ἀρτέμιδος.

Εἰς τὸ αὐτό. Λεωνίδου.

Πέτρος ἔτ' ἐν Σιπύλῳ Νιόβη, θρηνώοισιν ἀάζει,
ἑπτὰ δὶς ὠδίνων μυρομένη θάνατον.
λῆξε δ' οὐδ' αἰὼν γόον, τίσ' ἀλαζόνα μῦθον
φθεγξαμένη, τὴν ζωῆς ἄρπαγα, καὶ τεκέων;

Εἰς Ἡρὼ, καὶ Λέανδρον.

Ἀντιπάτρου.

Οὗτος ὁ Λειάνδροιο διάπλοος, οὗτος ὁ πόντου
  πορθμὸς, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς.
ταῦθ᾽ Ἡροῦς τὰ πάροιθεν ἐπαύλια. τοῦτο τὸ πύργου
  λείψανον. ὁ προδότης ὧδ᾽ ἐπέκειτο λύχνος.
κοινὸς δ᾽ ἀμφοτέρους ὅδ᾽ ἔχει τάφος. εἰσέτι καὶ νῦν
  κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.

Μελεάγρου εἰς Δάφνιν.

Οὐκ ἔθ᾽ ὁμοῦ χιμάροισιν ἔχειν βίον, οὐκ ἔτι ναίειν
  ὁ τραγόπους ἐθέλω Πὰν ὀρέων κορυφάς.
τί γλυκὺ μοι; τί ποθεινὸν ἐν οὔρεσιν; ὤλετο Δάφνις,
  Δάφνις, ὃς ἡμετέρῃ πῦρ ἔτεκε κραδίῃ.
ἄστυ τόδ᾽ οἰκήσω. θηρῶν δέ τις ἄλλος ἐπ᾽ ἄγρην
  στελλέσθω. τὰ πάροιθ᾽ οὐκ ἔτι Πανὶ φίλα.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ἐνθάδ᾽ ἀπορρήξας ψυχὴν βαρυδαίμονα, κεῖμαι.
ὄνομα δ᾽ οὐ πεύσεσθε. κακοὶ δὲ κακῶς ἀπόλοισθε.

Λεωνίδου εἰς τὸν αὐτόν.

Τὴν ἐπ᾽ ἐμοῦ στήλην παραμείβεο, μήτ᾽ ἐμὲ χαίρειν
  εἰπὼν, μήτ᾽ ὅς τις, μὴ τίνος ἐξετάσας.
ἢ μὴ, τὴν ἀνύεις, τελέσαις ὁδόν. ἢν δὲ παρέλθῃς
  σιγῇ, μήδ᾽ οὕτως ἣν ἀνύεις τελέσαις.

Πτολεμαίου εἰς τὸν αὐτόν.

Μὴ πόθεν εἰμὶ μάθῃς, μήδ᾽ οὔνομα. πλὴν ὅτι θνήσκειν
  τοὺς παρ᾽ ἐμὴν στήλην ἐρχομένους ἐθέλω.

Καλλιμάχου εἰς τὸ αὐτό.

Τίμων, οὐ γὰρ ἔτ᾽ ἐσσὶ, τί τοι φάος, ἢ σκότος ἐχθρόν;
  τὸ σκότος. ὑμέων γὰρ πλείονες εἰν ἀΐδῃ.

Ἡγησίππου εἰς τὸ αὐτό.

Ὀξεῖαι πάντῃ περὶ τὸν τάφον εἰσὶν ἄκανθαι,
  καὶ σκόλοπες. βλάψεις τοὺς πόδας ἢν προσίῃς.
Τίμων μισάνθρωπος ἐνοικέω. ἀλλὰ πάρελθε.
  οἰμώζειν εἴπας πολλά. πάρελθε μόνον.

Ἀντιπάτρου σιδωνίου εἰς τὸν βασιλέα
Πτολεμαῖον.

Μυρία τοι Πτολεμαῖε πατὴρ, ἐπὶ μυρία μάτηρ
  τειρομένα, θαλεροὺς ᾐκίσατο πλοκάμους.
πολλὰ τιθηνητὴρ ὀλοφύρατο χερσὶν ἀμήσας
  ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.
ἁ μεγάλα δ᾽ Αἴγυπτος ἑὰν διεδρύψατο χαίταν,
  καὶ πλατὺς εὐρώπας ἐστονάχησε δόμος.
καὶ δ᾽ αὐτὰ ἐξ ἄχεος ἀμαυρωθεῖσα σελάνα,
  ἄστρα, καὶ οὐρανίας ἀτραπιτοὺς ἔλιπεν.

ὤλεο γὰρ διὰ λοιμὸν ὅλας θοινήτορα χερῶν,
πρὶν πατέρων νεκρᾶς σκῆπτρον ἑλεῖν παλάμας.
οὐδέ σε νὺξ ἐκ νυκτὸς ἐδέξατο. δὴ γὰρ ἄνακτας
τοίους, οὐκ ἀΐδης, ζεὺς δ' εἰς ὄλυμπον ἄγει.

Ομήρου.

Χαλκῆ παρθένος εἰμί, Μίδα δ' ἐπὶ σήματι κεῖμαι.
ἔστ' ἂν ὕδωρ τε νάῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
ἠέλιός τ' ἀνιὼν λάμποι, λαμπρά τε σελήνη,
αὐτοῦ τῇδε μένουσα πολυκλαύστῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

Αδήλου.

Τρηχεῖαν κατ' ἐμεῦ ψαφαρὴ κόνι, ῥάμνον ἑλίσσοις
πάντοθεν, ἢ σκολιῆς ἄγρια κῶλα βάτου.
ὡς ἐπ' ἐμοὶ μηδ' ὄρνις ἐν εἴαρι κοῦφον ἐρείδοι
ἴχνος. ἐρημάζω δ' ἥσυχα κεκλιμένος.
ἦ γὰρ ὁ μισάνθρωπος, ὁ μηδ' ἀστοῖσι φιληθεὶς
Τίμων, οὐδ' ἀΐδῃ γνήσιός εἰμι νέκυς.

Μὴ χαίρειν εἴπῃς με κακὸν κάρα, ἀλλὰ πάρελθε.
ἶσον ἐμοὶ χαίρειν ἐστί, τὸ μή σε γελᾶν.

Καὶ νέκυς ὢν Τίμων, ἄγριος. σὺ δὲ δεινὲ πυλωρὲ
πλούτωνος τάρβει Κέρβερε, μή σε δάκῃ.

Οστις με τριόδοισι μέσαις τάρχυσε θανόντα,
λυγρὰ παθὼν τύμβου μηδ' ὀλίγοιο τύχοι.
πάντες ἐπεὶ Τίμωνα νέκυν καλέουσιν ὁδῖται,
καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.

Ιουλιανοῦ.

Ιουλιανὸς μετὰ τίγριν ἀγάρροον ἐνθάδε κεῖται,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

Γαιτουλίου.

Παίδων Μηδείης οὗτος τάφος, οὓς ὁ πυρείπνους
ζῆλος τῶν γλαύκης θῦμ' ἐποίησε γάμων.
οἷς αἰεὶ πέμπει μειλίγματα σισυφὶς αἶα,
μητρὸς ἀμειλίκτου θυμὸν ἱλασκομένη.

Θεοδώρου τοῦ ἄνθου.

Κηλεῖης ἀΐδης ὕθλοις δ' ἐγέλασε θανόντι
Τίτυρε, καὶ νεκύων θῆκέ σε μυθολόγον.

Παύλου.

Σιγᾷς χρυσεόμαλλε τὸ χάλκεον. οὐκ ἔτι δ' ἡμῖν
αἰῶνας ἀρχεγόνων ἐκτελέεις μερόπων,
νεύμασιν ἀφθόγγοισι. τεὴ δ' ὄλβιστε σιωπὴ
νῦν συγκρητέλεθα, τῇ πρὶν ἐθελγόμεθα

κανδαύλου τόδε σῆμα. Hoc epigramma exponit Herodotus in Clio, & Iustinus lib. 2. τὴν παράκοιτιν. uxorem. διοσοίσιν. à Gyge & Candaule marito. τὸν πρίν. Candaulem. τὸν ὕστερον. Gygem. ἔδει ἄρα. oportebat igitur. οὐ γὰρ ἂν ἔτλη. non enim alias sustinuisset. τῶν ἰδίων γυναικῶν. ἔφυς. natus es. ἄεξε. foue, pasce. οὔτις ὀνήσεις. uoluptatibus & bonis non frueris. νίνου. urbis Assyriæ. ἐλάλω. alij ἔπαθον. κεῖνα λέλειπται. Athenæus lib. 8. hos uersus edisserens (quos etiam profert, Aristophanis enarrator in Auibus, Strabo lib. 14. Diodorus 5.) λέλειπται legit, ac postremum carmen immutat. meminit & huius Sardanapali sepulchri Arrianus lib. 2. & Cicero quæst. Tusculan. quinto, & lib. epistola. ad Att. 10. nisi forte me Sardanapali uice in suo lectulo mori malle censueris, quam exilio Themistocleo. Iustinus & Metasthenes in iudicio tempor\u0169 Sardanapalum se in incendium misisse perhibēt. litem dirimit ipse Athenæus dipnos. 12. ᾅδε. hæc est. ὁ τύμβος οὗτος. Niobe filios habuit sex & totidem puellas: eo successu insolens contempsit Latonam, quæ non nisi duorum mater esset. hanc fabulæ narrant post occisos ab Apolline & Diana liberos præ dolore in sax\u0169 cōuersam fuisse, quod in Sipylo Phrygiæ cōspici tradunt lachrymas emittens. Quid Tzetzes: καὶ τέλος θνήσκει λιθοβλής, μόρον κυνῶν λυσσόντων. ὅθεν περ μεμύθωσαν, ὡς κύων ἐγεγόνει. νεκρὸς δὲ καὶ τάφος. Ipsa in lapidem transformata Niobe sibi sepulchri uice est. νεκυοστόλε. mortuos uehens Charon. φόρτος. liberi. ὁ ταντταλίδος. Niobes Tantali filiæ & Amphionis uxoris. γαστρὸς μιᾶς. ex uno utero procreati filij. ἄθρει. aspice. ἐν σιπύλῳ. Pausan. in Att. ταύτην τὴν νιόβην καὶ αὐτὸς εἶδον ἀνελθὼν ἐς τὸν σίπυλον τὸ ὄρος. ἡ δὲ πλησίον μὲν πέτρα καὶ κρημνός ἐστιν, οὐδὲν παρόντι σχῆμα παρεχόμενος γυναικός, οὔτε ἄλλως, οὔτε πενθούσης. εἰ δέ γε πορρωτέρω γένοιο, δεδακρυμένην δόξεις ὁρᾶν καὶ κατηφῆ γυναῖκα. ἐπτὰ δίς. mira diuersitas deprehenditur super numero filior\u0169 Niobe: nam Homerus puellas pierosq; eius senos dicit fuisse, Euripides Lasus et hic Leonidas bis septenos, Sappho bis nouenos, Mimermus, Bacchylides & Pindarus bis denos. Hesiodus 19. Alcman 10. alij scriptores tres fuisse solos dixerunt. ὠδίνων. filiorum. οὐδ᾽ αἰῶνι. nullo seculo. ζωῆς. suæ & filiorum. ὁ μοιῶν. prius Helles naufragio execrabilis. ἐπαύλια. habitatio. ὁ προδότης λύχνος. Musæus. καὶ δὴ λύχνος ἄπιστος. Cætera his perlegenda erūt, quibus ex Nasonis epistolis perspicuus non est Leandri natatus. ἀνέμῳ. qui eius Lucernam extinxit. ὀρέων. montium. τί ποθανεῦν. post hac mihi futurum est. ὦ λῷσθε δάφνις. Ex primo Theocriti Idyllio, quem in hoc imitatur Virg. Aegloga 5. & Silius Ital. lib. 4. Daphnim pastorem Mercurij filium, primum Bucolica in Sicilia edidisse fer\u016bt, quem Bion & Theocritus æmulati, quia ipse fortassis ex scriptis suis non potuisset, eius nomen ex obliuione hominum uindicarunt. Pomponio Sabino triplicem Bucolicorum originem ostendenti, Daphnidis nulla est mentio. Daphnis ut uult Parthenius fuit Amiclæi filia, quam Iupiter cum per uim stupraret conuersa est in laurum. πόθος. amorem. θηρῶν. bestiarum. στελλέθεαι. τὰ πάρος. studia. οὐκ ἔτι φίλα. extincto Daphnide. ἐνθάδ᾽ ἀπορρήξας. Distichum adducit in Antonio Plutarchus, atq; in Alcibiade, aperit Lucianus in cognomine dialogo, & Pausan. in Attic. à quo τιμώνιος βίος apud Strab. κακοί. homines. ἀλλὰ μὴ τελέσας ὁδόν. sed pereas. τὴν αὐγὴν. στυγῶ. μὴ χαίρειν εἰπών. ὁδίτης. uiator. ἐχθρόν. inuisum. ingratum. ὑμέων γὰρ πλείονες. Eo tantum nomine apud inferos dolet Timon, quod plures numero mortales uita defunctus, quā umquam uiuens circumspiciat hominum ossa. Hunc Athenis lapidatum fuisse refert Ausonius. Ego lapidat\u0169 non saxis glebisúe appetit\u0169 sed probro maledictisq; confossum accipio Suidæ testimonio fidem habēs, quem cōsule in uocibus ἀπορρώ-

γων

γῆν & τίμιον. Cnemonem quoque ex Ammonio & Aeliano μισάνθρωπον fuisse agnoscimus. ἦν πάθος. Si ad sepulchrū accesseris. nihil hoc peius metuit belua. πολλά. multum. μυελα, πάμπολλας. ἀμάξας κόνιν. puluerem accumulans & inijciēs. ἐπὶ ἀλλάπτω χαίταν. in ueste pulla lugentium more capillos sibi rasit. Sapho. πᾶσαι νεοθηγεῖ χαλκῷ ἀλικοῦ ἱμερτὰν κρατὸς ἔθεντο κόμαν. Agathias. κείρανδ πλοκάμους, μούσας, θέμις, πατρίη. Et. ἡ δὲ κόμην τίλλουσα. Crines quoque in rogum proijciebant ueteres. Homer. Iliad. ψ. στὰς ἀπάνευθε πυρῆς, ξανθὴν ἀπεκείρατο χαίτην. Euripides in Troadibus τρίχας δ' ἐτμήθην τάσδε πρὸς τύμβον νεκρῶν. Idem in Oreste. κόμης ἀπαρχάς, καὶ χοὰς φέρουσ' ἐμάς. Calaber. κεραμβὴν πλοκάμους. Herodianus. πλὴν ὧν ἀχρι βιχῶν ἀπεκείρατο. εὐρώπας δόμος. uniuersa Europa. νύξ. nō nox nec orci tenebræ, sed cœlum, aut campi Elysii. ἐκ νυκτός. à morte. χαλκῆ παρθένος. Carmina ista (quæ an ab Aristotele κύκλος uocentur nutat Philoponus) Laertius Cleobulo, Homero in eius uita tribuit Herodotus, minime uero Platoin Phædro, ut quæ fortassis non probet. ὕδωρ τε νάῃ. dum aqua fluet, & arbores florebunt. αὐτοῦ τῇδε. hoc in loco. κόνι. puluis. terra. ῥάμνον. spinas. ἄγρια κῶλα. rubi brachia ramos frondes. ἐπ' ἐμοί. super tumulum meum. ἐρημάζω. solitudinem amo. alij ἐρημάσω, & in solitudine degam. κεκλιμένος. in sepulchro. ἤ. ego siquidem. ἀστοῖσι. ciuibus meis Atheniensibus. κακὸν κοῦρα. κακοὶ κεφαλαί, improbe uiator. peruersi homines. ἴδον ἐμοὶ χαίρειν. satis superque saluus ero si ipse lugeas. μήσε δάκη. ne te mordeat. λυγροί. κακοί. καλέουσιν. uocant. aut salutant. ἄμμι μόνοις. mihi soli. ἄμμορος ἡσυχίης. quietis expers. μετὰ τίγριν. quē contextis pontibus transit. ἀγάρροον. celeriter fluentē. uocatur & Tigris à celeritate. Ita nanque appellant Medi sagittam. uocari hoc nomine propter uelocitatē instar bestiæ nimia pernicitate currētis in locis Hebraicis credidit D. Hieronymus. Adi Eustathium in Dionysium, & Plutarchum περὶ ποταμῶν. Museus. νήχομαι Ἑλλήσποντον ἀγάρροον. ἀμφότερον. metrū extat Iliad. γ. Refert Plutarchus in commentario de fortuna Alexandri, cum in conuiuio propositum esset quinam inter uersus Homericos maxime probandus esset, alijs alios præferentibus Alexandrū huic carmini palmam tribuisse. βασιλεύς τ' ἀγαθός, Iulianus proditor animæ suę & Christiani iugulator exercitus Christū sensit in Media quem primū in Gallia denegarat, dumque Romanos propagare uult fines, perdidit propagatos. Diuus Hieronymus, Ammianus Marcellinus & Eutropius Christianus homo qui ambo Iulianæ in Parthos expeditioni se interfuisse tradūt, Iulianum rebus ijs quas in summis imperatoribus inesse oportere existimamus omnes, non caruisse putant. nec ignoro ipsius mores ab Aurelio Victore & Suida quorū iudicio stamus uehementer taxari. nam quid attinet Gregorium Nazianzenum, Historiæ ecclesiasticæ scriptores nominare. ζῆλος. Zelotypia. θυμὲ ἐποίησε. ut eos mactaret effecit. negat Aelianus. λέγεταί τις λόγος τὴν φήμην τὴν κατὰ τῆς Μηδείας ψευδῆ εἶναι. μὴ γὰρ αὐτὴν ἀποκτεῖναι τὰ τέκνα, ἀλλὰ Κορινθίους. τόδε μυθολόγημα ὑπὲρ τῆς Κολχίδος, καὶ τὸ δρᾶμα, Εὐριπίδην φασὶ διαπλάσαι δεηθέντων Κορινθίων, καὶ ἐκνικῆσαι τοῦ ἀληθοῦς τὸ ψεῦδος διὰ τὴν τοῦ ποιητοῦ ἀρετήν. ὑπὲρ δὲ τοῦ τολμήματος φασί, τῶν παίδων, μέχρι τοῦ νῦν ἐναγίζουσι τοῖς παισὶ Κορίνθιοι, οἱονεὶ δασμὸν τούτοις ἀποδιδόντες. οἷς ἀεὶ πέμπει. ἐναγίζουσι ait Aelianus. historiam luculenter pertractat in Corinthiacis Pausanias, quam & libauit Tzerzes in Lycophronem & Philostratus ἐν ἡρωικοῖς, In Neoptolemo. σισυφὶς αἶα. Corinthij. μητρός. Medeæ. ἐπὶ σοὶ. gesticulanti. ἐγέλασε. licet ἀγέλαστος dicatur. τὸ χάλκεον. te dura quies oppressit. Homerus Iliados λ. ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον. Aereum somnium appellauit, τὴν ἀναισθησίαν ἡμᾶς διδάξαι

δεῖξαι πεζώμενος, ait Plutarchus, Virgilius ferreum. olli dura quies oculos & ferreus urget somnus. νεύμασιν ἀφθόγγοισι. ut Orchestæ solent. ὄλβιε, χρυσεόμαλλε.

## ΕΙΣ ΑΥΛΗΤΑΣ.

Ἀδήλου.

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
Νέστωρ δὲ γλώσσης ἡδυλόγου σοφίῃ,
τεκτοσύνῃ δ' ἐπέων, πολυΐστωρ θεῖος Ὅμηρος,
Τηλεφάνης δ' αὐλοῖς, οὗ τάφος οὗτος ὅδε.

Ἀδέσποτον.

Ἑλλὰς μὲν, Θήβας προτέρας προὔκρινεν ἐν αὐλοῖς,
Θῆβαι δὲ, Πρόνομον, παῖδα τὸν Οἰνιάδου.

Ἀρχίου.

Αἰωρῇ θήρειον ἱμασσόμενος δέμας αὔραις
τλᾶμον ἀορτηθεὶς ἐκ λασίας πίτυος,
αἰωρῇ. Φοίβῳ γὰρ ἀνάρσιον ἐς ἔριν ἔστης,
πρῶνα Κελαινίτην ναιετάων σάτυρε.
σοῦ δὲ βοὰν αὐλοῖο μελίβρομον, οὐκ ἔτι νύμφαι
ὡς πάρος ἐν φρυγίοις οὔρεσι πευσόμεθα.

κιθάρᾳ. cuius modulatione saxa & arbores pertraxit. νέστωρ. Nestorea eloquentia in prouerbium abijt. Erasmi Chiliades. τεκτοσύνῃ δ' ἐπέων. Carminum structura & compositione. τηλεφάνης δ' αὐλοῖς. Plutarchus περὶ μουσικῆς, αὐτίκα τηλεφάνης ὁ μεγαρικὸς, οὕτως ἐπολέμησε ταῖς σύριγξι. Demosthenis scholiastes καὶ ἔλαχεν αὐτῷ ὁ κάλλιστος τῶν αὐλητῶν ὁ τηλεφάνης. ἑλλὰς μὲν θήβας. Thebanos fistularum modulationis studiosos fuisse in confesso est. Athenæus. χαμαιλέων ὁ ἡρακλεώτης λακεδαιμονίους φησὶ καὶ θηβαίους πάντας αὐλεῖν μανθάνειν. consentit Maximus Tyrius sermone 7. unde Plutarchi Alcibiades. αὐλείτωσαν οὖν θηβαίων παῖδες. οὐ γὰρ ἴσασι διαλέγεσθαι. προὔκρινεν. anteposuit. θῆβαι δὲ πρόνομον. Athenæus. πρόνομος δ' ὁ θηβαῖος πρῶτος ηὔλησεν ἀπὸ τῶν αὐλῶν τὰς ἁρμονίας. Pausanias. ἀνδριάς τέ ἐστι προνόμου ἀνδρὸς αὐλήσαντος ἐπαγωγότατα ἐς τοὺς πολλούς. Duris narrat Alcibiadem tibijs canendi disciplinam non à plebeio quodam fistulatore, sed à Pronomo cui tum primas deferebant edoctum. dissidet forte Gellius lib. 15. cap. 17. Aristoph. τὸν προνόμου πώγων' ἔχων. Suidas in uoce πρόνομος. αἰωρῇ. sublatus es. nymphæ Marsyæ insultant. θήρειον δέμας. erat enim Satyrus. ἱμασσόμενος αὔραις. à uentis pulsatus. ἀορτηθείς. pendens. τλᾶμον. infelix. πρῶνα κελαινίτην. Celænas Phrygiæ urbem postea Apameam dictam. Xenophon ἀναβά. α. ἐνταῦθα λέγεται ἀπόλλων ἐκδεῖραι μαρσύαν νικήσας, ἐρίζοντα οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί. διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται μαρσύας. Curtius lib. 3. μελίβρομον. suauem. πευσόμεθα. audiemus.

## ΕΙΣ ΒΡΕΦΗ. Ποσειδίππου.

Τὸν τριετῆ παίζοντα περὶ φρέαρ ἀστυάνακτα,
εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο.
ἐκ δ' ὕδατος τὸν παῖδα διάβροχον ἥρπασε μάτηρ
σκεπτομένα ζωᾶς εἴ τινα μοῖραν ἔχει.

νύμφας

νύμφας δ' οὐκ ἐμάνησεν ὁ νήπιος, ἀλλ' ὑπὸ γούνων
    ματρὸς κοιμηθεὶς, τὸν βαθὺν ὕπνον ἔχει.

Λουκιανοῦ.

Παῖδά με πενταέτηρον ἀκηδέα θυμὸν ἔχοντα,
    νηλειὴς ἀΐδης ἥρπασε Καλλίμαχον.
ἀλλά με μὴ κλαίοις. καὶ γὰρ βιότοιο μετέσχον
    παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

Ἀδήλου.

Ἀδη ἀλιτάνευτε, καὶ ἄτροπε, τίπτε τοιοῦτον
    κάλλαισχρον ζωᾶς νήπιον ὠρφάνισας;
ἔσται μὲν οὗτος παῖς ἐνὶ δώμασι φερσεφονείας
    παίγνιον. ἀλλ' οἴκοι λυγρὰ λέλοιπε πάθη.

Μακεδονίου.

Γαῖα, καὶ εἰλείθυια, σὺ μὲν, τέκες, ἣ δὲ, καλύπτεις,
    χαίρετον, ἀμφοτέραις ἤνυσα τὸ στάδιον.
εἶμι δὲ μὴ νοέων πόθι νείσομαι. οὐδὲ γὰρ ὑμέας
    ἢ τίνος, ἢ τίς ἐὼν, οἶδα πόθεν μετέβην.

Ἀγαθίου.

Ἀβάλε, μήδ' ἐγένοντο γάμοι, μὴ νυμφίδια λέκτρα.
    οὐ γὰρ ἂν ὠδίνων ἐξεφάνη πρόφασις.
νῦν δ' ἡ μὲν τριτάλαινα γυνὴ τίκτουσα, κάθηται.
    γαστρὶ δὲ δυσκόλπῳ, νεκρὸν ἔνεστι τέκος.
τριτάτη δ' ἀμφιλύκη δρόμον ἤνυσεν, ἐξότε μίμνει
    τὸ βρέφος, ἀπρήκτοις ἐλπίσι τικτόμενον.
κούφη σοι τελέθοι γαστὴρ τέκος ἀντὶ κονίης.
    αὐτὴ γάρ σε φέρει, καὶ χθονὸς οὐ χατέεις.

Ἀντιπάτρου.

Τὸν μικρὸν Κλεόδημον ἔτι ζώοντα γάλακτι,
    ἴχνος ὑπὲρ τοίχων νηὸς ἐρειδόμενον,
ὁ θρηῒξ ἐτύμως Βορέης βάλεν εἰς ἁλὸς οἶδμα.
    κῦμα δ' ἀπὸ ψυχὴν ἔσβεσε νηπίαχον.
Ἰνοῖ, ἀνοικτέρμων τις ἔφυς θεὸς, ἣ Μελικέρτεω
    ἥλικος οὐκ ἀΐδην πικρὸν ἀπηλάσαο.

Διοδώρου.

Κλίμακος ἐξ ὀλίγης, ὀλίγον βρέφος ἐν Διοδώρου
    κάππεσεν, ἐκ δ' ἐάγη καίριον ἀστράγαλον,
δινηθεὶς προκάρηνος. ἐπεὶ δ' ἴδε θεῖον ἄνακτα
    ἀντόμενον, παιδνὰς αὐτίκ' ἔτεινε χέρας.
ἀλλὰ σὺ νηπιάχου δ' ἀμωὸς κόνι, μή ποτε βρίθειν
    ὀστέα, τοῦ διετοῦς φειδομένη κόρακος.

εἴδωλον. imago eius in aqua apparens. οὐκ ἐμάνησεν. μαίνω. non est in his suffocatus. ἀκηδέα. tristem, anxium. ᾅδης. Pluto. ἀλιτάνευτε. quem nullæ preces flectunt & molliunt. ἀλλ' οἴκοι. parentibus & familiæ. χαίρετον. ualete. τὸ στάδιον. ab

Athletis aut cursoribus translatum. nam præter uulgatam significationem stadium usurpant autores pro curriculo, id est loco ubi cursores aut athletæ certant & exercentur. οὐδὲ γὰρ ὥρας. puer hic uidetur statim ab ortu expirasse. τριοσσῇ δ' ἀμφιλύκῃ. tres dies. Paulus Silentiarius. ἣν μόλις ἐν τριοσσῇ πλέξαμεν ἀμφιλύκῃ. Suidas & Hesychius. κόλποι. matris uterus tumuli uice tibi est ô infantule. κόνιος. tumuli, sepulchri. καὶ χθονὸς. quæ tibi mortuo inijciatur. νηός. nauis. ἢ μελικέρτεω. lege ἢ μελικέρτα. similiter atque Ino & Melicertes in aquas præcipitati in deum cõmutatus es. Ouidius transfor. 4. Pindari in Olymp. scholia & grammatici super hoc Virgilij Georg. primo. & Glauco & Panopeæ atque Inoo Melicertæ. ἀνοικτάρμων. non lugendus. οὐκ ἀΐδην. non es ad inferos detrusus. διοδώρου. οἶκον. subaudi. ἐάγη. sibi fregit. καίριον. θανασίμως. ἀστράγαλον. spinæ uertebras. πρὸ κάρηνος. πρηνής. prono capite. ἴδε. uidit. θεῖον ἄνακτα. οἰκοδεσπότην. Diodorum dominum. Lacones quoties aliquem laudant bonum uirum, θεῖον nominãt. λιμώδης κύνι. Diodoro seruiẽs, ab eo possessa. μή ποτε βρίθειν. Illi sis leuis. ἴστε. scias, uelis. κόρακος. Coracis infantuli.

## ΕΙΣ ΓΕΡΟΝΤΑΣ. Ἀδέσποτον.

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι,
 Ταρσεύς, μὴ γήμας. αἴθε δὲ μηδ' ὁ πατήρ.

Ἐπὶ τῷ ἑαυτὸν θάψαντι πρὸ
τελευτῆς.

Γήραϊ, καὶ πενίῃ τετρυμένος, οὐδ' ὀρέγοντος
 οὐδενὸς ἀνθρώπου δυσυχίης ἔρανον,
τοῖς τρομεροῖς κώλοισιν ἐπήλυθον ἠρέμα τύμβον.
 εὗρον ὀϊζυροῦ τέρμα μόλις βιότου.
ἤλλαχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος. οὐ γὰρ ἔθνησκον
 πρῶτον, ἔπειτ' ἐτάφην, ἀλλὰ ταφεὶς, ἔθανον.

Λεωνίδου.

Ἡ γρηῦς Νικὼ, Μελίτης τάφον ἐστεφάνωσε
 παρθενικῆς, ἀΐδη, τοῦθ' ὁσίως κέκρικας;

Ἀδέσποτον.

Ἐγὼ Φιλαινὶς ἡ 'πίβωτος ἀνθρώποις,
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
μή μ' ὦ μάταιε ναῦτα τὴν ἄκραν κάμπτων,
χλεύην τε ποιεῦ, καὶ γέλωτα, καὶ λέσχην.
οὐ γὰρ μὰ τὸν Ζῆν', οὐ, μὰ τοὺς κάτω κούρους,
οὐκ ἦν ἐς ἄνδρας μάχλος, οὐδὲ δημώδης.
Πολυκράτης δὲ, τὴν γονὴν ἀθηναῖος,
λόγων τι παιπάλημα, καὶ κακὴ γλῶσσα,
ἔγραψεν οἷ' ἔγραψεν. αὐτὴ δ' οὐκ οἶδα.

Ἀντιφίλου.

Νεκροδόκον κλιντῆρα Φίλων ὁ πρέσβυς ἀείρων
 ἔνδοθεν, ὄφρα λάβοι μισθὸν ἐφημέριον,
σφάλματος ἐξ ὀλίγοιο ποδῶν, θάνεν. ἦν γὰρ ἕτοιμος
 εἰς ἀΐδην. ἐκάλει δ' ἡ πολιὴ πρόφασιν.

ἄν

ὃν δ' ἄλλοις ἐφόρει νεκυοστόλον, αὐτὸς ἐφ' αὑτοῦ
σκάντην ὁ γέρων ἀχθοφορῶν ἔλαβεν.

Αδεσπότου.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέζον ἔθηκαν
ἡμετέρης βιοτῆς μάντιες ἀστέριοι.
ἀρκοῦμαι τούτοισιν. ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
ἡλικίης. ἔθανεν χὠ γέρων Πύλιος.

μηδ' ὁ πατήρ. ne ipse fuissem natus. δυστυχίης. mendicorum. ἔρανον. Collationem, stipem, panem. κώλοισι. pedibus. ἠλλάχθη. mutatus est. ἀλλὰ ταφάς. in sepulchrum uiuus procidens. ποθ' ὁσίως. nimirum puellam id muneris anui præstare oportebat. ἐγὼ Φιλαινίς. Atheneus dipnos. 8. hos iambos enarrãs ab Aeschrione Samio compositos existimat. Philænidem ut impudicam nominant, Lucianus, Cleomedes, & Suidas in uocabulo Δημοχάρης. ἐπίβωτος. περιβόητος. ἄκραν κάμπτων. Promontoriũ flectens. τοὺς κάτω κόρους. Castorẽ & Pollucem. nam fratrẽ Pollux alterna morte redemit. δι' ἄνδρας. hominibus. δημώδης. ac uulgo prostituta. πολυκράτης. Polycratem eũ esse suspicor quem Hermippus & Quintilianus orationẽ contra Socratem habitam conscripsisse dicunt, qua frugi hominem Anitus & Melitus impietatis reum postularunt, ad quem & Busiridis encomium mittit Isocrates. τὴν γένυν. genere. λόγων τι παιπάλημα. παιπάλη subtilissima pars est frumenti, cribro excussi, unde felici metaphora Demosthenem Aeschines περὶ τῆς παραπ. conuicio lacessiuit, quasi hominem acrimonia & subtilitate praui ingenij nihil non scrutantem atq; tentantem. ὅτι μὲν οὖν ποθ' ὁ κέρκωψ ἢ τὸ καλούμενον παιπάλημα. huic cognata res est παιπάλη. nã quod hic Aeschrion λόγου παιπάλημα uocat, Aristophani in neb. παιπάλη est. λέγειν γενήσει τρῖμμα, κρόταλον, παιπάλη. uide Hesychium in uoce παιπάλημα. νεκροδόκον κλιντῆρα. loculum. feretrum. ἐφημέριον. diurnam mercedem. ἡ πολιή. senectus. σκάντην. lectulum.

ΕΙΣ ΓΕΩΡΓΟΥΣ. Αδήλου.

Οὕτω πᾶς ἀπόλωλε γεωπόνε, βῶλος ἀρότροις.
ἤδη καὶ τύμβους νωτοβατεῦσι βόες.
ὕννις δ' ἐν νεκύεσσι. τί τὸ πλέον; ἢ πόσος οὗτος
πυρός, ὃν ἐκ τέφρης καὶ χθονὸς ἀρπάσετε;
οὐκ αἰεὶ ζήσεσθε. καὶ ὑμέας ἄλλος ἀρόσσει,
τοὺς ἀρξαμένους πᾶσι κακοσπορίης.

οὕτω. ita ne arator. βῶλος. terra. τύμβους νωτοβατεῦσι. super tumulos ambulant. ἐν νεκύεσσι. mortuorum sepulchris. τί τὸ πλέον. quem fructum, quod cõmodum reportatis. πυρός. triticum, messis. è modico tumulo. ἐκ τέφρης. cadauerum. καὶ ὑμέας. sepulchra uestra. κακοσπορίης malæ sementis & arationis.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Λεωνίδου.

Τίς, τίνος εὖσα γύναι, Παρίην ὑπὸ κίονα κεῖσαι;
Πρηξὼ, Καλλιτέλευς. καὶ ποδαπή; Σαμίη.
τίς δέ σε καὶ κτερέϊξε; Θεόκριτος, ᾧ με γονῆες
ἐξέδοσαν. θνῄσκεις δ' ἐκ τίνος; ἐκ τοκετοῦ.

εὖ σε πόσων ἐτέων; δύο, κἤκοσιν. ἦ ῥά γ' ἄτεκνος;
οὐκ, ἀλλὰ τριετῆ Καλλιτέλην ἔλιπον.
ζώοι σοι κεῖνός γε, καὶ εἰς βαθὺ γῆρας ἵκοιτο.
καὶ σοὶ ξεῖνε πόροι πάντα τύχη τὰ καλά.

Διοσκορίδου.

Τὴν γοεραῖς πνεύσασαν ἐν ὠδίνεσσι Λαμίσκην
ὕστατα, Νικαρέτης παῖδα, καὶ Εὐπόλιδος,
σὺν βρέφεσιν διδύμοις, Σαμίην γένος, αἱ παρὰ Νείλῳ
κρύπτουσιν Λιβύης ἠόνες εἰκοσέτιν.
ἀλλὰ κόραι τῇ παιδὶ λεχώϊα δῶρα φέρουσαι,
θερμὰ ἐπὶ ψυχροῦ δάκρυα χεῖτε τάφου.

Τοῦ αὐτοῦ.

Ἀρχελεώ με δάμαρτα Πολυξείνην θεοδέκτου
παῖδα, καὶ αἰνοπαθοῦς ἔτικτε Δημαρέτης.
ὅσσον ἐπ' ὠδῖσιν, καὶ μητέρα. παῖδα δὲ δαίμων
ἔφθασεν, οὐδ' αὐτὴν εἴκοσιν ἠελίων.
ὀκτωκαιδεκέτις δ' αὐτὴ θάνον, ἄρτι τεκοῦσα,
ἄρτι δὲ καὶ νύμφη, πάντ' ὀλιγοχρόνιος.

Εἰς τὴν πόρταν Κωνσταντινουπό-
λεως δάμαλιν.

Ἰναχίης οὐκ εἰμὶ βοὸς τύπος, οὐδ' ἀπ' ἐμεῖο
κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ἥρης
ἐς Φάρον, ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.
εὐνέτις ἦν δὲ Χάρητος. ἔπλων δ' ὅτ' ἔπλωεν ἐκεῖνος
τῇδε, Φιλιππείων ἀντίπαλος σκαφέων.
Βοΐδιον δ' ἤκουον ἐγὼ τότε, νῦν δὲ Χάρητος
εὐνέτις, ἠπείροις τέρπομαι ἀμφοτέραις.

Μελεάγρου.

Οὐ γάμον, ἀλλ' Ἀΐδην ἐπινυμφίδιον Κλεαρίστη
δέξατο, παρθενίης ἅμματα λυομένη.
ἄρτι γὰρ ἑσπερίοιο νύμφης ἐπὶ δικλίσιν ἤχευν
λωτοί, καὶ θαλάμων ἐπλαταγεῦντο θύραι.
ἠῶον δ' ὀλολυγμὸν ἀνέκραγον. ἐκ δ' ὑμέναιος
σιγαθεὶς, γοερὸν φθέγμα μεθηρμόσατο.
αἱ δ' αὐταὶ καὶ φέγγος ἐδᾳδούχουν παρὰ παστῷ
πεῦκαι, καὶ φθιμένᾳ νέρθεν ἔφαινον ὁδόν.

Φιλίππου.

Ἄρτι μὲν ἐν θαλάμοις Νικιππίδος, ἡδὺς ἐπήχει
λωτὸς, καὶ γαμικοῖς ὕμνοις ἔχαιρε κρότος.
θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν. ἡ δὲ τάλαινα,
οὔπω πάντα γυνὴ, καὶ νέκυς ἐβλέπετο.
δακρυόεις Ἀΐδη, τί πόσιν νύμφης διέλυσας,
αὐτὸς ἐφ' ἁρπαγίμοις τερπόμενος λέχεσιν;

Ἀντιπάτρου Σιδωνίου, εἰς Λαΐδα.

Τὴν καὶ ἅμα χρυσῷ, καὶ ἁλουργίδι, καὶ σὺν ἔρωτι
θρυπτομένην, ἁπαλῆς Κύπριδος ἀβροτέραν
Λαΐδ' ἔχω, πολίτιν ἁλιζώνοιο Κορίνθου,
Πειρήνης λευκῶν φαιδροτέρην λιβάδων,
τὴν θνητὴν Κυθέρειαν, ἐφ' ἣν μνηστῆρες ἀγαυοὶ
πλείονες, ἢ νύμφης εἵνεκα Τυνδαρίδος,
δρεπτόμενοι χάριτάς τε, καὶ ὠνητὴν ἀφροδίτην.
ἧς καὶ ὑπὸ σποδιῇ τύμβος ὄδωδε κρόκου.
ἧς ἔτι κηώεντι μύρῳ τὸ διάβροχον ὀστεῦν,
καὶ λιπαραὶ θυόεν ἄσθμα πνέουσι κόμαι.
ἧς ἔπι, καλὸν ἄμυξε περὶ ῥέθος ἀφρογένεια,
καὶ γοερὸν λύζων ἐστονάχησεν ἔρως.
εἰ δ' οὐ πάγκοινον δούλην θέτο κέρδεος εὐνήν,
Ἑλλὰς ἂν, ὡς Ἑλένης τῆσδ' ὕπερ, ἔσχε πόνον.

Πομπηΐου νεωτέρου εἰς τὸ αὐτό.

Ἡ τὸ καλὸν, καὶ πᾶσιν ἐράσμιον ἀνθήσασα,
ἡ μόνη χαρίτων λείρια δρεψαμένη,
οὐκέτι χρυσοχάλινον ὁρᾷ δρόμον ἠελίοιο
Λαΐς, ἐκοιμήθη δ' ὕπνον ὀφειλόμενον.
κώμους, καὶ τὰ νέων ζηλώματα, καὶ τὰ ποθούντων
κνίσματα, καὶ μύστην λύχνον ἀπειπαμένη.

Ἀγαθίου σχολαστικοῦ εἰς τὸ αὐτό.

Ἕρπων εἰς Ἐφύρην, τάφον ἔδρακον ἀμφικέλευθον
Λαΐδος ἀρχαίης, ὡς τὸ χάραγμα λέγει.
δάκρυ δ' ἐπισπείσας, χαίροις γύναι. ἐκ γὰρ ἀκουῆς
οἰκτείρω σε ἔφην, ἣν πάρος οὐκ ἴδομεν.
ὦ πόσον ἠϊθέων νόον ἤκαχες. ἀλλ' ἴδε λήθην
ναίεις, ἀγλαΐην ἐν χθονὶ καταθεμένη.

Ἀδέσποτον.

Αἱμαίη πρὸς ἔρωτα, καὶ ἡδέα Κύπριδος ἔργα
Πατροφίλα, κανθοὺς σοὺς γλυκεροὺς ἔμυσας.
ἐσβέσθη δὲ τὰ φίλτρα τὰ κωτίλα, χὠ μετ' ἀοιδᾶς
ψαλμὸς, καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις.
ἆ δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίρην
ἥρπασες; ἦ καὶ σὴν Κύπρις ἔμηνε φρένας;

Φιλοδήμου.

Ἐνθάδε τῆς τρυφερῆς μαλακὸν ῥέθος, ἐνθάδε κεῖται
Τρυγόνιον, σαβακῶν ἄνθεμα σαλμακίδων.
ἧ καλύβη, καὶ δοῦμος ἐνέπρεπεν. ἧ φιλοπαίγμων
στωμυλίη μήτηρ, ἣν ἐφίλησε θεῶν.
ἡ μόνη στέρξασα τὰ Κύπριδος ἀμφὶ γυναικῶν
ὄργια, καὶ φίλτρων Λαΐδος ἁψαμένη,
φύε κατὰ στήλης ἱερῇ κόνι τῇ φιλοβάκχῳ
μὴ βάτον, ἀλλ' ἁπαλὰς λευκοΐων κάλυκας.

Θυ

Θυίλλου.

Η κροτάλοις ὀρχηστρὶς Ἀρίστιον, ἡ περὶ πεύκαις,
καὶ Κυβέλῃ πλοκάμους ῥίψαι ἐπισταμένη,
ἡ λωτῷ κερόεντι φορουμένη, ἡ τρὶς ἐφεξῆς
εἰδυῖ᾽ ἀκρήτους χειλοποτεῖν κύλικας,
ἐνθάδ᾽ ὑπὸ πτελέαις ἀναπαύεται, οὐκ ἔτ᾽ ἔρωτι,
οὐκ ἔτι παννυχίδων τερπομένη καμάτοις.
κῶμοι, καὶ μανίαι, μέγα χαίρετε. κεῖθεται ἄδην,
ἡ τὸ πρὶν στεφάνων ἄνθεσι κρυπτομένη.

Ἀδέσποτον.

Εἴκοσι Καλλικράτεια, καὶ ἐννέα τέκνα τεκοῦσα,
οὐδ᾽ ἑνὸς, οὐδὲ μιῆς ἐδρακόμην θάνατον,
ἀλλ᾽ ἑκατὸν, καὶ πέντε διηνυσάμην ἐνιαυτοὺς,
σκήπωνι τρομερὰν οὐκ ἐπιβᾶσα χέρα.

Ἀδέσποτον.

Αδ᾽ ἐγὼ ἁ περίβωτος, ὑπὸ πλακὶ τῇδε τέθαμμαι,
μούνῳ ἐνὶ ζώναν ἀνδρὶ λυσαμένη.

Διοσκορίδου εἰς τὰς Λυκαμβίδας.

Οὐ μὰ τόδε φθιμένων σέβας ὅρκιον, αἵδε Λυκάμβεω
αἱ λάχομεν στυγερὴν κληδόνα θυγατέρες,
οὔτέ τι παρθενίην ᾐσχύναμεν, οὔτε τοκῆας,
οὔτε πάρον, νήσων αἰπυτάτην ἱερῶν.
ἀλλὰ καθ᾽ ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος,
φήμην τε στυγερὴν ἔφλυσεν Ἀρχίλοχος.

Ἀδέσποτον εἰς τὸ αὐτό.

Ἀρχίλοχον μὰ θεοὺς, καὶ δαίμονας, οὔτ᾽ ἐν ἀγυιαῖς
εἴδομεν, οὐθ᾽ Ἥρης ἐν μεγάλῳ τεμένει.
εἰ δ᾽ ἦμεν μάχλοι, καὶ ἀτάσθαλοι, οὐκ ἂν ἐκεῖνος
ἤθελεν ἐξ ἡμέων γνήσια τέκνα τεκεῖν.

Ἀδήλου εἰς τὸ αὐτό.

Δεξιτερὴν Ἀίδαο θεοῦ χέρα, καὶ τὰ κελαινὰ
ὄμνυμεν ἀρρήτου δέμνια Φερσεφόνης,
παρθένοι ὡς ἔτυμον, καὶ ὑπὸ χθονί. πολλὰ δ᾽ ὁ πικρὸς
αἰσχρὰ καθ᾽ ἡμετέρης ἔφλυσε παρθενίης
Ἀρχίλοχος. ἐπέων δὲ καλὴν φάτιν, οὐκ ἐπὶ καλὰ
ἔργα, γυναικεῖον δ᾽ ἔτραπεν εἰς πόλεμον.
Πιερίδες, τί κόρησιν ἐφυβριστῆρας ἰάμβους
ἐτράπετ᾽, οὐχ ὁσίῳ φωτὶ χαριζόμεναι;

Ἀντιπάτρου.

Ταν μὲν ἀεὶ πολύμυθον, ἀεὶ λάλον ὦ ξένε κίσσα
φάσει. ταν δὲ μέθας σύντροφον, ἅδε κύλιξ.
ταν Κρῆσσαν δὲ, τὰ τόξα. τὰ δ᾽ εἰρία, τὰν φιλοεργόν.
ἀνδέμα δ᾽ αὖ μίτρας, τὰν πολιοκρόταφον.
τοιάνδε Στυλουργὸς ὅδ᾽ ἔκρυφε Βιττίδα τύμβος,
τάντι μελάγχαιτον νυμφιδίαν ἄλοχον.

ἀλλ' ὦνερ, καὶ χαῖρε, καὶ οἰχομένοισιν ἐν ᾅδᾳ
τὰν αὐτὰν μύθων αὖθις ὄπαζε χάριν.

Ἀλκαίου εἰς γυναῖκα, ἥτις ἐκαλεῖτο Φειδίς.

Δίζημαι κατὰ θυμὸν ὅτου χάριν ἁ παροδῖτις
δισσάκι φῖ μοῦνον γράμμα λέλογχε λίθος,
λαοτύποις σμίλαις κεκολαμμένον. ἦ ῥα γυναικὶ
τᾷ χθονὶ κευθομένᾳ χιλιὰς ἦν ὄνομα;
τοῦτο γὰρ ἀγγέλλει κορυφούμενος εἰς ἓν ἀριθμός.
ἢ τὸ μὲν εἰς ὀρθὰν ἀτραπὸν οὐκ ἔμολεν,
ἡ δ' οἰκτρὸν ναίουσα τόδ' ἠρίον, ἔπλετο Φειδίς;
νῦν Σφιγγὸς γρίφους Οἰδίπος ἐφρασάμην.
αἰνετὸς, οὐκ δισσοῖο καμὼν αἴνιγμα τύποιο,
φέγγος μὲν ξυνετοῖς, ἀξυνέτοις δ' ἔρεβος.

Λεωνίδου.

Αὐτὰ Τιμόκλει', αὐτὰ Φιλώ, αὐτὰ Ἀριστώ,
αὐτὰ Τιμαιθώ, παῖδες Ἀριστοδίκου,
πᾶσαι ὑπ' ὠδῖνος πεφονευμέναι. αἷς ἔπι, τοῦτο
σᾶμα πατὴρ στάσας, κάτθαν' Ἀριστόδικος.

Ἀγαθίου σχολαστικοῦ ἐπὶ τῇ ἰδίᾳ μητρὶ κειμένῃ ἐν Βυζαντίῳ.

Ὦ ξένε, τί κλαίεις; διὰ σὸν μόρον. οἶσθα τίς εἰμι;
οὐ μὰ τόν. ἀλλ' ἔμπης, οἰκτρὸν ὁρῶ τὸ τέλος.
ἐσσὶ δὲ τίς; Περίκλεια. γυνὴ τίνος; ἀνδρὸς ἀρίστου
ῥήτορος, ἐξ ἀσίης, οὔνομα Μεμνονίου.
πῶς δέ σε Βοσποροίη κατέχει κόνις; εἴρεο μοιρῶν,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
παῖδα λίπες; τριέτηρον. ὃς ἐν μεγάροισιν ἀλύων,
ἐκδέχεται μαζῶν ἀμετόρων σταγόνα.
αἴθε καλῶς ζώοι. ναὶ ναὶ φίλος, εὔχεο κεῖνον.
ὄφρα μοι ἡβήσας, δάκρυ φίλον σταλάει.

Μελεάγρου.

Δάκρυά σοι καὶ νέρθεν ὑπὸ χθονὸς Ἡλιοδώρα
δωροῦμαι, στοργᾶς λείψανον εἰς ἀΐδην,
δάκρυα δυσδάκρυτα. πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ,
σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
οἰκτρὰ γὰρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
αἰάζω, κενεὰν εἰς ἀχέροντα χάριν.
αἰ, αἰ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν ᾅδας,
ἅρπασεν, ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
ἀλλά σε γουνοῦμαι γᾶ παντρόφε, τὰν πανόδυρτον
ἠρέμα σοῖς κόλποις μᾶτερ ἐναγκάλισαι.

Τύμνεω.

Μή σοι τοῦτο Φιλαινὶ, λίην ἐπικαίριον ἔστω,
εἰ μὴ πρὸς νείλῳ γῆς μορίης ἔτυχες.

ἀλλ᾽ ἡ

ἀλλά σ᾽ ἐλευθερίης οὖδ᾽ ἔχει τάφος. ἐι γὰρ ἴσην
πάντοθεν εἰς αἴθην ἐρχομένοισιν ὁδός.

Σαπφοῦς.

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν
δέξατο Φερσεφόνας κυάνεος θάλαμος.
ἇς καὶ ἀποφθιμένας, πᾶσαι νεοθηγέϊ χαλκῷ
ἅλικες, ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

Καλλιμάχου.

Τιμονόη, τίς δ᾽ ἐσσί; μὰ δαίμονας, οὔ σ᾽ ἂν ἐπέγνων,
εἰ μὴ Τιμοθέου πατρὸς ἐπῆν ὄνομα
στήλῃ, καὶ Μήθυμνα τεὴ πόλις. ἦ μέγα φημὶ
χῆρον ἀνιᾶσθαι σὸν πόσιν Εὐθυμένη.

Ἰωάννου ποιητοῦ.

Εἰς πόσιν ἀθρήσασα παρ᾽ ἐσχατίης λίνα μοίρης,
εἵνεκα καὶ χθονίους, εἵνεκα καὶ ζυγίους.
σοὶ μὲν, ὅτι ζωόν λίπον ἄνδρα. τοῖς δ᾽ ὅτι τοῖον.
ἀλλὰ πατὴρ μίμνοι παισὶν ἐφ᾽ ἡμετέροις.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τοῦτο σαοφροσύνας ἀντάξιον εὕρεο Νοσώ,
δάκρυα δὴ σοι γαμέτης ὠπάσε καταφθιμένᾳ.

Κύρου ποιητοῦ.

Τρεῖς ἐτέων δεκάδες, μαίης χρόνος, ὧν τρία δ᾽ ἄλλα
ἔβρεχον. ἀλλ᾽ αἴδης πικρὸν ἔπεμψε βέλος.
θηλυτέρην δ᾽ ἥρπαξε ῥόδον καλύκεσσιν ὁμοίην,
πάντ᾽ ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.

Ἰουλιανοῦ.

Αὐτὴν Θειοδότην ὁ ζωγράφος. αἴθε δὲ τέχνης
ἤμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.

Λεοντίου.

Σῆμα Ῥόδης. τυτθὴ δὲ γυνὴ πέλεν. ἀντὶ δὲ πάτρης,
ἵκετο τήνδε πόλιν, ληθομένη τοκέων.
αὐτὴ ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,
ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.
ἠοῦς μὲν μόρον εὗρεν. ὄφελλε δὲ μυρία κύκλα
ζώειν. τῶν ἀγαθῶν οὐ δεχόμεσθα κόρον.

Ἀγαθίου εἰς τὴν ἀδελφὴν αὐτοῦ
Εὐγενίαν.

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐῃ, καὶ ἀοιδαῖς,
τὴν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν, κρύπτει χθονίη κόνις. αἱ δ᾽ ἐπὶ τύμβῳ
κείραντο πλοκάμους, Μοῦσα, Θέμις, Παφίη.

Ἰουλιανοῦ αἰγυπτίου.

Οὔνομα μὲν, Καλή. φρεσὶ δὲ πλέον ἢ προσώπῳ
κάτθανε. φεῦ, χαρίτων ὅσσα πόλωλεν ἔαρ.

καὶ

καὶ γὰρ ἔην Παφίῃ πανομοίιος, ἀλλὰ συνεύνῳ
μούνῳ, τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
τίς λίθος οὐκ ἐγόησεν, ὅτ' ἐξήρπασεν ἐκείνην
εὐρυβίης ἀΐδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;

Τοῦ αὐτοῦ τωθαστικόν.

Σοὶ ὅρον εὐλάϊγγα Ῥοδῆ, καὶ τύμβον ἐγείρει,
ῥύσιά τε ψυχῆς δῶρα πόρησι νέμει
ἀντ' εὐεργεσίης γλυκερὸς πόσις. ὅττι θανοῦσα
ὠκύμορος, κείνῳ δῶκας ἐλευθερίην.

Παλλαδᾶ.

Ψυχὰ πρεσβυγενὴς τοῖς κληρονόμοις φθονοῦσα
αὐτὴ κληρονόμος τῶν ἰδίων γέγονεν.
ἐλπομένη δὲ τάχος, κατέβη δόμον εἰς ἀΐδαο,
ταῖς δαπάναις τὸ ζῆν σύμμετρον εὑραμένη.
πάντα φαγοῦσα βίον, συναπώλετο ταῖς δαπάναισιν.
ἥλατο δ' εἰς ἀΐδην ὡς ἀπεκερμάτισε.

Εὐτολμίου.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη,
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν.
οὐδ' ἔσχεν παλίνορσον ἀναπνεῦσαι γοάουσα,
ἀλλ' ἅμα καὶ θρήνου παύσατο, καὶ βιότου.

Ἀδεσπότου.

Ὕστατον ἐθρήνησε ὠκύμορον Κλεαρίστη
παῖδα, καὶ ἀμφὶ τάφῳ πικρὸν ἔπαυσε βίον.
κωκύουσα γὰρ ὅσσον ἐχάνδανε μητρὸς ἀνίη,
οὐκ ἔτ' ἀναστρέψαι πνεύματος ἔσχε πόνους.
θηλύτεραι, τί τόσον ἐμετρήσασθε τάλαιναι
θρήνον, ἵνα κλαύσητ' ἄχρι καὶ εἰς ἀΐδεω;

Παλλαδᾶ.

Ἥρπασέ τις νύμφην, καὶ τὸν γάμον ἥρπασε δαίμων
ψυχὴν συλήσας τῶν ποιμένων ἀγέλην.
εἷς γάμος, ἀνθεσπεύσας τάφους ἔπλησε θανόντων.
πάνδημος δὲ νεκρῶν εἷς γέγονεν θάλαμος.
νύμφη πενθεσίλεια πολύστονε, νυμφίε πένθευ,
ἀμφοτέρων ὁ γάμος πλούσιος ἐν θανάτοις.

Αἰμιλιανοῦ.

Ἕλκε τάλαν παρὰ μητρὸς, ὃν οὐκ ἔτι μαζὸν ἀμέλξεις
ἕλκυσον ὑστάτιον νᾶμα καταφθιμένης.
ἤδη γὰρ ξιφέεσσι λιπόπνοος. ἀλλὰ τὰ μητρὸς
φίλτρα, καὶ ἐν ἀΐδῃ παιδοκομεῖν ἔμαθον.

Ἀδήλου.

Ὑστάτιον φώνημα κλυτὴ πόλι τόνδε Θεανὼ
εἶπεν ἐς ἀβύγετον νύκτα κατερχομένη,
οἴμοι ἐγὼ δύστηνος, ἀπείλαχε πόσσον ὅμευνε,
πόσσον ἐπ' ὠκείῃ νηῒ πόρῃς πέλαγος;

αὐτὰρ ἐμοῦ χεύθει μόρος ἵσατο. ὡς ὄφελόν γε
χερσὶ φίλαις τὴν σὴν χεῖρα βαλοῦσα, θανεῖν.

Ἀδήλου.

Τίπτε μάτην γοόωντες ἐμῷ παραμίμνετε τύμβῳ;
οὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
λῆγε γόου, καὶ παῦε πόσις. καὶ παῖδες ἐμεῖο
χαίρετε, καὶ μνήμην σώζετ' Ἀμαζονίης.

Ἀδέσποτον.

Ἀλκῆστις νέη εἰμί. θάνον δ' ὑπὲρ ἀνδρὸς ἐσθλοῦ
ζώοντος. τὸν, μοῦνον ἐν στέρνοις ἐδεδέγμην.
ὃν φωτὸς, γλυκερῶν τε τέκνων, προὔκειν ἐμὸν ἦτορ.
οὔνομα Καλλικράτεια, βροτοῖς πάντεσσιν ἀγαθή.

Ἀδήλου.

Εὐχέσθω τις ἔπειτα γυνὴ τόκον, εἶπε Πολυξώ,
γαστὴρ ὑπὸ τρισσῶν ῥηγνυμένη τεκέων.
μαίης δ' ἐν παλάμῃσι χύθη νέκυς. οἱ δ' ὑπὸ γαῖαν
ὤλισθον, κοίλων ἄρσενες ἐκ λαγόνων,
μητρὸς ἐκ νεκρῆς ζωὸς γόνος. εἷς ἄρα δαίμων
τῇ μὲν ἀπὸ ζωὴν εἵλετο, τοῖς δ' ἔπορεν.

Ἀσκληπιάδου.

Ἀρχεάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν,
ἇς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' ἔρως.
ἆ νέον ἡβώσης ἀποδρέψαντες ἐρασταὶ,
πρωτοβόλοι δι' ὅσης ἤλθετε πυρκαϊῆς.

Ἀδήλου.

Μὴ δὲ κατὰ χθονίοις μετὰ δαίμονος ἄμμορος εἴης
ἡμετέρων δώρων, ὧν σ' ἐπέοικε τυχεῖν
ἀμμία, οὕνεκα Νικόμαχος, θυγάτηρ τε Διώνη,
τύμβον, καὶ στήλην, σοὶ ἐθέμεσθα χάριν.

Ἀδήλου.

Μή με θοῶς κύδιστε παρέρχεο τύμβον ὁδῖτα,
σῖγ' ἀκοιμήτοις ποσσὶ κελευθοπόρε.
ἐρχόμενος δ' ἔρεεινε, τίς εἶ, πόθεν. ἁρμονίαν γὰρ
γνώσεαι ἧς γενεὴ λάμπεται ἐν μερόποις.
πάντα γὰρ ὅσσα βροτοῖσι φέρει κλέος, ἦν ἐνιδέσθαι
εὐγενίην ἀρετὴν, ἤθεα, σωφροσύνην.
τοίης τύμβον ἄθρησον. ἐν οὐρανίαις γὰρ ἀταρπούς
ψυχὴ πεπταίνει, σῶμ' ἀπολυσαμένη.

Ἀδήλου.

Νικόπολιν Μαραθῶνος ἐθήκατο τῇδ' ἐνὶ πέτρῃ
ὀμβρήσας δακρύοις λάρνακα μαρμαρέην.
ἀλλ' οὐδὲν πλέον ἔσχε. τί γὰρ πλέον ἀνέρι κήδους
μούνῳ ὑπὲρ γαίης, οἰχομένης ἀλόχου;

Ερυ

Ἐρυκίου.

Ἀτθὶς ἐγώ. κείνη γὰρ ἐμὴ πόλις. ἐκ δέ μ' Ἀθηνῶν
λοιγὸς Ἄρης Ἰταλῶν πρίν ποτ' ἐληΐσατο,
καὶ θέτο Ῥωμαίων πολιήτιδα. νῦν δὲ θανούσης,
ὀστέα νησαίη Κύζικος ἠμφίασεν.
χαίροις ἡ θρέψασα, καὶ ἡ μετέπειτα λαχοῦσα
χθὼν με, καὶ ἡ κόλποις ὕστατα δεξαμένη.

Ἀγαθίου.

Ναὶ λίτομαι παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ
εὖτ' ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην,
κάτθανε σὴ παράκοιτις. ἔχει δέ μιν ἐν χθονὶ τύμβος.
αἰαῖ, Βοσπορίης ἐγγύθεν ἠιόνος,
ἀλλά μοι αὐτόθι τεῦχε κενήιον ἐγγύθι σεῖο,
ὄφρ' ἀναμιμνήσκῃ δή ποτε κουριδίης.

Ἀδηλον.

Ὁρᾷς πρόσωπον Κασσίης τῆς σώφρονος;
εἰ καὶ τέθνηκε, ταῖς ἀρεταῖς γνωρίζεται.
ψυχῆς τὸ κάλλος μᾶλλον, ἢ τοῦ σώματος.

Ἀδέσποτον.

Τῇδέ ποτ' Ἀκτόρεϊον ἐδέξατο γαῖα χανοῦσα
Λαοδίκην, Λυγίων ὕβριν ἀλευομένην.
σῆμα δ' ἀμαλδυνθέντος ἀνωΐστοιο χρόνοιο,
Μάξιμος ἔκδηλον θῆκ' Ἀσίης ὕπατος.
καὶ κούρης χάλκειον ἐπὶ τύπον ἐφράσατ' ἄλλη
κείμενον ἀϊδέως, τὸν δ' ἐπέθηκε κύκλῳ.

Κριναγόρου.

Ὑμνίδα τὴν Εὐάνδρου ἁβράσμιον, ἁγνὸν ἄθυρμα
οἰκογενὲς, κούρην αἱμύλον εἰναέτιν,
ἥρπασας ὦ ἄλληστ' Ἀΐδη τί, πρόωρον ἐφέλκεις
μοῖραν, τὴν πάντως σοί ποτ' ἐσομένην.

Ἀντιπάτρου.

Οὐχὶ βαθυζώνων Ἱππαρχία ἔργα γυναικῶν,
τῶν δὲ κυνῶν ἑλόμαν ῥωμαλέον βίοτον.
οὐδέ μοι ἀμπεχόναι περονήτιδες, οὐ βαθύπεπλος
εὐμαρὶς, οὐ λιπόων εὔαδε κεκρύφαλος,
οὖδας δὲ σκίπωνι συνέμπορος, ἅ τε συνῳδὸς
δίπλαξ, καὶ κοίτας βλῆμα χαμαιλεχέος.
ἄμμι δὲ Μαιναλίας κρέσσων βίος ἦν Ἀταλάντας
τόσον, ὅσον σοφία κρέσσον ὀρειδρομίας.

Καλλιμάχου.

Κρηθίδα τὴν πολύμυθον, ἐπισταμένην καλὰ παίζειν
δίζονται Σαμίων πολλάκι θυγατέρες,
ἡδίσταν συνέριθον, ἀεὶ λάλον. ἡ δ' ἀποβρίζει
ἐνθάδε, τὸν πάσαις ὕπνον ὀφειλόμενον.

Ἀδήλου.

Εὐήθης Τρύφων, οὐκ ἐπ' ἀγαθαῖς ἐλοχεύθη
κληδόσιν. οὐ γάρ ἂν ᾤετ' ὄλεθρος δαιμονίη
ἀρτιτόκος. τὰ δὲ πολλὰ κατήγαγεν ἡ βρέφος ἄθλια
σὺν κόνει. δειλαίην δ' οὐχ ὑπόφρυγεν ἔτι.

Ἀντιπάτρου.

Η πουσὶ χθονίας ἀρτιτμηθὰς δὲ ἀκάτοιο
κωκυτοῦ θεμέναν ἴχνος ἐπ' ἠϊόνι,
οἰχόμενον βρέφος ἀρτινέῳ φορέουσαν ἀγοστῷ,
ᾤκτειραν θαλεραὶ δωρίδες εἰν ἀΐδα,
πευθόμεναι τεὸν κῆρα. σὺ δὲ ξαίνουσα παρειάς,
δάκρυσιν ἐξεῖπας φωτὶ ἀνιαρὸν ἔπος,
δισσὸν ὠδίνασα φίλον τέκος. ἄλλο μὲν ἀνδρὶ
Εὔφρονι καλλιπόμαν, ἄλλο δ' ἄγω φθιμένοις.

Ηρακλείδου.

Α κόνις ἀρτίσκαπτος, ἐπὶ στάλας δὲ μετώπῳ
σείονται φύλλων ἡμιθανεῖς στέφανοι.
γράμμα διακρίναντες ὁδοιπόρε, πέτρον ἴδωμεν.
λυγρὰ περιστέλλειν ὀστέα φατί τινος.
ξεῖν', ἀρετημιάς εἰμι. πάτρα κνίδος. Εὔφρονος ἦλθον
εἰς λέχος. ὠδίνων οὐκ ἄμορος γενόμαν.
δισσὰ δ' ὁμοῦ τίκτουσα, τὸ μὲν, λίπον ἀνδρὶ ποδηγὸν
γήρως. ὃν δ' ἀπάγω, μνημόσυνον πόσιος.

Θεοδωρίδου.

Εὐρύχορον τόδε σῆμα τὸ Φαιναρέτης ποτὲ κοῦραι
κείραντο ξανθὰς θεσσαλίδες πλοκάμους,
πρωτοτόκου, καὶ ἄποτμον ἀτυζόμεναι περὶ νύμφην.
λάξεισαν δὲ φίλην ἤγαγε, καὶ τοκάδας.

πῖς. quæ. τίνος εὖσα. cuius filia ò mulier. παρίην κίονα. Parij marmoris. Homer. Odyss. α. ἔχει δέ τε κίονας αὐτὸς μακράς, & alibi fœminino genere. καλλιτέλους. filia Callitelis. ἐξέδοσαν. Locarant, desponderant. καλλιτέλην, filium. τύχη. fortuna, deus. πνεύσασαν ὕστατα. quæ dolore partus animam efflarat. ἠόνα. africum litus. λεχώια δῶρα. munera puerperis dari solita. ἔννεπε. dic. ὅσσον ἐπ' ὠδῖσιν. quantum ad dolores partus spectat, nam pueri qui dies 20. tantum uixit mater quæ appellari uelit. ἔφθασεν. præripuit. ἰναχίης βοός. Ius Inachi filiæ, cuius miserias deplorat Aeschylus in Prometheo, Ouidius in Metamorph. & Lucianus in Dialogis. Polybius libro quarto, ὅθεν αὖθις ὁρμήσας, πρὸς αὐτὸ πρὸς τὸν καλουμένην βοῦν, ὅς ἐστι τῆς ἀσίας τόπος, ἐφ' ὃν ἐπιστῆναι φασὶ πρῶτον οἱ μῦθοι τὴν ἰὼ περαιωθεῖσαν. οὐδ' ἀπ' ἐμεῖο. non à me, appellatur sed ab Io in uaccam mutata. ἥρης. Iunonis. ἐς φάρον. in Aegyptum. κεκροπὶς νέκυς. Attica mulier defuncta. εὐνέτις ἦν δὲ χάρητος. Pallaca & concubina pro uxore habita. Suidas in dictione Βοΐδιον. Chares Atheniensium Imperator perditæ luxuriæ homo ex Athenæi 12. & Diodori 16. clarus. Is est licet eum non nominet, ne id causæ noceat, quem Aeschines de falsa legatio. 75. sociorũ urbes amisisse eloquitur, cuius Demosthenes grandi accepta pecunia patrocinium apud populum susceperat ne ab alterius factionis rhetoribus oppugnaretur, ab eo natum est Adagium

gium, Charetis pollicitationes. φιλιππικῶν σκαφῶν. Chares classis Atheniensium præfectus aduersus Philippum creatus, qui Byzantium obsidebat. Reliqua in Phocione Plutarchus & Georgius Gemistus in rebus Græcanicis. βοίσπορ δ' ἔχοιω, nominata sum. ἀμφοτέρας. Asia & Europa. οὐ γάμον. Prima nuptiarum nocte obijt. ἄμματα λυομένη. ζώνην λυομένη. Homer. Odyss. λ. λῦσε δὲ παρθενίην ζώνην. glossulæ. ἀντὶ τοῦ διεπαρθένευσεν. Plutarchus in uita Homeri λῦσε δὲ παρθενικὴν ζώνην. ἀπὸ δὲ τοῦ προηγουμένου τὸ ἀκόλουθον. ἀκολουθεῖ γὰρ τούτῳ τὸ διακορεῦσαι. ἀπὸ δὲ τοῦ ἀκολούθου τὸ προηγούμενον, ὡς ὅταν φησὶ ζωγρεῖν λέγει τὸ φονεύειν, ἀντὶ τοῦ σκυλεύειν. Catullus: quod possit zonam soluere uirgineam. Diuus Augustinus ex Varrone. Et cum uirgini uxori zona soluitur. Plutarchus in Lycurgo, ἔλυε τὴν ζώνην ὁ νυμφίος. λῦσε δὲ οἱ μίτρην. Theocrito Idyl. 20. idem est & λοι. φεῦ φεῦ καὶ τὰν μίτραν ἀπέσχισεν, ἐς τί δ' ἔλυσας. τᾷ παφίᾳ πρώτισον ἐγὼ τόδε δῶρον ὤπαζα. Et alius. χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας (παρθενίας) ζεὺς διαλύς. Apud Homerum in hymno Veneris, λῦσε δέ οἱ ζώνην simpliciter intelligendum: Plutarchum in libello cui titulum nũcupauit γυναικῶν ἀρεταί: & Callimachum εἰς δῆλον, λύσατο δὲ ζώνην. Cingulo autem noua nupta ex lana ouis præcingebatur, quod Herculano nodo uinctum uir in lecto soluebat ominis gratia, ut sic ipse felix esset in suscipiẽdis liberis, ut fuit Hercules qui 70. reliquit. ἑσπερίοιο. Vesperi à matre diuulsæ & ad maritũ perductæ. χθῶν. tibiæ γαμήλιον αὔλημα canebant, id quod mane & uesperi fiebat: unde statim ἦχον ὀλόλυγμον non αὔλημα. θαλάμων θύρας. ad eas enim concursabant & tumultuabantur mulieres ut clamanti uirgini opem ferrent. autor Pollux. φησὶ. πρὸς τούτοις δὲ, ἐν αὐτοῖς δὲ. ὑμέναιος. nuptiale carmen. παστῷ. thalamo. πεύκαι. faces. Idq; Romanorũ Græcorumq; solenni ritu. Illi tamen quinq; tantum teste Plutarcho accendebãt. narrat Festus patrimos & matrimos pueros (id est quorum pater & mater adhuc erant in uita) tres nubentem deducere, unũ qui facem præfert ex spina alba (de qua Plinius lib. 16, cap. 18.) quia noctu nubebãt, duos qui tenent nubentem. Inuenio & facem in nuptijs in honorem Cereris prælatam, aquaq; aspersam nouam nuptam, siue ut pura castaq; ad uirum ueniret, siue ut aquam atque ignem cum uiro communicaret. Quod Seruius. Varro ideo dicit faces præire nuptas quod antea non nisi noctu ducebantur à sponsis. Homerus Iliad. σ. νύμφας ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων ἠγίνεον ἀνὰ ἄστυ. καὶ φθιμένα. extinctæ. ἔφαινον δολὸν, eædem ipsæ faces & nuptiales & funebres fuerunt. νικιππίδος. Nicippidis. Eiusdem est argumenti. ὕμνος. hymnus epithalamius. θρῆνος. eiulatio. ἄρτι, κατὰ, uix adhuc mulier. ἀρπαγίμοις λέκτροις. Proserpinæ coniugio. πολίητιν κορίνθου. Haud nata est Lais Corinthi ut forte Propertius & Claudianus eam Ephyræam, id est Corinthiam nominantes atq; alij existimant: sed Hyccaris Siciliæ oppido, quod Nicia duce Atheniensium, ui captum & direptum est ciuesq; uenundati. in his à Corinthio quodam empta est Lais, & Corinthũ dono uxori missa. nec clam me est quod scribit Stephanus in uoce κρασός. Vadianus eam non recte à Nicia in Græciam uectam putat, quem in Sicilia perdito exercitu è uita migrasse certo scimus. Synesius in epist. ἡ λαῒς ἑφπτις ἦν ἢ λογογράφος αὐδραπόδων ὢν συγκατειλόν (repone ὑκκαρικῶν) ἐκ σικελίας ἐωνημένον. de cuius oppidi nomine copiosa Athenæus libro septimo. Siquis Laidem Corinthiam appellat quod per multos annos in ea urbe uixerit, aut quo modo Plato Politico. ζ. κορινθίαν κόρην scortillum nominat, & Themistius, κόρης αὐτῆς τινὸς κορινθίας, ἢ παιδὸς ἰωνικοῦ διακονουμένου, non re-

 pugna

pugno. nam κορινθιάζειν scortari & lenocinari est, αἰγυπτιάζειν mala fide agere, αἰολίζειν decipere. ἁλιζώνοιο. mari cincti, bimaris Horatio. πειρήνης. Peirene fons est Corinthi. Athenæus. σταθμήσας τὸ ἀπὸ τῆς ἐν κορίνθῳ πειρήνης καλουμένης ὕδωρ κουφότερον πάντων εὗρον τῶν κατὰ τὴν ἑλλάδα. de hac multa in Corinthiacis Pausanias, Strabo libro octauo, & Euripidis in Medea enarrator. Pyrene apud Plautum in Aulularia & Plinium libro quarto cap. quarto. pro Peirene male repositum est, & eodem libro cap. septimo: Calliroe enneacrunos diastole interiecta à nouem salientibus, sic appellatus. Suidæ ἐννεάκρουνος. eidem alibi cum Cratino δωδεκάκρουνος. Lucianus. πρότερον δὲ ἡ ἐννεάκρουνος. eundem enim fontem esse initio ἐννεάκρουνον postea Calliroen denominatum auctor est libro secundo Thucydides. λιβάδων. aquarum. τυνδαρείδος. Helenæ Tyndarei filiæ, ab innumera procorum turba expetitæ. ὄδωδε κρόκῳ. olet crocum. κνώψη. per ἡ κνώψη flagrantem. θυόεν ἄσθμα. thus. suffitum. ἧς ὕπερ. cuius ob mortem. ἄμυξε κατά. κατέμυξε. laniauit. λύζων. singultiens. εὐνήν. cubile. nisi corpus uulgasset. ἔσχε πόνον. pro ea certassent Græci. τὸ καλόν. καλῶς. ἀνθήσασα. quæ floruit. λείρια. flores. ἔρρε. sed è uita discessit. ποθεύντων. amantium. καὶ μύστην. secretorum conscium. Martialis in uxorem. Tu tenebris gaudes, me ludere teste lucerna. Idem in Apophoretis. dulcis conscia lectuli lucerna. uidetur omnino Martialis Cyrenaicis impurior, qui ex Plutarcho οὐδὲ ὁμιλεῖν ἀφροδισίοις οἴονται δεῖν μετὰ φωτὸς, ἀλλὰ σκότος προθεμένους, ὅπως μὴ τὰ εἴδωλα τῆς πράξεως ἀναλαμβάνουσα διὰ τῆς ὄψεως ἐναργῶς ἐν αὐτῇ ἡ διάνοια, πολλάκις ἀνακαίῃ τὴν ὄρεξιν. Lege eundem Plutarchum lib. symposia. 3. segmento sexto. Cyniscus in Luciani Tyranno sub finem Lucernæ testimonium contra Megapenthem producit, ex quo facile locus iste elucebit. εἰς ἐφύρην. Corinthum. antea Ephyram dictam ab Ephyra Oceani filia. Eustathius quatuor Ephyras nominat, plures Stephanus. adi Strabonem libro η. τάφον ἔδρακον. Pausanias. πρὸ δὲ τῆς πόλεως (Corinthi) κυπαρίσσων ἐστὶν ἄλσος ὀνομαζόμενον κράνειον. ἐνταῦθα τάφος λαΐδος, ᾧ δὴ λέαινα ἐπίθημά ἐστι κριὸν ἔχουσα ἐν τοῖς προτέροις ποσίν. ἔστι δὲ καὶ ἄλλο ἐν θεσσαλίᾳ λαΐδος φαμένων μνῆμα εἶναι. quorum sententiam sequitur Timæus apud Athenæum lib. 13. de cuius morte consule Plutarchum in Erotico, Suidam in uoce χελώνη, Aristophanis in Pluto interpretes, & ipsum memorato loco Athenæum. ἀμφικέλευθον. in media uia, aut triuio positum. χάραγμα. inscriptio, Epitaphium. ὦ πόσον. ô quantum. ἠϊθέων. iuuenum. ἤκαχες. tristitia affecisti. ἴδε. uide. en. λήθην. lethen. orcum. κατθεμένη. καταθεμένη. κανθούς. oculos. ἔμυσας. Clausisti. fato functa es. κωτίλα. garrula. ᾅδης. Pluto. ἔμηνε. in insaniam egit (furiauit Horatio). Ita ut Patrophilam raperes. τῆς τρυφερῆς. Trigonij. ἄνθεμα σαλμακίδων. meretricum flos & principatum inter eas obtinens, quas Salmacides à Salmace fonte cognominat. Anthemium herba est ex Plinio & Dioscoride nota, cuius flores in coronamenta reponuntur, uere collecti. Suidas ἀνθέμων, ῥόδων. καὶ στέφανος ἀνθέμων, ῥόδων. Eustathius. ἀνθεμόεις. πολλοῖς ἀνθέμοις ἤγουν ἄνθεσι βρύων. multis anthemis, id est floribus scatens. Pindarus. ἄνθεμα δὲ χρυσοῦ, Scholia. ἄνθη δὲ χρυσοῦ. Scio & legem fuisse Athenis, τὰς ἑταίρας ἀνθινὰ φορεῖν. σαβακῶν. Dionysiacarum quæ Thyadum instar παροινεῖν atque debacchari consueuerunt, sese coagitantium. nonnunquam enim σαβάζειν persultare est, sed indecoro & motu & gestu quo petauristæ, bacchæ in tripudijs & Dionysiæ saltatriculæ (Italis Balarinæ) commouentur, cum lumbos extollunt ac uibrant. Scio & meretrices σαβάδας καὶ κασαλβάδας παρὰ τὸ καλεῖν καὶ τὸ σοβεῖν

 γαίῃ, τὸν κείνης μηκέτι κλέπτε νέκυν.

Τοῦ αὐτοῦ.

Ἠιόνι τόδε σῆμα βροτοῦ παντλήμονος ἄθρει,
σπαρτὸν ἁλιρραγέων ἐκχύμενον σκοπέλων.
τῇ μὲν, ἐρημοκόμης κεῖται, καὶ χεὶρ ὀδόντων
κόρσῃ. τῇ δὲ, χορῶν πενταφυεῖς ὄνυχες.
πλευρά τε σαρκολιπῆ. ταρσοὶ δ' ἑτέρωθεν ἄμοιροι
νεύρων, καὶ κώλων ἔκλυτος ἁρμονίη.
οὗτος ὁ πουλυμερὴς, εἷς ἦν ποτε. φεῦ, μακαριστοί,
ὅσσοι ἀπ' ὠδίνων οὐκ ἴδον ἠέλιον.

Βιάνορος.

Ἰχθύσι, καὶ ποταμῷ, Κλειτώνυμον ἐχθρὸς ὅμιλος
ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
ἀλλὰ δίκη μιν ἔθαψεν. ἀπωσθεῖσα γὰρ ὄχθη,
πᾶν δέμας ἣν κορυφὴν ἐκ ποδὸς ἐκτέρισεν.
κεῖται δ' οὐχ ὕδασι διάβροχος. αἰδομένη δὲ
γῆ, κεύθει τὸν ἑῆς ὅρμον ἐλευθερίης.

Ἡρακλείδου Σινωπέως.

Λαῖλαψ, καὶ πολὺ κῦμα, καὶ ἀντολαὶ ἀρκτούροιο,
καὶ σκότος, Αἰγαίου τ' οἶδμα κακὸν πελάγευς.
ταῦθ' ἅμα πάντα κύκησεν ἐμὴν νέα. τειχθὲ δὲ κλασθὲς
ἱστός, ὁμοῦ φόρτῳ κἀμὲ κάλυψε βυθῷ.
ναυηγὸν κλαίοιτε παρ' αἰγιαλοῖσι γυναῖκα
Τλησιμένη, κωφὸν στησάμενοι λίθακα.

Ἐρυκίου.

Οὐχ ὅδε δειλαίου Σατύρου τάφος, οὐδ' ὑπὸ ταύτῃ
ὡς λόγος δύνεται πυρκαϊῇ σάτυρος.
ἀλλ' εἴπου τινὰ πόντου ἀκούετε πικρὸν ἐκεῖνον,
τὸν πέλας αἰγονόμου κλυζόμενον μυκάλης,
κείνῳ δινήεντι, καὶ ἀτρυγέτῳ ἔπι κεῖμαι
ὕδατι μαινομένῳ, μεμφόμενος Βορέην.

Θεαιτήτου.

Ναυτίλοι ὦ πλώοντες, ὁ κυρηναῖος ἀρίστων
πάντας ὑπὲρ ξενίου λίσσεται ὔμμε διός,
εἰπεῖν πατρὶ Μένωνι, παρ' ἰκαρίαις ὅτι πέτραις
κεῖται, ἐν αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.

Ἀσκληπιάδου.

Ω παρ' ἐμὸν στείχων κενὸν ἠρίον εἶπον ὁδῖτα,
εἰς χίον εὖτ' ἂν ἵκῃ πατρὶ μελησαγόρῃ,
ὡς ἐμὲ μὲν, καὶ νῆα, καὶ ἐμπορίην, κακὸς εὖρος
ὤλεσεν. Εὐίππου δ' αὐτὸ λέλειπτ' ὄνομα.

Γόρδου.

Εὔρου χειμέριαί σε καταιγίδες ἐξεκύλισαν
Φίλλι πολυκλαύτῳ γυμνὸν ἐπ' ἠιόνι,
οἰνηρῆς λέσβοιο παρὰ σφυρόν. αἰγίλιπος δὲ
πέτρου ἁλιβρέκτῳ κεῖσαι ὑπὸ πρόποδι.

Νικαινέτου.

Κεῖον εἰμὶ Βίτωνος ὀδοιπόρε. εἰ δὲ Τορώνην
λείπων, εἰς αὐτὴν ἔρχεαι Ἀμφίπολιν,
εἰπεῖν Νικαγόρᾳ, παίδων ὅτι τὸν μόνον αὐτῷ
στρυμονίης ἐρίφων ὤλεσε πανδυσίη.

Λεωνίδου.

Ἀρχαίης ὦ θινὸς ἐπεσγλωμένον ἄχθος,
εἴποις ὅν τιν᾽ ἔχεις, ἢ τίνος, ἢ ποδαπούς;
Φίντων᾽, Ἑρμιονῆα, Βαθυκλέος, ὃν πολὺ κῦμα
ὤλεσεν, ἀρκτούρου λαίλαπι χρησάμενον.

Τοῦ αὐτοῦ.

Τάρμις ὁ Καλλιγνώτου ἐπάκτιος, ὅς παλαμεύτης
ἄκρος, καὶ κίχλης, καὶ σκάρου ἰχθυβολεύς,
καὶ λάβρου πέρκης δελεάρπαγος, ὅσσα τε κοίλας
σήραγγας, πέτρας τ᾽ ἐμβυθίους νέμεται,
ἄγρης ἐκ πρώτης, ὅτ᾽ ἰουλίδα πετρήεσσαν
δακνάζων, ὀλοὴν δ᾽ ἐξ ἁλὸς ἀράμενος,
ἔφθιτ᾽. ὀλισθηρὴ γὰρ ὑπὸ ἐκ χερὸς ἀΐξασα,
ὤχετ᾽ ἐπὶ στεινὴν παλλομένη φάρυγα.
χὠ μὲν, μηρίνθων, καὶ δούνακος, ἀγκίστρων τε
ἐγγὺς, ἀποπνοίην ἦκε κυλινδόμενος,
νήματ᾽ ἀναπλήσας ἐπιμοίρια. τοῦ δὲ θανόντος
Γρίπωνος, γριπεὺς τοῦτον ἔχωσε τάφον.

Φαλαίκου.

Ἕβρου χειμερίοις ἀταλὸς κρυμοῖσι πεδηθεὶς
κοῦρος, ὀλισθηροῖς ποσσὶν ἔθραυσε πάγον.
τοῦ παρασυρομένοιο, περιρραγὲς αὐχέν᾽ ἔκοψε
θηγαλέον ποταμοῦ Βιστονίοιο τρύφος.
καὶ τὸ μὲν, ἡρπάσθη δίναις μέρος. ἡ δὲ τεκοῦσα,
λειφθὲν ὕπερθε τάφου μοῦνον ἔθηκε κάρα.
μυρομένη δὲ τάλαινα, τέκος, τέκος, εἶπε, τὸ μὲν σου
πυρκαϊὴ, τὸ δὲ σου πικρὸν ἔθαψεν ὕδωρ.

Ἀδέσποτον.

Πάντα τις ἀρήσαιτο φυγεῖν πλόον, ὁπότε καὶ σὺ
Θεύγνητες ἐν Λιβυκῷ τύμβον ἔθου πελάγει,
ἡνίκα σοι κεκμηὸς ἐπέπλατο φορτίδι νηὶ
οὖλον ἀνηρείβμων κεῖνο νέφος γεράνων.

Λεωνίδου.

Ναυηγὸς γλαύκοιο φυγὼν τρίτωνος ἀπειλὰς,
αὖθις φθιώτην οὐ φύγον αἰνόλυκον.
πικνεῦ παρὰ χεῦμα γὰρ ὤλεσα. φεῦ τάλαν, ὃς τὰς
νηρείδων νύμφας ἔχες ἀπιστοτέρας.

Ἰουλιανοῦ.

Χαῖρέ μοι ὦ ναυηγὲ. καὶ εἰς ἀΐδαο περήσας,
μέμφεο μὴ πόντου κύμασιν, ἀλλ᾽ ἀνέμοις.

κεῖνοι μὲν σ' ἐδάμασσαν. ἁλὸς δέ σε μείλιχον ὕδωρ
ἐς χθόνα, καὶ πατέρων ἐξεκύλισε τάφους.

Τοῦ αὐτοῦ.

Πλώεις, ναυηγόν με λαβὼν καὶ σήματι χώσας,
πλώεις, Μαλειάων ἄκρα φυλασσόμενος.
αἰεὶ δ' εὐπλοΐην μεθέποις φίλος. ἢν δέ τι ῥέξῃ
ἄλλο τύχη, κείνων ἀντιάσαις χαρίτων.

Τοῦ αὐτοῦ.

Οὔτι σε πόντος ὄλεσσε, τὸ δ' οὐ πνείοντες ἀῆται,
ἀλλ' ἀκόρητος ἔρως φορτίδος ἐμπορίης.
εἴη μοι γαίης ὀλίγος βίος. ἐκ δὲ θαλάσσης
ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

Τοῦ αὐτοῦ.

Χθὼν σε τέκεν. πόντος δὲ διώλεσε. δέξατο δὲ θῶκος
πλουτῆος. κἀθθανὼν δ' οὐρανὸν εἰσανέβης.
οὐχ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ' ἵνα πάντῃ
κλήροις ἀθανάτων Πάμφιλε κόσμον ἄγῃς.

Τοῦ αὐτοῦ.

Ὑπατίου τάφος εἰμί. νέκυν δ' οὐ φημὶ καλύπτειν,
τόσσου τόσσος ἐὼν αὐσονίων πρόμαχον.
γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἄνδρα χῶσαι
σήματι, τὸν πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.

Ἀντιφίλου.

Ἤδη που πάτρης πελάσας σχεδὸν, αὔριον εἶπον,
ἡ μακρὴ κατ' ἐμοῦ δυσπλοΐη κοπάσει.
οὔπω χεῖλος ἔμυσε. καὶ ἦν ἴσος ᾅδῃ πόντος,
καί με κατέτρυχεν κεῖνο τὸ κοῦφον ἔπος.
πάντα λόγον πεφύλαξο τὸν αὔριον. οὐδὲ τὰ μικρὰ
λήθει τὴν γλώσσης ἀντίπαλον νέμεσιν.

Ἀπολλωνίδου.

Ἢν ἄρα Μιλήτου Φοιβήϊον ὅρμον ἵκηθε,
λέξατε Διογένει πένθιμον ἀγγελίην,
παῖς ὅτι οἱ ναυηγὸς, ὑπὸ χθονὶ κεύθεται ἄνδρου
Δίφιλος, αἰγαίου κῦμα πιὼν πελάγους.

Ἀντιπάτρου.

Φεῦγε θάλασσα, θάλασσα, τί Κυκλάδας, ἢ στενὸν Ἕλλης
κῦμα, καὶ ὀξείας ἠλεὰ μεμφόμεθα;
ἄλλως τοὔνομ' ἔχουσιν. ἐπεὶ τί με τὸν προφυγόντα
κεῖνα, σκαρφαιεὺς ἀμφεκάλυψε λιμήν.
νόστιμον εὐπλοΐην ἀρῷτό τις. ὡς τάγε πόντου,
πόντος. ὁ τυμβευθεὶς οἶδεν ἀρισταγόρης.

Φαλαίκου.

Φεῦγε θαλάσσια ἔργα, βοῶν δ' ἐπιβάλλευ ἐχέτλης,
εἴ τι τοι ἡδὺ μακρῆς πείρατ' ἰδεῖν βιοτῆς.

ἠπεί

ἠπείρῳ γὰρ ἔνεστι μακρὸς βίος. ἐν ἁλὶ δ' οὔπως
εὐμαρὲς πολιὴν ἀνδρὸς ἰδεῖν κεφαλήν.

Λεωνίδου.

Οὐδ' εἴ μοι γελόωσα καταστορέσειε γαλήνη
κύματα, καὶ μαλακὴν φρῖκα φέροι ζέφυρος,
νηοβάτην ὄψεσθε. δέδοικα γὰρ οἷς πάρος ἔτλην
κινδύνους, ἀνέμοις ἀντικορυσσάμενος.

Τοῦ αὐτοῦ.

Ἄτρομος ἐκ τύμβου λῦε πείσματα ναυηγοῖο.
χἠμῶν ὀλλυμένων ἄλλος ἐποντοπόρει.

Ἡρακλείδου.

Ἄπεχ' ἄπεχε χεῖρας ὦ γεωπόνε.
μηδ' ἀμφιτέμνε τὰν ἐν ἠρίῳ κόνιν.
αὐτὰ κέκλαυται βῶλος. ἐν κεκλαυμένας
δ' οὔτι κόματος ἀναθαλήσεται στάχυς.

Γλαύκου.

Οὐ κόνις, οὐδ' ὀλίγον πέτρας βάρος, ἀλλ' Ἐρασίππου
ἣν ἐσορᾷς, αὕτη πᾶσα θάλασσα τάφος.
ὤλετο γὰρ σὺν νηΐ. τὰ δ' ὀστέα ποῦ ποτ' ἐκείνου
πύθεται, αἰθυίαις γνωστὰ μόναις ἐνέπειν.

Ἀντιπάτρου.

Δύσμορε Νικάνωρ, πολιῷ μεμορημένε πόντῳ,
κεῖσαι δὴ ξείνῃ γυμνὸς ἐπ' ἠϊόνι,
ἢ σύγε πρὸς πέτρῃσι. τὰ δ' ὄλβια κεῖνα μέλαθρα
φροῦδά τε, καὶ πάσης ἐλπὶς ὄλωλε Τύρου.
οὐδέ τι σε κτεάνων ἐρρύσατο φεῦ ἐλεεινέ.
ὤλεο μοχθήσας ἰχθύσι, καὶ πελάγει.

Θεοκρίτου.

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
ναυτίλος ἴσθι, ὡς οὐ πολὺς ἀνδρὶ βίος.

Θεοδωρίδου.

Κλεινὸς πόντου σε, καὶ ἐσχατιαὶ Σαλαμῖνος
Τίμαρχ', ὑβριστής τ' ὤλεσε λὶψ ἄνεμος.

Ὀνέστου.

Οὔνομα κηρύσσω Τιμοκλέος, εἰς ἅλα πικρὴν
πάντῃ σκεπτομένη ποῦ ποτ' ἄρ' ἐστὶ νέκυς.
αἰ, αἰ, τὸν δ' ἤδη φάγον ἰχθύες. ἡ δὲ περισσὴ
πέτρος ἐγὼ, τὸ μάτην γράμμα τυπωθὲν ἔχω.

Ἀδήλου.

Ναυτίλε, μὴ πεύθου τίνος ἐνθάδε τύμβος ὅδ' εἰμί,
ἀλλ' αὐτὸς πόντου τύγχανε χρηστοτέρου.

Διοδώρου.

Ἔῤῥοις ἰονίοιο πολυπτοίητε θάλασσα
νηλειής, ἀΐδεω πορθμὲ κελαινοτάτου.

ἢ πόσους κατέδεξο. τίς ἂν τὰ κάμμορε λέξαι
ἄστυλα, δυστήνων ἄστεα ὀπιζόμενος,
ἄλγεα, καὶ λαβέων ὅσσον ἀκυμόροισιν ἑταίροις,
νηΐτε σὺν πάσῃ, Βρύξας ἀλιῤῥόθιε.

Ἀργενταρίου.

Οὗτος ὁ Καλλαίσχρου κενεὸς τάφος, ὃν βαθὺ χεῦμα
ἔσφηλεν Λιβυκῶν ἐνδρομέοντα πόρων.
συρμὸς ὅτ᾽ ὠρίωνος ἀνεστρώφησε θαλάσσης
βένθος, ὑπὸ στυγερῆς εἴδματα πανδυσίης.
καὶ τὸν μὲν δαίσαντο κυκώμενον εἰν ἁλὶ θῆρες,
κωφὸν δὲ στήλη γράμμα λέλογχε τόδε.

Ξενοκρίτου.

Χαῖταί σου στάζουσιν ἔθ᾽ ἁλμυρὰ δύσμορε κούρη
ναυηγοῦ φθιμένης, εἰν ἁλὶ Λυσιδίκη.
ἦ γὰρ ὀρινομένου πόντου, δείσασα θαλάσσης
ὕβριν, ὑπὲρ κοίλου δούρατος ἐξέπεσες.
καὶ σὸν μὲν φωνεῖ τάφος οὔνομα, καὶ χθόνα Ταρσόν.
ὀστέα δὲ ψυχρῷ κλύζετ᾽ ἐπ᾽ αἰγιαλῷ,
πικρὸν Ἀριστομάχῳ γενέτῃ κακόν, ὅς σε κομίζων
ἐς γάμον, οὔτε κόρην ἤγαγεν, οὔτε νέκυν.

Ζωνᾶ.

Ψυχρὰν σου κεφαλᾶς ἐπαμήσομαι αἰγιαλῖτιν
θῖνα κατὰ κρυεροῦ χευάμενος νέκυος.
οὐ γάρ σου μήτηρ ἐπιτύμβια κωκύουσα,
εἶδεν ἁλιξάντῳ σὸν μόρον εἰνάλιον,
ἀλλά σ᾽ ἐρημαῖοί τε, καὶ ἄξεινοι πλαταμῶνες
δέξονται γαίης, γείτονες ἠϊόνος,
ὥστ᾽ ἔχε μὲν ψαμάθου μόριον βραχύ. πουλὺ δὲ δάκρυ
ξεῖν᾽ ἐπεὶ εἰς ὀλοὴν ἔδραμες ἐμπορίην.

Ἀλκαίου.

Στυγνὸς ἐπ᾽ Ἀρκτούρῳ ναύταις πλόος. ἐκ δὲ βαρείης
λαίλαπος, Ἀσπασίῳ πικρὸν ἔτευξε μόρον,
οὗ στείχεις παρὰ τύμβον ὁδοιπόρε. σῶμα δὲ πόντος
ἔκρυψ᾽, Αἰγαίῳ ῥαινόμενον πελάγει.
ἠϊθέων δακρυτὸς ἅπας μόρος. ἐν δὲ θαλάσσῃ,
πλεῖστα πολυκλαύτου κύδεα ναυτιλίης.

Λεωνίδου.

Ἠχήεσσα θάλασσα, τί τὸν Τιμάρεος οὕτω
πλώοντ᾽ οὐ πολλῇ νηῒ Τελεσαγόρην,
ἄγρια χειμήνασα κατεπρήνωσας πόντῳ
σὺν φόρτῳ, λάβρον κῦμ᾽ ἐπιχευαμένη;
χὠ μέν που καύηξιν, ἢ ἰχθυβόροις λαρίδεσσι
τεθρήνητ᾽ ἄπνους εὐρεῖ ἐν αἰγιαλῷ.
Τιμάρης δὲ κενὸν τέκνου κεκλαυμένον ἀθρῶν
τύμβον, δακρύει παῖδα Τελευταγόρην.

Αθηνο

Ἀθηνοδώρου.

Ἐν πόντῳ Σώδαμος ὁ Κρὴς θάνεν, ᾧ φίλε Νηρεῦ,
δίκτυα, καὶ τὸ σὸν ἦν κεῖνο συνήθεσ ὕδωρ.
ἰχθυβολεὺς ὁ περισσὸς ἐν ἀνδράσιν· ἀλλὰ θάλασσα,
οὔτι διακρίνει χείματος οὐδ' ἁλιεῖς.

Ἀντιπάτρου.

Δᾶμις ὁ νικαιεὺς ἐλαχὺν σκάφος ἔκ ποτε πόντου
ἰονίου ποτὶ γᾶν ναυσολέων Πέλοπος,
φορτίδα μὲν, καὶ πάντα νεὼς ἐπιβήτορα λαὸν
κύματι, καὶ συρμῷ πλαζομένους ἀνέμων,
ἀσκηθεῖς ἔσωσε, καθιεμένης δ' ἐπὶ πέτραις
ἀγκύρης, ψυχρῶν κάτθανεν ἐκ νιφάδων,
ἡμύσας ὁ πρέσβυς. ἰδ' ὡς λιμένα γλυκὺν ἄλλοις
δοὺς ξένε, τὸν λήθης αὐτὸς ἔδυ λιμένα.

Παγκρατίου.

Ὤλεσεν αἰγαίου διὰ κύματος ἄγριος ἀρκτὰς
λὶψ ἐπιγρεάδην ὕασι δυομένας,
αὐτῇ οἱ σὺν νηῒ, καὶ ἀνδράσιν. ᾧ τόδε σῆμα
δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμεν.

Λεωνίδου.

Αἰεὶ λῃϊσταὶ, καὶ ἁλίφθοροι, οὐδὲ δίκαιοι
κρῆτες. τίς κρητῶν οἶδε δικαιοσύνην;
ὡς καὶ ἐμὲ πλώοντα σὺν οὐκ ἐπὶ πίονι φόρτῳ
κρηταιεῖς ὦσαν Τιμόλυτον καθ' ἁλὸς
δείλαιον. κἠγὼ μὲν ἁλιζώοις λαρίδεσσιν
κέκλαυμαι. τύμβῳ δ' οὐχ ὕπο Τιμόλυτος.

Τοῦ αὐτοῦ.

Κἠν γῇ, κἠν πόντῳ κεκρύμμεθα. τοῦτο περισσὸν
ἐκ μοιρέων Θάρσυς Χαρμίδου ἠνύσατο.
ἦ γὰρ ἐπ' ἀγκύρης ἔνοχον βάρος εἰς ἅλα δύων,
ἰονίου θ' ὑγρὸν κῦμα κατερχόμενος,
τὴν μὲν, ἔσωσ', αὐτὸς δὲ μετάτροπος ἐκ βυθοῦ ἔρρων
ἤδη, καὶ ναύταις χεῖρας ὀρεγνύμενος,
ἐβρώθην. τοῖόν μοι ἐπάγριον ἦν μέγα κῆτος
ἦλθεν. ἀπέβρυξεν δ' ἄχρις ἐπ' ὀμφαλίου.
χἤμισυ μὲν ναῦται ψυχρὸν βάρος ἐξ ἁλὸς ἡμῶν
ἤρανθ', ἥμισυ δὲ πρίστις ἀπεκλάσατο.
ἠόνι δ' ἐν ταύτῃ κακὰ λείψανα Θάρσυος ὦνερ
ἔκρυψαν. πάτρην δ' οὐ πάλιν ἱκόμεθα.

Τοῦ αὐτοῦ.

Τετρηχυῖα θάλασσα, τί μ' οὐκ οἰζυρὰ παθόντα,
τηλόσ' ἀπὸ ψιλῆς ἔπλυσας ἠϊόνος;
ὡς σεῦ μηδ' αἴδαο κακὴν ἐπιειμένος ἀχλὺν,
Φιλεὺς Ἀμφιμένευς ἄσσον ἐγειτόνεον.

Ἀσκληπιάδου.

Ὀκτὼ μοῦ πήχεις ἄπεχε τρηχεῖα θάλασσα,
καὶ κύμαινε βόα θ᾽ ἡλίκα σοὶ δύναμις.
ἢν δὲ τὸν Εὐμάρεω καθέλῃς τάφον, ἄλλο μὲν οὐδὲν
κρήγυον. εὑρήσεις δ᾽ ὀστέα, καὶ σποδιήν.

Σιμωνίδου.

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις. ἐν δέ σε πόντῳ
Κλείσθενες, Εὐξείνῳ κὴρ ἔκιχεν θανάτου,
πλαζόμενον, γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμβροτες. οὐδ᾽ ἵκευ Χῖον ἐς ἀμφιρύτην.

Τοῦ αὐτοῦ.

Φῆ ποτε Τίμαρχος πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ᾽ ἀφ᾽ ἱμερτὴν ἔπνεεν ἡλικίην,
ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήσῃ,
οὔτ᾽ ἀρετὴν ποθέων, οὔτε σαοφροσύνην.

Ἀντιπάτρου.

Καὶ νέκυν ἀπρήϋντος ἀνιήσει με θάλασσα
Λῦσιν ἐρημαίῃ κρυπτὸν ὑπὸ σπιλάδι,
στρηνὲς ἀεὶ φωνεῦσα παρ᾽ οὔατι, καὶ παρὰ κωφὸν
σῆμα. τί μ᾽ ὦνθρωποι τῇδε παρῳκίσατε;
ἣ πνοιῆς χήρωσε τὸν οὐκ ἔπι φορτίδι νηῒ
ἔμπορον, ἀλλ᾽ ὀλίγης ναυτίλον εἰρεσίης,
θηκαμένη ναυηγόν. ὁ δ᾽ ἐκ πόντοιο ματεύων
ζωὴν, ἐκ πόντου καὶ μόρον εἱλκυσάμην.

Ἀρχίου.

Οὐδὲ νέκυς ναυηγὸς ἐπὶ χθόνα Θῆρις ἐλασθεὶς
κύμασιν, ἀγρύπνων λήσομαι ἠιόνων.
ἦ γὰρ ἁλιρρήκτοις ποτὶ χοιράσιν ἀγχόθι πόντου
δυσμενέος, ξείνων χερσὶν ἔκυρσα τάφου.
αἰεὶ δὲ βρομέοντα καὶ ἐν νεκύεσσι θαλάσσης
ὁ τλήμων ἀίω δοῦπον ἐπερχόμενον.
μόχθων δ᾽ οὐδ᾽ ἀΐδης με κατεύνασεν, ἡνίκα μοῦνος
οὐδὲ θανὼν λείῃ κέκλιμαι ἡσυχίῃ.

Ἀντιπάτρου.

Ναυηγοῦ τάφος εἰμί. σὺ δὲ πλέε. καὶ γὰρ ὅθ᾽ ἡμεῖς
ὠλλύμεθ᾽, αἱ λοιπαὶ νῆες ἐποντοπόρουν.

Ἰσιδώρου.

Ἐκ γαιωμορίης ἐπ᾽ ὀλίγα πόντιος ἐλπὶς
εἵλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης.
νῶτα δὲ Τυρσηνῆς ἐπάτευν ἁλός. ἀλλ᾽ ἅμα νηῒ
πρηνιχθεὶς, κείνης ὕδασιν ἐγκατέδυν,
ἀθρόον ἐκ βρίσαντος ἀήματος. οὐκ ἄρ᾽ ἀλωὰς
ὡ᾽υτὸς ἀμπνείει ὡς ὀθόνας ἄνεμος.

Θεω-

Θεοφάνους.

οὐ πλοϊάδων Θεότιμε κακὴν δύσιν ὑετίοιο
ἀρκτούρου, κρυερῆς ἥψαο ναυτιλίης.
ἤ σε δ᾽ αἰγαίοιο πολυκλήϊδι θέοντα
νηΐ, σὺν οἷς ἑτάροις ἤγαγεν εἰς ἀΐδην.
αἲ, αἲ, ἀριστοδίκη δὲ, καὶ ἡ πόλις, οἵ σ᾽ ἐτέκοντο,
μύρονται, κενεὸν σῆμα περισχόμενοι.

πατεῖδος. ad patriam properantē. Græci uersibus epitaphia, & sepulchrorum titulos, Latini prosa oratione frequentius conscripserūt. ὥρῃ αἰγόκερω. ἐπὶ τοῦ. brumæ. tempore quo maria clauduntur. ἀμφεκάλυψαν. demerserūt. ἀπὸ ποντοπόρου. naufragi sermo è cuius tumulo soluūt nautæ. κακόξεινον. ἄξεινον. ἀνεπιμικτον. fæuū. inhospitale. ἑὸν τόλμαν. suam ipsius temeritatē. ὅσσ᾽ ἀντίον. qui è regione est. οἱ. nautæ. ἀπ᾽ ἐμοῦ. τοῦ ναυηγοῦ. ἀνευθεν. seorsum à mari. χῶσαι. excitare, egerere. καὶ οὕτως. Iuxta mare sepultus. ᾐδέσθη. erubuit. ἀπέδυσεν. exuit. τόσον ἄγ. ut naufragū spoliaret. τόσον κέρδος. tam modico lucro. ἀφάμενος. aggressus. κεῖνο. φάος. ἴδοι. uiderit. φοίβου. Delphico aut Delio. κενεὸν σῆμα. Cenotaphiū. νάξιος. νάξος insula est, & Aegina. ἄλλως. frustra. ἐρίφων δυομένων. præcipue cū matutino occidunt. Aratus. καὶ δὲ φάτις κλύζεσθαι αἰγὸς αὐτῆς, ἠδ᾽ ἐρίφων, οἵ τ᾽ εἰν ἁλὶ πορφυρεούσῃ πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους. annotatiões. ἡ γὰρ ἐκείνων δύσις τῶν ἐρίφων, χειμῶνα φέρει. Hœdi etiam cum exoriuntur, inquit Ptolemæus, uentorū & maris procellæ ualidę fiūt. Manilius in Astron. tū subeunt hœdi claudentes sydere pontū. Εὔρου. Euri. πανδυσίης ὠρίωνος. Orion penitus occidit 5. Calēd. Nouēbris. cur tū aeris tumultus fit ex Aristot. Meteoro. 2. & ibidē Alexādro Aphrodisæo ac Theophrasto περὶ ἀνέμων disces. καλλαίσχρος. Callæschrus. μέσσα. mediū mare Africū. δινεύμενος. in pelago uersatus. οἴχομαι. perij. δύσπλοος. infelix. difficilis nauigatio. κρῆτα. Cretēsem. μαλέα απιλεκέαν. Malea promontoriū Laconiæ quod nō sine periculo prętermauigatˢ. hinc Parœmia Maleā legēs quę sunt domi obliuiscere. λάμιδος. filiū Damidis. κυδώνιος. Cydonia Cretæ ciuitas est. ἐναλίων. marinorū. κρῆτες ὅπου ψεῦσαι. κρῆτες ἀεὶ ψεῦσαι, κακὰ θηρία, γαστέρες ἀργοί. Hoc Paulus apostolus Epimenidis poetæ abusus uersiculo est, scribēs ad Titū, cuius hemistichiū postea Callimachus usurpauit in his quæ adhuc extāt fragmētis. κρῆτες ἀεὶ ψεῦσαι, καὶ γὰρ τάφον ὦ ἄνα σεῖο κρῆτες ἐτεκτήναντο, σὺ δ᾽ οὐ θάνες, ἐσσὶ γὰρ αἰεί. apud se enim Ioue uitam cōmutasse & sepultū in oppido Gnoso Cretēses asserebāt. hoc nūc respicit Getullius. παῦσαι. ne remos & rostra nauiū sepulchro appingas. Antiqui eius artis instrumenta quā apud uiuos exercuissent, mortuorū tumulis insculpebāt. τὸ ὑπὸ γῆς. uita defunctū. τὸ χῶμα. hic terræ cumulus. οὗτος. heus tu. τὴν ὕννιν. uomerem. πυρῶν. tritici. οὐδέ τρύγης. nec maris nec terræ. μοῖραν. partē. ἐξέβρασαν. eiecta sunt. πηνειοῖο. Penei fluminis. μόνιος. Hesychius in uoce μόνιος. Eo ex loco Hesychium diui Cyrilli testimoniū producentem atq; id genus plerisq; Christianū fuisse existimo, tametsi aliter sentiat Suidas. δρυμῶν. è luco insiliens. ὦ γαίης κύματα πικρότερα. subaudi quam ullum sit mare. ò amnes omni Pelago sęuiores. μανίην. insaniā. rabiē. ὡς ἔκαμε. cū adhuc laboraret & defatigatus esset. μοῖραν. mortē. ἄστρων. leonis, aquilę, coronę, canis & aliorū quorū occasus tēpestuosus est. φεῦ τάλας. in quo singulari sum fato. nā cæteri flatuū uiolentiā accusant. πλόω. tāquam carcere clausus, ἐφρύγη. Nicophemus siti exaruit. ἀνέμων. uentorū non flantiū. ἀμεμνηότες. nō spirātes. ἐκ κύμβης. è cymba. piscatu. μεγάλοισι. μογέοντα λίνοις. Retibus. ἐς κροκάλην ἠϊόνος. maris litus. πρώϊον. mane. χεῖρας ἀπεβρώθησε.

abrosis

abrosis manibus. ἔμμεναι, τῶν. οἱ μόνας. qui solas manus. τετρύφοντα. ualde senem. αἰθύιας πλέονα. nullam uolucrem sæpius inculcant poetæ, nec in hoc ab Homero recedunt. ἀγλωῖνα. euerriculo piscantē. χηραμοδύτην. antra & cauernas subeuntē. urinantem. πολυσκάλμα. Scalmus dicitur circa quē strophis alligantur remi. Vitruuius. Etymologicus in uerbo σύνκαρθμος. σκαλμοὶ τὰ ξύλα ὧν ἐκδέον ται αἱ κῶπαι πρὸς τὴν εἰρεσίαν. Pollux. τὸ δὲ ξύλον ᾧ αἱ κῶπαι ἐκδέοντες, σκαλμὸς, ᾧ ἡ ἐκδέοντες, τροπωτήρ. Hesychius. τροπώσασθαι τὸ τὴν κώπην πρὸς τὸν σκαλμὸν δῆσαι τῷ τροπωτῆρι. Arrianus. τὰς κώπας, ἐπὶ τὸν σκαλμὸν ἤρτησαν, ὡς ὁ ἐλληνικὸς νόμος. Apollonius. ὕψι δ' ἄρ' ἔνθα καὶ ἔνθα μεταστρέψαντες ἐρετμὰ πηχυῖον προὔχοντα περὶ σκαλμοῖσιν ἔδησαν. tot machinis corū opinionē infirmandā duximus qui scalmū labrū nauis esse tradiderunt. Scalmū uero pro cymba posuit Cicero, D. Hieronymus et Erasmus. Sūt uero δρύοχοι, ut recte docet Homeri scholiastes, κυρίως πάσσαλοι ἐφ' ὧν ἡ τρόπις τῶν ναυπηγουμένων πλοίων. Aristophanis glossographus. ἀπὸ τῶν δρυόχων ἡ τρόπις ἵσταται πρώτων. Apollonij. ἐν οἷς καταπήγνυται ἡ τρόπις ξύλοις, ταῦτα δρυόχους καλοῦσι. alios missos facio. ἀρκτοῦρος. oriēs uel occidēs nautis infestus. ἤλασεν, uexauit, afflixit. χοινίκιδι. in tunicea & scirpea. ὁποία. tanquā lucerna. οὐδ' ὁμόλεκτος. nec uxor. θίασος. multitudo. ἱκώ. uenit, αὐτερέτης. ipse remigans. ζωῆς παραμύθιον, qua uitā sustentabat. πυρκαϊῆς. rogi. παρὰ κῦμα. ad mare. μυρία. multum. αἰθυίας θῆκεν ὁμορρόθιον. ὁμοδίαιτον. σύνοικον. ἔχον πότμον. perij. πρυμνήσια. funes laxans quibus à puppe ob impetuosum boreā uelum subduceret & cōtraheret. ἄπαιχον. Charōtis. βιότου παραμύθιον. ante ζωῆς παραμύθιον. ἔδραμεν. cucurrit. ἠπείρῳ. in qua sepultus sum. κῦμ' ἄϊδες. mortuus undis agitor. κρατοῦσα, θάλασσα. ἀελλάδος. turbinis. τὸν κεῖνος. qua condi debent cadauera. Sophocles in Antig. ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν, ἄμοιρον ἀκτέριστον ἀνόσιον νέκυν. Athenienses ideo uita defunctos δημητρείους appellabāt, eandem enim deam tellurem & Cererē habitā, Diodorus lib. 1. & 4. ex Orpheo, Varro ex Ennio, probauit. Euripides in Bacchis. δημήτηρ θεά, γῆ δ' ἐστιν. Lysias. ἀδράστῳ δὲ καὶ πολυνείκους ἐπὶ θήβας στρατευσάντων, καὶ ἡττηθέντων τῇ μάχῃ, οὐκ ἐώντων τῶν καδμείων θάπτειν τοὺς νεκρούς, ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μὲν εἰ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὐτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων, τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι. εἰσόκε τόδε σῆμα. ἰχθύσι καὶ ποταμῷ. hæc superius epigrammata exposuimus. ἀντολαί. arcturi ortus. τετριχθάτι. Homerus. τριχθά τε καὶ τετραχθά. ὁμοῦ φόρτῳ. simul cum onere. κωφὸν ἐπισπάμενοι λίθακα. Xenophon. οὓς δὲ μὴ εὗρον, κενοτάφιον αὐτοῖς ἐποίησαν μέγα καὶ πυρὰν μεγάλην, καὶ στεφάνους ἐπέθεσαν. ἓν γὰρ (inquiunt) ἄταφον σῶμα θέαμα τῷ ἡλίῳ οὐδαμῶς φίλον. Cenotaphium, id est imaginarium sepulchrum extruebant antiqui ne defunctorum animæ aliquot annos ad infernorum fluminum ripas uagarentur. tantū autem ait Seruius ualebat inanis quantum plena sepultura, quæ circa absentium cadauer, eorumq; qui in peregrina regione obijssent corpora, quibusdam solennibus sacris fiebat. illud aperte Aeneidos 6. monstrat Aeneas. Tunc egomet tumulum Rhœteo in littore inanem constitui: & Palinurus honorariū tumulum ab ipso Aenea sibi constitui postulans. Insepultos aūt ab aliarū animarū consortio repelli conquerit Homericus Patroclus Iliad. ψ. Elpenor Odyss. λ. ne θεῶν μήνιμα sit nō inhumatus perhorrescit. Buzyges Atheniēsis heros & Epimenides eos deuouerūt qui insepultū [illegible]rijssent terreq; nō reddidissent, sacros quoq; & execrabiles tales esse habi[illegible] Sophoclis glossematarius cōfirmat. οἱ γὰρ νεκρὸν ὁρῶντες ἄταφον καὶ μὴ ἐπαμῶν[illegible] κόνιν, ἐναγεῖς εἶναι ἐδόκουν. Aelianus. νόμος ἐστὶ οὗτος ἀττικὸς, ὃς ἂν ἀτάφῳ περι[illegible] σώματι ἀνθρώπου, πάντως ἐπιβάλλειν αὐτῷ γῆν, θάπτειν δὲ πρὸς δυσμὰς βλέποντας.

Eurip.

Euripides in Icetidibus. ἐν δὲ θανόντας νοσφίσας ὧν δεῖ λαχεῖν, ἀτάφους τις ἐξῇ; δειλίαν γὰρ εἰσφέρει τοῖς ἀλκίμοισιν οὗτος ἢν τεθῇ νόμος. hinc Demosthenes in oratiõe priore contra Aristogitonẽ ἀποθανόντα ὁ ἀσεβὴς οὗτος καὶ μιαρὸς οὐκ ἔθαψεν. ὡς λόγος. ut ferũt. ναίεσκε. habitat. quiescit. μυκάλης. Mycale insula est in ora Ioniæ Plinio, Mons è regione Sami Eustathio & sexcentis, oppidum Suidæ. Aegæum mare post Oceanum maxime turbulentum subindicat Erycius. unde prouerbium Aegæum nauigat. quod tamen laudasse Aristidem Rhetorem nemo nescit. κυρηναῖος. Cyrenæus. ὑμμε. uos. ἰκαρίας πέτρας. Icari insulæ aut Icarij maris quod est Aegæi pars. θυμόν. uitam. εἰπόν. dic. nuncia. χίον. Chium insulam. λέλειπτ' ὄνομα. solum Euippi nomen relictum est. φίλε. uocandi casu. ὀνήσιμος. utilitæ. παρὰ σφυρόν. Musæus. ἁλιστεφέων σφυρὰ νήσων. αἰγίλιπος. excelsæ. πρόποδες. Quid σφυρὰ quid πρόποδες, consule Hesychium. τορώνην καὶ ἀμφίπολιν. urbes. Stephanus. εἰπεῖν. Infinitiuus pro imperatiuo. Id apud poetas freques. στρυμονίης. è uita sublatum Amphipoli priuauit. aut ἀπὸ uel ἐκ subaudiẽdum: procul ab Amphipoli urbe quam à flumine Strymone uicino στρυμονίην appellat. Quidã στρυμονίη ob septẽtrionales uẽtos infesta (Nam & ἀβδηρίτης ἄνεμος Boreas est) siquidem hœdorum occasu uehemens in mare incumbit uentus. θρακίας περὶ μὲν θρᾴκην στρυμονίας, τνεῖ γὰρ ἀπὸ τοῦ στρυμόνος ποταμοῦ. κατὰ δὲ τὴν μεγαρικὴν, σκίρρων ἀπὸ τῶν σκιρρωνίδων πετρῶν. ἐν δὲ ἰταλίᾳ καὶ σικελίᾳ κίρκιας διὰ τὸ πνεῖν ἀπὸ τοῦ κιρκαίου. ἐν δ' εὐβοίᾳ καὶ λέσβῳ ὀλυμπίας. Aristoteles apud Theophrastũ περὶ τῶν διὰς σημείων. ἀθινός. ò antiqui tumuli & sepulchri colũna. φίντωνα. Phintonem. ἄπτινος. Bathycleis filiũ. ἑρμιονέα. Hermionẽsem. Hermione Achaiæ est ciuitas Proserpinæ sacra. λαίλαπι. Hom. Iliad. δ. ἄγει δέ τε λαίλαπα πολλήν. glossulæ. λαίλαπα συστροφὴν ἀνέμων περὶ φορὰν μετὰ ὄμβρου. ἐπάκτιος. in litorib. piscatiõi uacãs. κίχλης. turdi. piscis inter saxatiles nobilis. guttis purpureis et albis in uentre distincti. unde à colore turdi auis dictũ putãt. ἁλιεὺς πάγος. ὁ δίλεσρ ἁρπαζόσης. πέτρας νέμετο. Quidam enim pisces in arenosis pascunt, alios limus educat, in petris nõnulli stabulantur, genera alia specubus gaudẽt, alia alto mari. σήραγγας. antra. ἄγρης ἐκ πρώτης. an ex prima captura, an ex omniũ præstãtissimo genere. ἰουλίδα πεῖρέν ποτ' ἄν. piscis hic inter saxatiles à Galeno & Oppiano annumeratur. ἔφθιθε. interijt. πεπονὸν ἐχνόν. φάρυγα. Parmidis guttur. πηδαλομεθίη. insiliens. μηρίνθων. funiũ. Retiũ. πνοιὴν ἧκε. animũ efflauit. νήματα. Parcarũ fila. ἀπημοίρεια. fatalia. ἕβρον. Hebri amnis. κρυμοῖσι πεδηθείς. glacie cõstrictus. ἔθραυσε πάγον. glaciem fregit, quæ pueri collũ amputauit. ποταμοῦ βιστονίοιο. Hebri. περιρραγές. circũcisum. δίναις. aquarũ uorticibus. μέρος. corpus. λειφθὲν. τὸ καταλειπόμενον. μοῦνον. μόνον. ἔθου. posuisti. κεκμηός. multo uolatu fessum. νέφος γεράνων. Simile quid de coturnicibus à Platina & Solino cap. 17. relatum. ἐπέπταθ. deuolauit. ἀνηρίθμων. infinita multitudine. τρίτων. maris. Tzetzes. τρίτων κυρίως υἱὸς ποσειδῶνος καὶ ἀμφιτρίτης, τὰ μὲν ἄνω μέχρι καὶ ὀμφαλοῦ ἄνθρωπος, τὰ δὲ ἐξ ὀμφαλοῦ μέχρι καὶ οὐραίου δελφίς. ἄνθυς. Antheus. οὐ φύγεν αἰνόλυκον. αἰνὸν λύκον. truculẽtum & immanem lupum. Lascharis. αἰνόλυκος σαρκῶν τε καὶ αἵματος ἀνδρομέοιο ἱμείρων. sic αἰνόπαιειν. Euripides. αἰνόπαιειν καθάρα διδοῦσι. Nicander & alij αἰνελώλην dixerunt. Aeschylus. ὦ πάτερ αἰνόπατερ. Christodorus. καὶ πέσεν αἰνοτύραννος ὑπὸ φθιμένης τε ῥώμης. φθιώτην. prope Phthiam oppidum à Lupo necatus est, iuxta Penei fluminis ostia. Homeri scholiastes. φθιαν οἱ νεώτεροι φαρσαλίαν καλοῦσι. νηρείδων. maris. νύμφας. fluuios. ipsum Peneũ. κεῖνοι. uenti. κύμασι. quæ ex se quieta sunt nisi à uentis cõcitentur. ἐξεκύλισε. deuoluit. σήματι. tumulo. μαλειάων ἄκρα. Maleam Promontoriũ. μεθέποις. assequaris. ἀλλὸ τύχῃ. si in alto, casu pereas. χωστῶν. sepultu-

sepulturæ. ut terra tibi iniiciatur, postulo. πνείοντων. flantes. φοιταλέος. an insanæ. an huc illuc lucri causa excurrentes. ἄμμοι. mihi contingat. ἐκ δὲ θαλάσσης. βίος. μελέτω curæ sit. ἀελλομάχον. cum procellis certans. δέκτο. suscepit. πλουτέος. Plutonis. οὐρανὸν εἰσανέβης. probus & integer à Minoe iudicatus. βυθῷ. in mari. κλήροις. quas sortiti sunt sedibus. κόσμον ἄγεις. cœlos ornares. ὑπατίου. uiri consularis Cenotaphium. τόσσον. tam magni. τόσσος ἐών. humile. modicum. τῷ πόντῳ. in quo periit. εἶπον. dixi. αὔριον κοπάσει. cras cessabit, quiescet. κατ' ἐμοῦ. qui nimirum ad patriam portumq; appulero. οὔπω χεῖλος. uix uerbum hoc protuleram. ἔμυσε. Hesychius ἔμυκεν. ἐψόφησεν. ἔχανεν. ἴσος κίδι. nigrum & obscurum mare. κεῖνο τὸ κοῦφον ἔπος. ἡ μακρὴ κατ' ἐμοῦ. λάθαι. latent. νέμεσιν. quæ sermonem nostrum ulta est, quo imperium in mare exercere ei uisus sum, ac de uentis nimium mihi polliceri. πεφύλαξο. caue. Id enim tutum esse nõ existimat, quin potius eo nemesim irritari. φοιβήϊον ὅρμον. Milesii Apollinem præcipue uenerabant. Tacitus lib. 4. Ephesii Milesiiq;, hi in Apollinis, illi Dianę ceremonia occupauisse ciuitates uisi. Homerus in hymno Apoll. καὶ Μίλητον ἔχεις. Aristides. πρῶτον μὲν εἰς Δῆλον, ἔπειτα εἰς Μίλητον ἀπεσώθημεν, ἀμφοτέρας ἱερὰς Ἀπόλλωνος. Milesium deum Apollinem nominat Apuleius. Age nunc si ab initio rerum & Milesii oues tonderent. hæc Tertulliani uerba in libro de habitu muliebri ita enarrat Aristophanis interpres. ἐν γὰρ Μιλήτῳ καλὴ ἡ τῶν στρωμάτων ἐργασία, καὶ τὰ Μιλήσια στρώματα ποικίλα καὶ ἁπαλὰ γίνεται καὶ διάφορα. εἰς τρυφὴν δὲ οἱ Μιλήσιοι διαβάλλονται καὶ εἰς τὸ στολῆς πολυτελές. ἐσθῆτός τ' ἐνταῦθα κατευκόλαζον τὰ ποικίλα καὶ τάπητες. ὡς ἐπὶ θεόκριτος. πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω, ἁ Μίλατος ἐρεῖ. Virgilius in Georg. Milesia uellera nymphæ carpebant. Horatius. alter Mileti textam cane peius & igni (aut angui Priscianus) uitabit chlamydem. consule Palæphatum in Hesperidibus. οἱ. Diogeni. ἀνάφου. oppidi uel insulæ in Aegæo. πᾶσα θάλασσα. nullus in mari locus, ne tutissimus quidem, periculo uacat. τί κυκλάδας. Cyclades insulæ sunt licet spatiis longioribus à Delo proiectæ in orbem tamen circa eam sitæ, unde & nomen traxerũt. Dionysius Afer. Δῆλον ἐκυκλώσαντο, καὶ οὔνομα κυκλάδες εἰσί. Callimachus. σὲ μὲν περί τ' ἀμφί τε νῆσοι κύκλον ἐποιήσαντο. præternauigantibus ob uentosissimam regionem quæ est inter eas (ut refert Liuius) uel scopulos & breuia à quibus ambiuntur, periculosæ, propterea à nõnullis Cyclades cognominatæ quatuor & quinquaginta eas esse asseuerãtibus. Capella à circulata ordinatione sic nuncupat. ἢ στεινὸν ἕλλης. Hellespontum qui Europam Asiæ abrumpit. κῦμα. τρικυμίας. δεκακυμίας. decimos & decimanos fluctus, Lucanus. sic fatũ decimus (dictu mirabile) fluctus. Valer. Flaccus. decimæ cecidit tumor arduus undæ. qui omnes, inquit Ouidius, supereminet posterior nono est undecimoq; prior. ἐπὶ ὀξείας. πνοὰς subaudio, id est αἰγίδας. Hesychius. αἰγὶς ὀξεῖα πνοή. uel ἄκρας. ὀξείας ἄκρας. Pollux lib. α, in cap. οἷς περιπίπτει ἡ ναῦς. ἄκραι χοιμόριοι, κατώμοι, ὀξεῖαι, aut naues. sunt enim Gellio Oxiæ naues, & Appiano in Illyrico ὀξεῖα δίκροτα. Scio Oxias insulas esse, Homero θοὰς per metalepsim. ἠλεά. stulte & citra argumentum. Homerus Iliad. α. αἰνὲ τεκοῦσα ἀντὶ τοῦ αἰνῶς, & καλὰ alibi pro καλῶς nomen est aduerbii loco. ἄλλως τοὔνομα ἔχουσιν. Hæc temere terrorum & periculorum uocabula sortita sunt, quasi in his tantũ non etiam in ipsis portubus quibus asyli & perfugii nomen, pereant naues. κεῖνα. illa pericula. σκαρφαιεὺς λιμὴν. uide Stephanum & Plinium. Scarphen & Scarpheam Ptolemæo, idẽ esse oppidum collegit Eustathius Iliad. β. ἀρῷτό τις. precetur. πόντος. periculorũ plena. ἐπιβάλλει ἐχέτλην. ara. ἐχέτλη stiua est. ἁδύ. placet. in animo est. ὡς cum ἰδεῖν

agglu-

agglutina. εἰσιδεῖν. γελόωσα. Ridens. quieta. φρίκα. λευκοκύμαν. ναοβατεῖν ὄψεαι. nauem non conscendam. ἐκ τύμβου. nautæ in portubus lapides perforare ad eosq; funes religare solent. ἐναυπόρει. nauigabat. ἀρότρου. uitæ rusticæ. μεμφῖς. urbs. βῶλον. humilem tumulum. γεωπόνε. arator. ἀμφίταμνε. uomere proscinde. κέκλαυται. sub hac tegitur fletũ cadauer. κομάτος. comam, granum habens. οὐ κόνις. non terrestre sepulchrum. ἀλλ' ὀρασίππου τάφος, αὕτη πᾶσα θάλασσα, ἣν ὁρᾷς. τύθεται. Hom. Odyss. α. ἀνδρὸς οὗ δή που λεύκ' ὀστέα πύθεται ὄμβρῳ. φθέγγεται. id ut dicant. μεμορημένε πόντῳ. fato in mari perempte. Leonidas. ἀλλ' αὐτὸς κεῖσαι μεμορημένε. κεῖσαι. iaces. τύρου. Tyri urbis. μοχθίζας. in accumulandis opibus. ἐρρύσατο. à morte eripuit. ἰχθύσι. non tibi, sed piscibus. παρ' ὥρην. intempestiuo tempore, hyeme scilicet. κλειΐδος πόντου. non Hellespõti angustiæ quas Euripides in Medea πόντου κλεῖδα uocat, παρὰ τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου πόντου, Diodorus & Theocritus στόμα πόντου, Latini poetæ fauces & claustra: sed Clides insulæ quædam. Herodotus in Terpsicho. καὶ οἱ πέρσαι νηυσὶ διαβάντες ἐκ τῆς κιλικίης, ἤισαν ἐπὶ τὴν σαλαμῖνα πεζῇ. τῇσι δὲ νηυσὶ οἱ φοίνικες περιέπλωον τὴν ἄκρην, αἳ καλεῦνται κληῗδες τῆς κύπρου. Strabo. εἰσὶ δὲ αἱ μὲν κλεῖδες νησία δύο προκείμενα τῆς κύπρου κατὰ τὰ ἑωθινὰ μέρη τῆς νήσου τὰ διέχοντα τοῦ πυράμου σταδίους ἑπτακοσίους. Dicuntur etiam κλεῖδες ὀχυρότητες καὶ τόποι φυλακτικοὶ quibusdam, id ex Philippi Demetrij filij sermone assumentibus, Corinthũ Chalcidem & Magnesiam aut Demetriadem Græciæ claues uocitantis, ut Pausaniæ in Achaicis testatum est. πέδας (compedes) non κλεῖδας ipsum eas nominasse retulit in Flaminio Plutarchus & Strabo libro 9. quiq; cum Liuio Demetriadem non Magnesiam nominant. σαλαμῖνος. Salaminis urbis Cypri. idem Strabo. πρόκεινται δὲ πλησίον αἱ κλεῖδες. καὶ ἄλλαι δὲ πλείους, εἶθ' αἱ καρπασίαι νῆσοι καὶ μετὰ ταύτας ἡ σαλαμίς. Plinius. in eodem situ Eleusa insula est, & quatuor (non 2.) ante Promontorium ex aduerso Syriæ Clides. contra Salamina, Salaminæ. λίψ. Africus. στηλογραφουμένη. πέτρα. lapis Cenotaphij. τυπωθεῖ. incisum. impressum. μὴ πύθευ. ne scisciteris. πόντου. in quo obij. ἰονίου. πόντου. πολυηχοίεντι. ἠχέω. πορθμέ. fretum. quo ad inferos traijcimus. τεά. tua. λέξαι. dicat. κατέδεξο. susceperis obrueris. αἰγειδῶν. Aegei & Labeonis quos cum socijs & comitatu absorpsisti. ὅσον ὀλευμόροισιν ἑταίροις. iam iam & illico perituris. ὅσον οὐδέπω. ὅσον αὐτίκα. βρύξας. mersisti. ἁλιρρόθιν. marino fluctu. ἔσφηλεν. offendit. in errorem impulit. λιβυκῶν πόρων. Syrtium breuium. παννύσιος. nam cum Orion penitus occidit uehemẽter hyemat. δαίσαντο. uorarunt. χαῖται. capilli. ἅλμυρα. salsuginem. ἀποφθιμένης. ἐκπεσών. κοίλου δούρατος. è naue excidisti. πατρίδα. ciuitatem. φωνεῖ. loquitur. ἐπαμήσομαι. accumulabo. congeram. χευάμενος. spargens, inijciens. ἐπιτύμβια κωκύουσα. δάκρυα. non eiulans cadauer sepulchro imposuit mater. uel nõ super tumulum tuum plorauit. id infra ostendemus. ἐνάλιον. μόρον. mortem quam in mari oppetijsti. πλατταμῶνος. πλατταμὼν. τόπος πλατὺς καὶ μέγας ἐπιθαλάττιος. ἔχε μὲν. ἔχειν. δάκρυον. meas lachrymas. ἀσπασίῳ. Aspasio. ἠιθέων. iuuenum. ἅπας μόρος. quocunq; modo eueniat. ἠχήεσσα θάλασσα. resonans. fremens. τιμάρχιος. Timarci filium. οὐ πολλῇ νηί. non magna naue. κατεπρηνώσαο. præcipitasti. σὺν φόρτῳ. cum onere & mercibus. κάνυξιν. κάνυξ larus est, marina auis Hipponacti καύης. Hesychius in uoce κήξ. κήξ ὁ λάρος κατὰ ἀπίωνα. λέγεται δὲ καὶ κάνυξ. Antimachus. αὐτίκα τις κάνυξ δαίμων ἐν ἁλμυρῷ πέλαγος. ea uoce utitur aliquoties Lycophron. uide interpretem. καύηξ, ὁ λάρος Etymologico. λαρίδεσι. Marinæ aues sunt Lari albi præcipue, & larides. τεθρήνηται. defletus est. κενὸν τύμβον. honorarium sepulchrum. ὁ κρὴς θάνεν. Hoc uidetur dixisse prouerbium intuens, Creten-

ſis mare. ὦ Φίλε νηρεῦ. Nereus marinus deus eſt Oceani et Tethyos filius. δίκτυα
piſcationis ſtudiū, & tua illi familiaris aqua, illū occiderunt. ὁ πρίστος. optimus.
διωκέλκει χείματος. longe arcet ac repellit, ut in tempeſtatem non incurrant. ὁ νι-
καεῦς. ſunt complures Nicææ Stephano. ἐλαχύ. μικρόν. paruum. ποτὶ. πρὸς. γαῦ
πέλοπος. Peloponneſum. Theocritus. μήλοις γαῦ πέλοπος. gloſſemata. τῶν πε-
λοποννήσων. Dionyſius. πέλοπος δ' ἐπὶ νήσος ὀπηδεῖ. νεὼς. nauis. ἐπιβήτορα λαόν.
uectores. Sunt autem Epibatæ claſsiarij milites. uocabulum pro his qui naui-
gio tantum uehuntur, & pro ſocijs naualibus quos etiam τὸ ἐπιβατικὸν appel-
lant, uſurpatur. Porphyrius in quæſtionibus Homericis ἐπιβάτας ab Atticis τοὺς
μαχητὰς propugnatores, καὶ τοὺς ἐπικώπους remiges dici refert. ἀσκηθὴς. illeſus.
ἠμύσας. ἠμύω. flecto. inclino. cado. λιμένα. ſalutem, portum, uitam. λήθης. Lethes
fluminis. δύς. δίδωμι. κύματος. maris. ἔγχριτος ἀῆθεις. impetuoſiſsime flans. ὑπη-
ρίδην. Epereidem. ὕασι δυομένας. Pridie Calend. Nouēbris totæ ſuculæ occi-
dunt Columellæ, Ptolemæo 11. Calend. Decēbris matutino celantur. ᾧ. cui. ἐτεκ-
μεν. fabricandum curauit. ἁλιφθόροι. piratæ. οὐδὲ δίκαιοι κρῆτες. Cretenſium falla-
citas perfidia & auaritia in prouerbia abierunt: uentres pigros & nequā beſtias
appellatos ante oſtendimus, quo quid addi poteſt? οὐκ ἐπὶ πιονι. non magnæ æſti
mationis. ὤσαν. deiecerunt. οὐχ ὑπό. Cenotaphium tantum eſt. κεκρύμμεθα. tecti
ſumus. τὸ παράδοξον. nouum atq; incredibile. ἐκ μοίρης. fato quodam. ἐψύχευε. im
pleuit. φόρτου βαρύς. quod anchoram tenebat ne eam uellerent nautæ. Θαρσων.
Tharſys. τὴν μὲν. anchoram. μετάτροπος. παλίντροπος ὀπισθόρμητος. ἐκ βυθοῦ. è
mari. ἐρρων. Heſychius. ἐρρων. μετὰ φθορᾶς παραγινόμενος, ἢ μόλις παραγινόμενος.
ἐβρώθην. uoratus ſum. ἐς μέγα ἄλθην. ἐπεστάλθην. βαρὺς ἡμᾶς ἤραν δ' ſuſtulerunt.
κήτεσι. Cetus. Balena. ἀπεκλάσατο. fregerat. ὦνερ. ὁ uiator. ἔκρυψαν. nautæ. ἱκό-
μεθα. non in patriam uecta ſumus. τετρηχυῖα. turbata. exaſperata. οὐκ ἐπέσυρας.
non expuiſti. ὀϊζυρὰ παθόντα. miſera & acerba paſſum. ὡς σεῦ. ut tibi ne poſt
obitum quidem uicinus eſſem. ὑπταμένος. ἐμπυρισμένος. φυδεδυμένος. ἄποθεν. prope
ἄπεχε. diſta remota ſis à tumulo. βόα. clama. reboa. quantum potes. εὐμάρεω. Eu
marei naufragi. κὴρ θανάτου. ſors mortis. mors. ἔκιχεν. deprehendit. ἀμβροτε. ἤ-
μαρτε. ἀπέτυχε. ἰκεν. ἰκον. ἀμφιρύτην. παντα χέουν περιρρεομένην τῷ ὕδατι. φῆ πο-
τε. dicebat aliquando. τίμαρχος. Timarchus puer. ἔχοιτο. eum. τιμήσει δ' ὁ pa-
ter. παιδὸς φίλου. meam. ἀπρήνωτος. implacabilis. ἀνιήσει. cruciabit. moleſtiam
inferet. λῦσιν. me Lyſim iuxta mare funeratum. σχολιὸς. ἰχνεύω. βαχέως. φωνοῦσα.
βρέμουσα. παρ' οὔατι. ad aurem. παρῳκίσατε. ut hic habitarem feciſtis, hic me còl-
locaſtis. ἢ πνοιῆς. quæ ſpiritu & uita me priuauit. φορτίδι. onerariæ, quæ multos
modios aut amphoras tollit. ζωήν. uictum. οὐδὲ νέκυς. ne defunctus quidem. ἐλα-
θείς. in litus fluctu expulſus. λήσομαι. obliuiſcar. ἁλιρρήκτοις. ruptis à mari & eli-
ſis. ἔκυρσα τάφου. ſepulchrum ſum adeptus. καὶ ἐν νεκύεσσι. apud manes. ὁ τλήμων.
ego. ἀΐω. audio. οὐδ' ἀΐδης. mors. Pluto. θαλάσσου. caſtiga θανών. ἐκ γαιωμορίης. ab a-
gricultura. πόντου ἐλπίς. ſpes lucri in mari faciendi. ἁλὸς νῶτα. Homerus, νῶτα
θαλάσσης. εἵλκυσεν. induxit protraxit. τυρσηνῆς. Thyrreni maris. πρηνιχθείς. in ca
put deturbatus demerſus ſum. ἀθρόον. uento repente & cum impetu flante, aut
ἀθρόον denſe & confertim. ἐλωὰς. in arcam. ὥντος ἐπιπνεῖα. non idem ſed cum
periculo in uelum flat. οὐ προϊδών. non præuiſo occaſu. ὑετίοιο. pluuij. ἥψαο. at-
tigiſti. νηὶ πολυκληῗδι. naue multa tranſtra habente. ſunt Homero κληῗδες, αἳ τῶν
ἐρεσσόντων καθέδραι. οἷς ἑτάροις. cum ſocijs ſuis. περιεχόμενοι. Heſychius. περιεχέσθαι.
ἀγαπῆσαι. περιεχόμεθα περιττῶς ἐχόμεθα. ἀντιλαμβανόμεθα.

## ΕΙΣ ΝΕΟΥΣ, ΚΑΙ ΝΕΑΣ.

Καλλιμάχου.

Δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

Ἀδεσπότου.

Ἄδικος μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην,
κρύψε δὲ παππῴῳ μνήματι τῷδε λίθος.
οὔνομα Ῥουφῖνος γενόμην, παῖς Αἰθερίοιο,
μητρὸς δ' ἐξ ἀγαθῆς. ἀλλὰ μάτην γενόμην.
ὢν γὰρ ἄκρον μούσης τε, καὶ ἥβης ἄνθος ἐλάσσας,
φεῦ, σοφὸς εἰς ἀΐδην, καὶ νέος εἰς ἔρεβος.
κώκυε καὶ σὺ βλέπων τάδε γράμματα μακρὸν ὁδῖτα,
δὴ γὰρ ἔφυς ζώων, ἢ παῖς ἢ πατήρ.

Παύλου σιλεντιαρίου.

Πολλά σοι ἐκ βλεφάρων ἔχυθε πολυτύμβια φωτῶν
δάκρυα, δυσλήτῳ πένθει δαπτομένων.
πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
αἲ, αἲ, λευγαλέη, καὶ ἀμείλιχος ἔπλετο μοῖρα,
μὴ δὲ τῆς ἥβης δύσμορε φεισαμένη.

Ἀγαθίου.

Θεσμοὶ μὲν μεμέληντο συνήθεες Ἀγαθονίκῳ.
μοῖρα δὲ λαιμαίνειν οὐ δεδάηκε νόμους.
ἀλλά μιν ἁρπάξασα, σοφῶν ἤμερσε θεμίστων,
οὔπω τῆς νομίμης ἔμπλεον ἡλικίης.
οἰκτρὰ δ' ὑπὲρ τύμβοιο κατεσμύξαντο ἑταῖροι
κείμενον, οὐ θιάσου κόσμον ὀδυρόμενοι.
ἡ δὲ κόμην τίλλουσα, γόῳ πλεκτίζετο μήτηρ,
αἲ, αἲ, τὸν λαγόνων μόχθον ὠδισαμένη.
ἔμπης ὄλβιος οὗτος, ὃς ἐν νεότητι μαρανθεὶς,
ἔκφυγε τὴν βιότου θᾶσσον ἀλιτροσύνην.

Παύλου σιλεντιαρίου.

Ὤριος ἦγέ σε παστὰς, ἀώριος εἷλέ σε τύμβος,
εὐθαλέων χαρίτων ἄνθος ἀναστασίη.
σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.
οὐ γὰρ ὅλον λυκάβαντα διανύσας ἄγχι συνεύνου,
ἀλλ' ἑκκαιδεκέτιν φεῦ κατέχευε τάφος.

Ἐρατοσθένους εἰς τὸ αὐτό.

Φεῦ, φεῦ, ἀμεμφέα τὴν χαρίτων ἔαρ ἡδὺ μαραίνει
ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
καὶ σὲ μὲν ἥρπασε τύμβος, ἀπ' ἠελιώτιδος αἴγλης
τὸ ἕμπεδον ἐφ' ἑνδεκάτῳ πικρὸν ἄγουσαν ἔτος.
σὸν δὲ πόσιν, γενέτην τε, κακαῖς ἀλάωσεν ἀνίαις,
οἷς πλέον ἠελίου λάμπες ἀναστασίη.

Ἀγαθίου σχολαστικοῦ.

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον. ἀλλά σε κηρῷ
δ' ὀδύρομαι. οὐδ' ἔτι σεῖο κεῖνο τὸ λαρὸν ἔπος
ἕζεται ἐν στομάτεσσι. τεὴ δ' εὐάνθεμος ἥβη,
αἲ, αἲ, μαψιδίη νῦν χθονός ἐστι κόνις.
πέμπτου καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ,
τετράκις ἓξ μούνους ἔδρακες ἠελίους.
οὐδέ σου πάππου θρόνος ἤρκεσεν. οὐ γενετῆρος
ὄλβος. πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος
τὴν ἄδικον μοίραν κατεμέμφεται, οὕνεκα τοίην
ἃ μέγα νηλειὴς ἔσβεσεν ἀγλαΐην.

Ιουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ἄγριος ἔσσι χάρων; πλέον ἤπιος. ἥρπασας ἤδη
τὸν νέον, ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
τὸν πολλῆς ἀπέπαυσας; ἀπεσφήλιξε δὲ μόχθων.
οὐκ ἐνόησε γάμους; οὐδὲ γάμων ὀδύνας.

Παύλου σιλεντιαρίου, ἐπὶ τῇ
ἰδίᾳ θυγατρί.

Λέκτρα σοι ἀντὶ γάμων ἐπιτύμβια, πότνια κούρη
ἐστόρεσαν παλάμαις πενθαλέαις γενέται.
καὶ σὺ μὲν ἀμπλακίας βιότου, καὶ μόχθον ἐλευθοῦς
ἔκφυγες. οἱ δὲ, γόων πικρὸν ἔχουσι νέφος.
δωδεκέτιν γὰρ ἄρουρα μακηδονική σε καλύπτει,
κάλλεσιν ὁπλοτέρην, ἤθεσι γηραλέην.

Εὐτολμίου.

Παρθενικὴν ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα,
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

Διογένους ἐπισκόπου ἀμισοῦ.

Σοὶ τόδε Διογένης θαλερῆς μνημήϊον ἥβης
πόντῳ ἐν εὐξείνῳ θήκατο φρὺξ γενέτης.
φεῦ, πάτρης ἑκὰς ὅσσον. ἄγει δέ σε νόσφι θεοῖο
πατρὸς ἀδελφειοῦ πένθος ὀφειλόμενον.
ὅς σε πολυσέλας ἱδρῷ παλάμῃ τε, καὶ εὐχῇ,
γείτονα ἐν μακάρων θῆκε χοροστασίης.

Κριναγόρου.

Ἠρνήσαντο καὶ ἄλλαι ἑὸν πάρος οὔνομα νῆσοι
ἀκλεὲς. ἐς δ' ἀνδρῶν ἦλθον ὁμωνυμίην.
κληθείητε καὶ ἄμμες ἐρωτίδες. οὐ νέμεσίς τοι
ἕξει δὴ ταύτην κλῆσιν ἀμειψαμέναις.
παιδὶ γὰρ, ὃν τύμβῳ δίης ὑπεθήκατε βώλου,
οὔνομα, καὶ μορφὴν αὐτὸς ἔδωκεν ἔρως.
ὦ χθὼν σηματόεσσα, καὶ ἡ παρὰ θινὶ θάλασσα,
παιδὶ σὺ μὲν, κούφη κεῖσο, σὺ δ' ἡσυχίη.

Σα-

Σαμίου.

Ὕστατα δὴ τάδ᾽ ἔειπε φίλαν ποτὶ ματέρα Πυργὼ
δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένα.
αὖθι μένοις παρὰ πατρί. τέκοις δ᾽ ἐπὶ λῴονι μοίρᾳ
ἄλλαν, σῷ πολιῷ γήραϊ καδομέναν.

Λεωνίδου.

Ἡ παῖς ᾤχετ᾽ ἄωρος ἐν ἑβδόμῳ ἤδ᾽ ἐνιαυτῷ
εἰς ἀΐδην πολλῆς ἡλικίης προτέρη,
δειλαίη, ποθέουσα τὸν εἰκοσάμηνον ἀδελφὸν
νήπιον, ἀστόργου γευσάμενον θανάτου.

Τοῦ αὐτοῦ.

Αἶ, αἶ, λυγρὰ παθοῦσα Περιστερί, ὡς ἐν ἑτοίμῳ
ἀνθρώποις δαίμων θῆκε τὰ δεινότατα.

Σιμωνίδου.

Αἶ, αἶ, νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων, ἐρατῇ πὰρ νεότητι μένειν;
ἣ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠΐθεον, πρὶν ἰδεῖν κουριδίαν ἄλοχον.

Καλλιμάχου.

Ἠῷοι Μελάνιππον ἐθάπτομεν. ἠελίου δὲ
δυομένου, Βασιλὼ κάτθανε παρθενική,
αὐτοχερί. ζώειν γὰρ ἀδελφὸν ἐν πυρὶ θεῖσα,
οὐκ ἔτλη. δίδυμον δ᾽ οἶκος ἐσεῖδε κακόν,
πατρὸς Ἀριστίπποιο. κατήφησε δὲ Κυρήνη
πᾶσα, τὸν εὔτεκνον χῆρον ἰδοῦσα δόμον.

Ειάνορος.

Θεισόνης ἔκλαιον ἐμῆς γάμον. ἀλλ᾽ ἐπὶ παιδὸς
ἐλπίσι, κουφοτέρας ἔσχον εἰς ὀδύνας.
νῦν δέ με καὶ παιδὸς φθονερή τις ἀπέσφισε μοῖρα.
φεῦ, βρέφος ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
Φερσεφόνη, τόδε πατρὸς ἐπὶ θρηνοῖσιν, ἄκουσον.
θὲς βρέφος ἐς κόλπους μητρὸς ἀποιχομένης.

Παρμενίωνος.

Παρθενικῆς τάφος εἰμὶ Ἐλγίνης. τῇδε δ᾽ ἐπ᾽ ἀδελφοῦ
προφθιμένου, διπλόα μητρὸς ἔχω δάκρυα.
μνηστῆρσι δ᾽ ἔλιπον κοινὰ ἄλγεα. τὴν γὰρ ἔτ᾽ οὔπω
οὐδενός, ἡ πάντων ἐλπὶς ἔκλαυσεν ἴσως.

Ἀντιπάτρου Θεσσαλονικέως.

Αὐσονίη με λίβυσσαν ἔχει κόνις. ἄγχι δὲ Ῥώμης
κεῖμαι, παρθενικὴ τῇδε παρὰ ψαμάθῳ.
ἡ δέ με θρεψαμένη Πομπηΐη, ἀντὶ θυγατρὸς
κλαυσαμένη, τύμβῳ θῆκεν ἐλευθερίῳ,
πῦρ ἕτερον σπεύδουσα. τὸ δ᾽ ἔφθασεν. οὐδὲ κατ᾽ εὐχὴν
ἡμετέρην ἧψεν λαμπάδα Φερσεφόνη.

Ἀδήλου.

Αἰαῖ, τοῦτο κάκιστον, ὅταν κλαίωσι θανόντα
νυμφίον, ἢ νύμφην. ἡνίκα δ' ἀμφοτέρους.
Εὔπολιν, ὡς ἀγαθήν τε γλυκέριον, ὧν ὑμέναιον
ἔσβεσεν ἐν πρώτῃ νυκτὶ πεσὼν θάλαμος,
οὐ καλῶς τόδε κῆδος ἰσόρροπον. ὡς ὁ μὲν, υἱὸν
Νικία. σὺ δ' ἔκλαυσας Εὔδικε θυγατέρα.

Θεοδωρίδου.

Θεύδοτε, κηδεμόνες μέγα δάκρυον εἰς σὲ θανόντα
κώκυσαν, μέλεον πυρσὸν ἀναψάμενοι,
δηώολινε, τεισάωρε. σὺ δ' ἀντὶ γάμου τε, καὶ ἥβης,
κάλλιπες ἡδίστῃ μητρὶ γόους, καὶ ἄχη.

Παύλου σιλεντιαρίου.

Εἰ γὰρ ἐπὶ ξείνοις σε Λεόντιε γαῖα καλύπτει,
εἰ καὶ ἀφ' ἱλαόντων τῆλ' ἔθανες γονέων,
πολλά σοι ἐκ βλεφάρων ἐχύθη ποτὶ τύμβια φωτῶν
δάκρυα, δυσλήτῳ πένθεϊ δαπτομένων.
πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷα τε πάντων
ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
αἰαῖ, λευγαλέη καὶ ἀμείλιχος ἔπλετο μοῖρα,
μηδὲ τεῆς ἥβης δύσμορε φειδομένη.

Ἀδήλου.

Ἑπτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων.
ἣν μούνην Διδύμῳ πατρὶ θάλεια τέκον.
ὦ μοῖραι, τί τοσοῦτον ἀπηνέες, οὐδ' ἐπὶ κασοὺς
ἠγάγετ' οὐδ' ὁρατὲ ἔργα τεκνοσπορίης,
οἱ μὲν γὰρ τοκέες με, γαμήλιον εἰς ὑμέναιον
μέλλον ἄγειν. στυγεροῦ δ' εἰς Ἀχέροντος ἔβην.
ἀλλὰ θεοί, λίτομαι, μητρός τε γόους, πατρός τε,
παύσατε, τηκομένων εἵνεκ' ἐμοῦ φθιμένης.

Διοδώρου.

Ἡμιτελῆ θάλαμόν τε, καὶ ἐγγύθι νυμφικὰ λέκτρα
κοῦρε λιπὼν, ὀλοὴν οἶμον ἔβης ἀΐδου.
Θώνιον ἀστακίην δὲ μέγ' ἤκαχες, ἥ σε μάλιστα
οἰκτρὰ τὸν ἡβητὴν κώκυεν ἠΐθεον.
ἱππάρχου κλαίουσα κακὸν μόρον, εἴκοσι ποίας
μοῦνον ἐπεὶ βιότου πλήσαο, καὶ πίσυρας.

Ἀνύτης.

Παρθένον ἀντιβίαν κατοδύρομαι. ἇς ἐπὶ πολλοὶ
νυμφίοι ἱέμενοι, πατρὸς ἵκοντο δόμον,
κάλλευς, καὶ πινυτᾶτος ἀγακλέος. ἀλλ' ἐπὶ πάντων
ἐλπίδας οὐλομένη μοῖρ' ἐκύλισε πρόσω.

Μνασάλκου.

Αἰαῖ, παρθενίας ὀλοόφρονος, ἃς ἀπὸ φαιδρὰν
ἔκλασας ἁλικίαν ἱμερόεσσα Κλειοῖ.

καὶ δὴ.

ἀλλά με ἀμυξάμεναι πολὺ δάκρυσιν, ἀντὶ δὲ τύμβου
λᾶαν στησάμεναι ἔσταμεν ἀδάλιμοι.

Ἄδηλα.

Ἀντί τοι εὐλέχεος θαλάμου, σεμνῶν θ' ὑμεναίων,
μάτηρ στῆσε τάφῳ τῷδ' ἐπὶ μαρμαρέαν,
παρθενικὰν, μέτρον τε τεὸν, καὶ κάλλος ἔχουσαν,
Θερσίππη. φθεγκτὰ δ' ἔπλεο, καὶ φθιμένα.

Ὠχόμεθ' ὦ Μίλητε φίλη πατρὶ, τὴν ἀθεμίστων
τὴν ἀνόμων Γαλατῶν ὕβριν ἀναινόμεναι,
παρθενικαὶ τρισσαὶ πολιήτιδες, ὧν ὁ βιαστὸς
Κελτῶν ἐς ταύτην μοῖραν ἔτρεψεν Ἄρης.
οὐ γὰρ ἐμείναμεν αἷμα τὸ δυσσεβὲς, οὐδ' ὑμέναιον
νυμφίον, ἀλλ' Ἀΐδην κηδεμόν' εὑράμεθα.

Ἀντιπάτρου.

Οὐ νούσῳ Ῥοδόπα τε, καὶ ἁ γενέτειρα Βοΐσκα,
οὐδ' ὑπὸ δυσμενέων δούρατι κεκλίμεθα,
ἀλλ' αὐταὶ πάτρας ὁπότ' ἔφλεγεν ἄστυ Κορίνθου
γοργὸς Ἄρης, Ἀΐδαν ἄλκιμον εἱλόμεθα.
ἔκτανε γάρ μάτηρ με διασφακτῆρι σιδάρῳ,
οὐδ' ἰδίου φειδὼ δύσμορος ἔσχε βίου.
ἅψε δ' ἑαυχένιον δειρᾷ βρόχον. ἦ γὰρ ἀμείνων
δουλοσύνας ἄμμιν πότμος ἐλεύθερος.

δωδεκέτη. duodecim annos natum. ἀπέθηκε. deposuit sepeliuit. τὴν πολλὴν ἐλπίδα. in quo spes eius sita erat. νεότητος ὀπώρην. an iuuentutis quasi autũnum, id est postremum tempus, an eius ætatis florem. ὀπώραν enim τὴν ὥραν ἢ τὸ ἄνθος significare docet Pindari interpres. παππῴου. auito. ἀοιδοῖο. poetæ. Suidas in eo uocabulo. ἄκρον μούσης. summam eruditionem. ἐς ἀΐδην. heu apud inferos doctum sum. μακρόν. diu ac multum. ἔφυς. ἐγένου. es. ζώων. uiuens. θεσμοί. leges. ius ciuile. οὐ δεδάηκε. non didicit. ἤμβροτε. priuauit. νομίμης. legitimæ. οὐ θιάσου. sui chori & contubernij ornamentum. λαγόνων μόχθον. quibus cum gestarat. μαρανθείς. extinctus. παστάς. thalamus nuptialis dictus ἀπὸ τοῦ πάσσεσθαι. παστὰς καὶ θάλαμος κυρίως ἐπὶ νυμφικῶν οἴκων. grammatici. Ἀναστασίη. ὁ Anastasia. πορθμεύς. Charon. ὅλον λυκάβαντα. non integrum annum. διήνυσας. consumpsisti. ἄγχι συνεύνου. iuxta maritum. cum marito. χεῖμα τὸ νερτερίων. ὁ Plutonis & parcarum hyems. ἔαρ. decus. flos. ἀμφὶ σοὶ μαραίνει. apud te marcessit. αἴγλης. à solari splendore. πικρόν. in quo expirauit. ἀλάωσεν: ærumnis fregit. ad uerbum excæcauit. οἷς. patri & marito. ἀλλά σε κηρόν. non te sed cæream tuam imaginem. λαρόν. ἡδύ. γλυκύ. παρὰ τὸ λίαν ἀρηρός. ἢ παρὰ τὸ λῶ τὸ θέλω πεποίηται. ὑπερψαύσας. cum quindecimũ annum uix attigisses. πεντάκις ἐξ μούνους. uixisti annos quindecim, dies uigintiquatuor. non enim tantum anni sed etiam menses & dies plerunque in lapide insculpti erant, ut hodie Romæ uidere licet, simili inscriptione, uixit annos sexaginta nouem, menses septem, dies octo. Dion. ζήσας (Augustus) μὲν πέντε καὶ ἑβδομήκοντα ἔτη, καὶ μῆνας δέκα, καὶ ἡμέρας ἓξ καὶ εἴκοσι. Spartianus quoque & Capitolinus menses & dies ad calculum reducunt. ἠελίους. dies. Pindarus. ἁλίῳ ἀμφὶ ἑνί. glossulæ. ἀντὶ τοῦ ἐπὶ μιᾷ ἡμέρᾳ. & horum

epigrammatum scriptores. εἰς ἑκατὸν δ' ἠελίους. οὐδ' αὐτῶν εἴκοσιν ἠελίων. ἠελίοις οἱ τριακοντα δύο. ὡς μὴ λεκτρον ἰδεῖν δεύτερον ἠελίου. nostris quoque receptũ. Martialis: bonosque soles effugere atque abire sentit. Persius. longos memini consumere soles. ἤρκεσεν. tibi opitulatus est. γήραος. μοῖρα. τοῖς πολιοῖσι. senibus. μόχθων. quibus plena est hæc uita. ἐστόρεσαν. strauerũt. στονόεσσι. πενθαλέαις. flebilibus, luctuosis. γονῆες. parentes. μόχθον Ἐλευθοῦς. τῆς Εἰλειθυίας. Lucinæ. Pindarus. τὰ μὲν ὁ χρυσοκόμας πραΰμητίν τ' Ἐλευθὼ. annotationes. τὴν Εἰλείθυιαν κεχαρισμένα φρονοῦσαν. Moschopulus. Εἰλείθυιαι, αἱ ἔφοροι τῶν τόκων θεαί, ἃς καὶ Ἐλευθοὺς λέγουσι. Phurnutus in Artem. λεγούσης αὐτῇ καὶ Ἐλευθοῦς. Hesychius in uoce Εἰλυθυιαμένη, Ἐλευθὼ καὶ μία τῶν Εἰλειθυιῶν καὶ ἐπώνυμον Δήμητρος παρὰ Ταραντίνοις καὶ Συρακουσίοις. οἱ δὲ. οἱ γονεῖς. ὁπλοτέρην. pulchritudine iuuenem. διπλασίως. ob filij obitum. τὴν μήπω μνηστῆρος. quæ nulli adhuc locata erat. ἑκάστῳ. unicuique procorum. ἀμάστρου. urbis ponti. φρύξ. patria Phryx. θεοῖο πατρός. dei patris. ἄγαγε δέ σε. huc duxit te. πότμος ὀφειλόμενον. futurum & debitum. χοροστασίης. cœtus. ἑὸν οὔνομα. nomen suum. εἰς ἀνδρῶν ἦλθεν ἐπωνυμίην. ut Zacynthus primo Hyria appellata. Creta aliquãdo Aeria & Curetis. Icarus ante uocata Doliche & Macris. Plinius de ijs atque Astypalæa, Paro, Helena, Corcyra, Delo, Stephanus quem ita in uoce Δύβοια ex Strabone lib. 10. castiga. Δύβοια νῆσος μία τῶν ἑπτὰ πολίχνης, ἡ καὶ Μακρίς, ἀπ' Δυβοίας ἡρωΐνης. non ἠρόδοτος. κληθεῖσαι καὶ ἄμμες. uocemini etiam uos. κλῆσιν. si nomen mutaueritis, & δρωτίδες appellemini. ἧξει. ad uos peruenit aut ἐξίδης. Diæ insulæ multas huius nominis colligunt ipse Stephanus & Theocriti commentarius Idyll. 2. δρῶς. ob id κληθεῖσαι & ἄμμες δρωτίδες. tametsi unam forte alloquatur. σημαίνουσα. σῆμα. sepulchrum est. ἡσυχίη. θάλασσα. ne sepulto obstrepas. δειρῆς χερσὶν ἐφαπτομένα. collum manibus amplectẽs. αὖθι. hic. λῴονι μοίρᾳ. meliore fato. ἄλλαν. quæ diutius uiuat. κεδνομέναν. εὐδομέναν. ὤχετο. obijt. πρότερου. ante canam ætatem. ὡς ἐν ἑτοίμῳ. ὡς ἑτοίμως. τὰ δεινότατα. quam facile in molestissima & grauissima quæque incurrimus. πὰρ νεότητι. adolescentibus. ἢ καὶ Τιμάρχου. Catamythi & cinædi Timarchi à Timarcho quem impudicitiæ reum fecit Aeschines, ac ijdem à Latinis officiosi cognominati sunt. ἠῷοι. mane εἶδεν. uidit. κατήφησε δὲ Κυρήνη πᾶσα. tota in mœrore fuit Cyrene. τῶν δυστέκνων. Aristippi & uxoris, qui quondam prole felices iudicabantur. χῆρον. liberis orbatam domum. ἔκλαιον. Ego Bianor. ἐμῆς. uxoris meæ. ὀδύνας. sed hoc dolores leuabat. ἐψεύσθην. etiam in te reliquo quem diu uicturũ putabam deceptus sum. τόνδε. πατρός. hunc patris sermonem. ἐπὶ θρηνοῦσιν. in luctu eius. θὲς. pone. colloca. μητρός. matris iam omnibus solatijs spoliatæ. τὴν οὔπω ὕπανδρος. quæ nemini adhuc nupserat. Eutolmias. ἣν γὰρ ἑκάστῳ θρυλεῦν τὴν μήπω μνηστῆρος, ὡς ἰδίην. ἐλπίς. omnes enim eam sibi in uxorẽ dari sperabãt. ὡς τὸ θυγατρὸς. tanquam filiam. πῦρ ἕτερον. ad nuptiales faces oculos uertit Antipater. sensus est, nuptũ dare me cupiens. τόδ' ἔφθηκεν. rogus. uel sic ex Seruio aperies. per noctem urebatur funus (& efferebatur cadauer propter sacrorum celebrationẽ dierum) unde permansit ut mortuos faces antecedant. Ouid. in Fastis. Conde tuas Hymenæe faces & ab ignibus atris aufer, habent alias mœsta sepulchra faces. Idẽ in epist. Et face pro Thalami fax mihi mortis erit. Quid Heraclides: ἣν δὲ τὸ παλαιὸν ἔθος τὰ σώματα τῶν καμνόντων, ἐπειδὰν ἀναπαύσηται τὸν βίον, μήτε νύκτωρ ἐκκομίζειν, μήθ' ὅταν ὑπὲρ γῆς τὸ μεσημβρινὸν ἐπιτείνηται θάλπος, ἀλλὰ πρὸς βαθὺν ὄρθρον ἀπύροις ἡλίου ἀκτῖσιν ἀνιόντος. κατ' εὐχὴν ἡμετέρην. pro uoto nostro. ἧψεν. accẽdit. ἀνίκα δ' ἀμφοτέρους. hoc demũ omnẽ calamitatẽ superat. δίπολιν. Ouid. in Ibin. sit tibi cõiugij nox prima nouissima uitæ. Eupolis hoc perijt & noua nupta modo. γλυκέριον.

Glyce-

υἱοῦ Ἀρίστωνος. τόν τις καὶ τηλόθι ναίων
 τιμᾷ ἀνὴρ ἀγαθός, θεῖον ἰδόντα βίον.

### Εἰς τὸν αὐτόν.

Αἰετέ, τίπτε βέβηκας ὑπὲρ τάφον; ἢ τίνος εἰπὲ
 ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις.

ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐς ὄλυμπον
εἰκών. σῶμα δὲ γῆ γηγενὲς, ἀτθὶς ἔχει.

Εἰς τὸν αὐτόν.

Καὶ πῶς εἰ μὴ φοῖβος ἀν' ἑλλάδα φῦσε πλάτωνα,
ψυχὰς ἀνθρώπων γράμμασιν ἀκέσατο;
καὶ γὰρ ὁ τοῦδε γεγὼς, ἀσκληπιός ἐστιν ἰητὴρ
σώματος, ὡς ψυχῆς ἀθανάτοιο πλάτων.

Εἰς τὸν αὐτόν.

φοῖβος ἔφυσε βροτοῖς ἀσκληπιὸν, ἠδὲ πλάτωνα.
τὸν μὲν, ἵνα ψυχὴν, τὸν δ' ἵνα σῶμα σάοι.
δαισάμενος δὲ γάμον, πόλιν ἤλυθεν, ἥν ποθ' ἑαυτῷ
ἔκτισε, καὶ δαπέδῳ ζηνὸς ἐνιδρύσατο.

Εἰς δημόκριτον.

Ην ἄρα δημοκρίτοιο γέλως τόδε, καὶ τάχα λέξει,
οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
καὶ γὰρ ἐγὼ σοφίην μετ' ἀπείρονα, καὶ τεύχεα βίβλων
τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως.

Εἰς τὸν αὐτόν.

Καὶ τίς ἔφυ σοφὸς ὧδε; τίς δ' ἔργον ἔρεξε τοσοῦτον,
ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
ὃς θάνατον παρεόντα, τρί' ἤματα δώμασιν ἔσχεν.
καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.

Εἰς τὸν αὐτόν.

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις
φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου,
εὐμενέως γελόωσαν. ἐπεὶ καὶ σεῖο τεκοῦσαν
ἀχνυμένην ἄχεσι, μοῦνος ἔκαμψε γέλως.

Εἰς Διογένη τὸν κύνα.

Τὸν κύνα Διογένην νεκυοστόλε δέξο με πορθμεῦ,
γυμνώσαντα βίου παντὸς ἐπισκύνιον.

Εἰς τὸν αὐτόν.

Εἰπὲ κύον, τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
τοῦ κυνός. ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ κύων;
διογένης. γένος εἰπέ; σινωπεύς. ὃς πίθον ᾤκει;
καὶ μάλα, νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.

Ἀντιπάτρου εἰς τὸν αὐτόν.

Διογένευς τόδε σῆμα σοφοῦ κυνὸς, ὅς ποτε θυμῷ
ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον.
ᾧ μία τις πήρα, μία διπλοΐς, εἷς ἅμ' ἐφοίτα
σκίπων, αὐτάρκους ὅπλα σαοφροσύνης.
ἀλλὰ τάφου τοῦδ' ἐκτὸς ἴτ' ἄφρονες, ὡς ὁ σινωπεὺς
ἐχθαίρει φαῦλον πάντα καὶ ἐν ἀΐδῃ.

Εἰς τὸν αὐτόν.

Βάκτρον, καὶ πήρη, καὶ διπλόον εἷμα σοφοῖο
Διογένευς, βιότου φόρτος ὁ κουφότατος.

Ὡς ἀπὸ τοῦ Διογένους.

Πάντα φέρω πορθμεῦ. λέλοιπα γὰρ οὐδὲν ὑπὲρ γῆς.
ἀλλὰ κύον σαίνοις Κέρβερε τόν με κύνα.

Ὡς ἀπὸ τοῦ αὐτοῦ.

Αἴδου ὦ νεκυηγὲ κεχαρμένε δάκρυσι πάντων,
ὃς βαθὺ πορθμεύεις τοῦτ' ἀχέροντος ὕδωρ,
εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων
ὁλκὰς, μὴ προλίπῃς Διογένη με κύνα.
ὄλπην καὶ σκίπωνα φέρω, καὶ διπλόον εἷμα,
καὶ πήρην, καὶ σοὶ ναυτίλιον ὀβολόν.
καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
ἄχρι. ὑπ' ἠελίου δ' οὔτι λέλοιπα φάει.

Διονυσίου κυζικηνοῦ εἰς Ἐρατοσθένην.

Πρηΰτερόν γῆράς σε, καὶ οὐ κατὰ νοῦσος ἀμαυρὴ
ἔσβεσεν. εὐνήθης δ' ὕπνον ὀφειλόμενον,
ἄκρα μεριμνήσας Ἐρατόσθενες. οὐδὲ Κυρήνη
μαινὰς ἐπ' ἀτρύτων ἐκτὸς ἔδεκτο τάφων,
ἀγλαοῦ υἱέ. φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι
πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλοῦ.

Ἀντιπάτρου εἰς τοὺς ἑπτὰ σοφούς.

Ἑπτὰ σοφῶν Κλεόβουλε, σὲ μὲν κλεινώσατο Λίνδος.
ἀμφὶ δὲ σισυφία χθὼν Περίανδρον ἔχει.
Πιττακὸν, ἁ μιτυλήνα. Βίαντα δὲ, δῖα Πριήνη.
Μίλητος δὲ Θαλῆν, ἄκρον ἔρεισμα δίκας.
ἁ σπάρτα Χίλωνα. Σόλωνα δὲ κεκροπὶς αἶα.
πάντας ἀριζάλου σωφροσύνας φύλακας.

Εἰς Θαλῆν.

Τόνδε Θαλῆν μίλητος ἰὰς θρέψασ' ἀνέδειξεν
ἀστρολόγων πάντων πρεσβύτατον σοφίῃ.

Εἰς τὸν αὐτόν.

Ἦ ὀλίγον τὸ σῆμα. τὸ δὲ κλέος, οὐρανόμηκες
τοῦ πολυφροντίστου τοῦδε Θάλητος ὅρη.

Εἰς τὸν αὐτόν.

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον ἠέλιε Ζεῦ,
τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.
αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες. ἦ γὰρ ὁ πρέσβυς,
οὐκέθ' ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

Εἰς Πιττακόν.

Ξεῖνος ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω,
τὸν μιτυληναῖον παῖδα τὸν ὑρράδιον.
ἄττα γέρον, δοιός με καλεῖ γάμος. ἡ μία μὲν δὴ
νύμφη, καὶ πλούτῳ, καὶ γενεῇ κατ' ἐμέ.
ἡ δ' ἑτέρη, προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε μοι σὺ
βούλευσον ποτέρην εἰς ὑμέναιον ἄγω.

εἶπεν

εἶπεν. ὁ δὲ, σκίπωνα, γεροντικὸν ὅπλον ἀείρας,
ἠνὶ δὲ κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.
οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες,
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
κείνων ἔρχεο φησὶ μετ' ἴχνια. χὠ μὲν, ἐπέστη
πλησίον. οἱ δ' ἔλεγον, τὴν κατὰ σαυτὸν ἔλα.
ταῦτ' ἀΐων ὁ ξεῖνος, ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνι συνθέμενος.
τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἶκον ἐπήγετο νύμφην,
οὕτω καὶ σύ γ' ἰὼν τὴν κατὰ σαυτὸν ἔλα.

Εἰς Βίαντα.

Κλεινοῖς ἐν δαπέδοισι πριήνης φῶτα καλύπτει
ἥδε Βίαντα πέτρη, κόσμον Ἴωσι μέγαν.

Εἰς τὸν αὐτόν.

Τῇδε Βίαντα κέκευθα, τὸν ἀτρέμας ἤγαγεν ἑρμῆς
εἰς ἀΐδην, πολιῷ γήραϊ νιφόμενον.
εἶπε γὰρ εἶπε δίκην ἑτάρου τινός. εἶτ' ἀποκλινθείς,
παιδὸς ἐν ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

Εἰς Ἀνάχαρσιν.

Ἐς σκυθίην ἀνάχαρσις ὅτ' ἤλυθε πολλὰ μογήσας,
πάντας ἔπειθε βιοῦν ἤθεσιν ἑλλαδικοῖς.
τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα,
πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

Πλάτωνος εἰς Δίωνα τὸν συρακούσιον.

Δάκρυα μὲν ἑκάβῃ τε, καὶ ἰλιάδεσσι γυναιξὶ
μοῖραι ἐπέκλωσαν δή ποτε γεινομέναις.
σοὶ δὲ Δίων ῥέξαντι καλὸν ἐπινίκιον ἔργον,
δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.
κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

Εἰς Θεόφραστον.

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ ἐλέχθη,
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον.
δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν, ἀπηρὸς
ἦν δέμας. εἶτ' ἀνεθείς, κάτθανε πηρομελής.

Εἰς Ἡρακλείδην.

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν ἡρακλείδη,
ὥς ῥα θανὼν, ἐγένου ζωὸς ἅπασι δράκων.
ἀλλὰ διεψεύσθης σεσοφισμένε. δὴ γὰρ ὁ μὲν θὴρ,
ἦν δράκων, σὺ δὲ, θὴρ οὐ σοφὸς ὤν, ἑάλως.

Εἰς Πυθαγόραν.

Οὐ μόνος ἐμψύχων ἄπεχεν χέρας, ἀλλὰ καὶ ἡμεῖς.
τίς γὰρ, ὃς ἐμψύχων ἥψατο Πυθαγόρη;
ἀλλ' ὅταν ἑψηθῇ τι, καὶ ὀπτηθῇ, καὶ ἁλισθῇ,
δὴ τότε καὶ ψυχὴν μὴ ἔχον, ἐσθίομεν.

Εἰς τὸν αὐτόν.

Αἶ, αἶ, πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη,
καὶ θάνε φοιτηταῖς ἅμμιγα τοῖς ἰδίοις.
χωρίον ἦν κυάμων. ἵνα μὴ τούτους δὲ πατήσῃ,
ἐξ ἀκραγαντίνων, κάτθαν' ἐνὶ τριόδῳ.

Εἰς ἐμπεδοκλῆν.

Καὶ σύ ποτ' ἐμπεδόκλεις, διερῇ φλογὶ σῶμα καθήρας,
πῦρ ἀπὸ κρητήρων ἔκπιες ἀθανάτων.
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων, ἔμπεσες οὐκ ἐθέλων.

Εἰς τὸν αὐτόν.

Ναὶ μὴν ἐμπεδοκλῆα θανεῖν λόγος, ὥς ποτ' ἁμάξης
ἔκπεσε, καὶ μηρὸν κλάσατο δεξιτερόν.
εἰ δὲ πυρὸς κρητῆρας ἐνήλατο, καὶ πίε τὸ ζῆν.
πῶς ἂν ἔτ' ἐν μεγάροις δείκνυτο τοῖο τάφος;

Εἰς Ἐπίχαρμον.

Εἴ τι παραλλάσσει φαέθων μέγας ἥλιος ἄστρων,
καὶ πόντος, ποταμῶν μεῖζον' ἔχει δύναμιν,
φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν ἐπίχαρμον,
ὃν πατρὶς ἐστεφάνωσ' ἅδε συρακοσίων.

Εἰς Φιλόλαον.

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν,
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς, ἀτυχεῖς.
οὕτω καὶ Φιλόλαον ἀνεῖλε κρότων ποτὲ πάτρη,
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

Εἰς Ἡράκλειτον.

Πολλάκις ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
ὧδε διαντλήσας, δύσμορος εἶτ' ἔθανεν.
σῶμα γὰρ ἀρδεύουσα κακὴ νόσος ὕδασι, φέγγος
ἔσβεσεν ἐκ βλεφάρων, καὶ σκότον ἠγάγετο.

Εἰς τὸν αὐτόν.

Ἡράκλειτος ἐγώ τί με ὦ κάτω ἕλκετ' ἄμουσοι;
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ' ἐπισταμένοις.
εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι. οἱ δ' ἀνάριθμοι,
οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ φερσεφόνῃ.

Εἰς Ζήνωνα τὸν ἐλεάτην.

Ἤθελες ὦ ζήνων καλόν, ἤθελες ἄνδρα τύραννον
κτείνας, ἐλκῦσαι δουλοσύνης ἐλέαν.
ἀλλ' ἐδάμης. δὴ γάρ σε λαβὼν ὁ τύραννος, ἐν ὅλμῳ
κόψε. τί τοῦτο λέγω; σῶμα γάρ, οὐχὶ δὲ σέ.

Εἰς Πρωταγόραν.

Καὶ σὲ πρωταγόρη, φάτιν ἔκλυον, ὥς ἄρ' ἀθήνεων
ἔκ ποτ' ἰών, καθ' ὁδὸν πρέσβυς ἐὼν ἔθανεν.

εἶλος

εἷλε γάρ σε φυγὼν Κέκροπος πόλις. ἀλλὰ σὺ μέν που
παμφάγος ἄσυ φύγες. πλουτέα δ' οὐκ ἔφυγες.

Εἰς Κράτητα, ὁμοιόπτωτον τῷ
εἰς Σαρδανάπαλον.

Τόσσ' ἔχω, ὅσσ' ἔμαθον, καὶ ἐφρόντισα, καὶ μετὰ μουσῶν
σέμν' ἐδάην. τὰ δὲ πολλὰ, καὶ ὄλβια, τύμβος ἔμαρψεν.

Ἰουλιανοῦ εἰς Πύῤῥωνα σκεπτικὸν, ἀμοιβαῖον.

Κάτθανες ὦ Πύῤῥων; ἐπέχω. πυμάτην μετὰ μοῖραν
φὴς ἐπέχειν; ἐπέχω. σκέψιν ἔπαυσε τάφος.

Εἰς Ἐπίκτητον ἰσόψηφον.
Λεωνίδου.

Δοῦλος Ἐπίκτητος γενόμην καὶ σῶμ' ἀνάπηρος.
καὶ πενίην Ἶρος. καὶ φίλος ἀθανάτοις.

Εἰς Δημόκριτον.

Πλουτῶν δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσων
αἰὲν ἀμειδήτων, καὶ γελάοντα λάχοις.

Τοῦ αὐτοῦ.

Αἴδεω λυπρὲ διάκονε. τὸ τ' Ἀχέροντος
ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ,
δέξαι μ' εἰ καί σοι μέγα βρίθεται κρυόεσσα
βᾶρις ἀποφθιμένων, τὸν κύνα Διογένην.
ὄλπη μοι καὶ πήρα ἐφόλκια. καὶ τὸ παλαιὸν
ἔσθος, χὼ φθιμένους ναυστολέων ὀβολός.
πάνθ' ὅσα κἠν ζωοῖς ἐπεπάμμεθα, ταῦτα παρ' ᾅδην
ἔρχομ' ἔχων. λεῖπον δ' οὐδὲν ὑπ' ἠελίῳ.

Καλλιμάχου.

Εἶπέ τις ἡράκλειτε τεὸν μόρον. ἐς δέ με δάκρυ
ἤγαγεν, ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που
ξεῖν' ἁλικαρνησσεῦ τετράπαλαι σποδιή.
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες. ᾗσιν ὁ πάντων
ἁρπακτὴς ἀΐδης, οὐκ ἐπὶ χεῖρα βαλεῖ.

Πλάτωνος.

Νῦν ὅτε μηδὲν ἄλεξις ὅσον μόνον εἶφ' ὅτι καλός,
ὦπται. καὶ πάντῃ πᾶσι περιβλέπεται.
θυμὲ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσεις
ὕστερον. οὐχ οὕτω φαῖδρον ἀπωλέσαμεν;

Ἐνθάδε γοργίου κωμικοῦ κεφαλὴ κατάκειμαι,
οὐκέτι χρεμπτομένη, οὔτ' ἀπομυσσομένη.

Εἴπας ἥλιε χαῖρε Κλεόμβροτος ὡμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς ἀΐδην,

ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν, ἀλλὰ Πλάτωνος
ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

Σπευσίππου.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος
ψυχὴ δ' ἰσόθεον τάξιν ἔχει μακάρων.

ἠχθημάλην. an.num. ὁ τόσος. tantus.tam magnus. ἑλλήνων ἀκέσιον. Socratem reum postularunt Anytus & Melitus quod corrumperet iuuētutem, deos contēneret, nouas superstitiones introduceret, quos ex Laertij Platone & Themistio in sermone εἰς τὸν αὐτοῦ πατέρα, fœde perijsse animaduerto. τὸν ἄριστον ἀπώλεσαν. cum Atheniensium crudelitatem palam accusare non auderet Euripides, actorē hæc de Palamede in tragœdia quæ nomine eius inscripta est, proferentem induxit. ἐκάνετε, ἐκάνετε τὸν ἑλλήνων ἄριστον. quo audito omnes qui in Theatro sedebant, id ad Socratem pertinere sentiētes, collachrymauere. de cuius obitu Xenophon Apomnemo. ultimo, Laertius, & Plato in Apologia & Eutyphrone. Aeschines κατὰ τιμαρ. Socratem ab Atheniensibus ueneno sublatum refert quod Critiam unum è triginta tyrānis popularis status euersoribus erudisset. Quid Athenæus: δείσῃ τις ἐν τοῖς λόγοις ὑμῶν φιλοτιμίας, καὶ ὕβριδας καὶ τὰς ἀκαίρους ἐλέγχους, δι' οὓς σωκράτης ἀπέθανεν. quę Apomnemo. α. purgat ac diluit Xenophon. Tertullianus Socratem quercum hircum & canem in contumeliam deorum deierasse perhibet. Ego ex hoc Aristophanis glossographi ac multorum sermonibus probi superstitiosi ue hominis iusiurandum non deos contemnentis facile autumarem. λέγεται δὲ ῥαδάμανθυν πρῶτον οὐδ' ἐπιτάξαι ὅρκους ποιεῖσθαι κατὰ τῶν θεῶν, ἀλλ' ὀμνύειν κελεῦσαι χῆνα. Suidas. διότι τὸν κύνα καὶ πλάτανον δι' ὑπερβολὴν δεισιδαιμονίας ὤμνυεν ὁ σωκράτης. Hinc Sosias apud eundem Aristophanē uir modestus & innocens non philosophos illudens, μὰ τὸν κύνα, deierat. Pythagoras teste Laertio μὴ ὀμνύναι θεοὺς uetuit quoq;. Philostratus lib. uitæ Apollo. ϛ. de Socrate loquens. ὤμνυε γὰρ τὸν κύνα καὶ τὸν χῆνα καὶ τὴν πλάτανον, (addunt & gallinaceū.) οὐχ ὡς θεούς, ἀλλὰ μὴ θεοὺς ὀμνύῃ. Athenæus dipnos. ϑ. καὶ ζήνων ὁ κιτιεὺς μιμούμενος τὸν κατὰ κυνὸς ὅρκον σωκράτους καὶ αὐτὸς ὤμνυε τὸν κάππαριν. Deos à Zenone derisui habitos si quis per imprudentiam diceret, tumultuantes Stoicos nō sustineret. οὐδὲν ἐν ἅδου, hic deest aliquid. ut ἐν διδασκάλου. nihil orco tradentes. nam ad cœlos Socratis anima, quam hominē esse censuit ipse in Alcibiade primo Socrates, euolauit. Hæc quoq; Phædonem intuētur, in quo de immortalitate animorum paulo ante cicutæ potionē disputauit. ζηοῦσι πολλαὶ ἀκροπόλεις. Athenienses Socratē Apollinis oraculo omniū mortalium sapientissimū iudicatū ueneno necarunt, ab ijs eodē supplicio Phocion est interemptus qui boni appellationē meruit. Aristidem cui post hominū memoriam soli iusto cognomentū fuit, testularum suffragio relegarunt, quos δὶς εἰς φιλοσοφίαν ἐξαμαρτεῖν noluit Aristoteles. Theseum, Alcibiadem, Themistoclem, Miltiadem, Homerum, Tyrtæum, Demetrium Phalereum aggregare supersedeo, quæ Laertius, Aeschines, Valer. Maximus, atq; alij persequūtur. qui eorum in Demetrium regem ingratitudinem silentio supprimens præuaricari nobis uidetur, qua populus Atheniensis facile omnem barbariem, assentatione uero longe seipsum superauit. indicat in uita Demetrij Plutarchus & Athenæus lib. ϛ. αἰετέ. Aquila. τίπτε. τί δή ποτε. cur. γηγενέα. terrenum. terra ortum. καὶ πῶς. quo pacto. εἰ μὴ φοῖβος. nisi Apollo. φῦσε. genuisset. ἠκέσατο. animas literis curasset Phœbus. τοῦδε. Apollinis. γεγὼς. ab eo genitus. σώοι. corpori medeatur

ac illud

ac illud seruet. διαιτώμενος δὲ γάμον. Laertius. τελευτᾷ δ' ὥς φησιν Ἕρμιππος ἐν γάμοις δειπνῶν. πόλιν ἔκτισε. Hanc diuus Chrysostomus & Aristoteles rident atque aspernantur, sed in eo maxime quod de mulieribus sciuit lib. 5. tametsi postea illum in hoc secutus sit Zeno. ἐν ταύτῃ δὲ τῇ πόλει (inquit Alcinous) οὐδὲ κοινὰς εἶναι τὰς γυναῖκας νομοθετεῖ. qui hoc mihi quantumlibet magnus autor non persuadebit. Agathias. ferunt præterea hanc legem tulisse qua uiris essent & in communi expositæ fœminæ, nec tamen iuxta Socratis Platonisque instituta. Strabo. καὶ τὰς γυναῖκας πλατωνικῶς ἔχοντες κοινάς. dies me deficiet si in hoc immorer: de Platonis republica quid senserunt uiri doctissimi siquis scire auet, instruit Plutarchus in fine Lycurgi, Athenæus dipn. lib. 11. & Polybius 6. Gregorius. πῶς δὲ θαυμάζειν ἄξιον τούτους, οἳ καὶ λόγῳ πλάττουσι πόλεις τὰς ἔργῳ συστῆναι μὴ δυναμένας, quas Nephelococygias nescio an quis male uocet. γέλως τόδε. Ridebit & hoc Democritus, se post tot sudores ac uigilias ad inferos measse. οὐκ ἔλεγον. nonne dicebam. γελόων. Aelianus. κατεγέλα δὲ πάντων ὁ Δημόκριτος, καὶ ἔλεγεν αὐτοὺς μαίνεσθαι, ὅθεν καὶ γελασῖνον αὐτὸν ἐκάλουν οἱ πολῖται. πέλουσι. sunt. νέρθε τάφοιο. sub tumulo. ὧδε. ita. παντοδαής. cuncta sciens. huic alter successit Panepistemon. Δεύτερος ἡρακλῆς. μήσατο. excogitauit. ὃς θάνατον παρεόντα. Laertius in Democrito, & Suidas in ea uoce hoc edisserunt. a quibus dissentit Athenæus. Δημόκριτον δὲ τὸν ἀβδηρίτην λόγος ἔχει, διὰ τὸ γῆρας ἐξάξαι αὑτὸν διεγνωκότα τοῦ ζῆν, καὶ ὑφαιροῦντα τῆς τροφῆς καθ' ἑκάστην ἡμέραν, ἐπεὶ αἱ τῶν θεσμοφορίων ἡμέραι ἐνέστησαν, δεηθεισῶν τῶν οἰκείων γυναικῶν μὴ ἀποθνήσκειν κατὰ τὴν πανήγυριν, ὅπως ἑορτάσωσι, πεισθῆναι, κελεύσαντα μέλιτος ἀγγεῖον αὐτῷ πλησίον παρατεθεῖναι, καὶ διαζῆσαι ἡμέρας ἱκανὰς τὸν ἄνδρα τῇ ἀπὸ τοῦ μέλιτος ἀναφορᾷ μόνῃ χρώμενον, καὶ μετὰ τὰς ἡμέρας βασταχθέντος τοῦ μέλιτος, ἀποθανεῖν. ἔσχεν. domi tenuit. ἄρτων ἀτμοῖσι. aut melle ut putat Athenæus. ἐξείνισεν. hospitio suscepit. δέχνυσο. suscipe. τεκοῦσαν. Cererem, ob raptum filiæ Proserpinæ ingemiscentem. μῦθος ἔκαμψε γέλως. Eusebius lib. de præparatione Euang. 2. ξενίζει ἡ Βαυβὼ τὴν Δηώ, ὀρέγει κυκεῶνα αὐτῇ. τῆς δὲ ἀναινομένης λαβεῖν, καὶ πιεῖν οὐκ ἐθελούσης, πενθήρης γὰρ ἦν, περιαλγὴς ἡ Βαυβὼ γενομένη ὡς ὑπεροραθεῖσα, δῆθεν ἀναστέλλεται τὰ αἰδοῖα, καὶ ἐπιδεικνύει τῇ θεῷ. ἡ δὲ τέρπεται τῇ ὄψει ἡ Δηώ, καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῷ θεάματι. Orpheus. ἤδ' ἐπεὶ οὖν μείδησε θεά. νεκυοστόλε. qui mortuorum cadauera uehis. ἐπισκύνιον. fastum & supercilium. ἀπὸ κυνός. canis. Laertius. ἀφικομένων δὲ τῶν πατέρων καὶ τῶν ὑπερεχόντων, ὑπὸ τούτοις ταφῆναι τὸν ἄνδρα παρὰ τῇ πύλῃ τῇ φερούσῃ εἰς ἰσθμόν. ἐπέστησαν δ' αὐτῷ κίονα, καὶ ἐπ' αὐτῷ λίθου παρίου κύνα. οἶκον ἔχει. in cœlo est. τόδε σῆμα. Suidas in uocabulo φιλίσκος αἰγινήτης, & Laertius in Diogene hoc & illa σκίπων διπλοῖς ac reliqua interpretabitur. ἄρσενι. forti & uirili. γυμνῆτιν. pugnauit enim contra uoluptates & animi perturbationes Diogenes. Lucianus ἐν βίων πράσει. στρατεύομαι δὲ ὥσπερ ἡρακλῆς ἐπὶ τὰς ἡδονὰς οὐ κελευστός, ἀλλ' ἑκούσιος, ἐκκαθᾶραι τὸν βίον προαιρούμενος. Laertius. περὶ δὲ τοῦ διογένους θανάτου διάφοροι λέγονται λόγοι, οἱ μὲν γὰρ βοὸς πόδα φαγόντα &c. Tatianus. διογένης πολύποδος ὠμοβορίᾳ, πάθει συσχεθεὶς εἰλεῷ διὰ τὴν ἀκρασίαν ἀποτέθνηκεν. Athenæus dipnosophiston 8. καὶ διογένης δὲ ὁ κύων ὠμὸν πολύποδα καταφαγὼν ἐπιθεμένης αὐτῷ τῆς γαστρὸς ἀπέθανε. Lucianus nominato dialogo. καὶ τέλος, ἢν σοι δοκῇ, πολύποδα ὠμὸν ἢ σηπίαν φαγὼν ἀπόθανε. Censorinus. Et contra Diogenes Cynicus cibi cruditate in choleram solutus est. nouam opinionem profert Aelianus. διογένης ὁ σινωπεὺς, ὅτε λοιπὸν φύσει ἐπὶ θανάτῳ, ἑαυτὸν φέρων μόνον ἔρριψε κατά τινος γεφυρίου πρὸς γυμνασίῳ ὄντος. ἀλλὰ τάφον. Pausanias. ἀνιοῦσι δὲ ἐς κόρινθον, καὶ ἄλλα ἐστὶ κατὰ τὴν ὁδὸν μνήματα, καὶ πρὸς τῇ πύλῃ διογένης τέ-

διαπλεῖ ὁ πινυτὸς. ἐς ἀΐδης. Diogenes apud Lucianum in Necricis dicteria maxime in eos iacit qui supra mortalitatem suam efferri cupiuerunt. διπλόον ἄμμα. supra διπλοῖς. πορθμεῖ. Charõti. οὐδέν. nihil enim possidebat. κύνα. canem & Cynicum. ὦ νεκυηγὲ. νεκυοστόλε. κεχαρημένε. qui lętatus es. πάντων. quos unquã uexisti. βέβριθεν. onerata est. καμόντων. mortuorũ umbris. ὁλκάς. cymba. ὄλπην. Lecythum. tanquam Athleta. Antipater. γυμνάστην ἐξεπόνει βίοτον. ὀβολόν. obolum. θανάτου. τὸ δὲ μοῦνον ἔχον. οὔτι. nihil. εἰς ὀψὲ ἀποσβεσθῆναι. κατὰ νοῦσον ἔσβεσε. κατέσβεσε. Eratosthenem supra modum laudant Plinius, Suidas, Strabo. κυρήνη. urbs Africæ à Cyrene eximiæ pulchritudinis uirgine sic dicta, reginam fuisse uult Seruius. lege Iustinum lib. 13. & Diodorum 5. μαινάς. temeraria & insana. hoc ciuitati minime tribuendum sed nymphæ Cyrenæ mænadi idcirco appellatæ, quod cum seuissimis bestijs nec leone quidem excepto depugnare nõ formidarit. Pindarus Pythiorũ hymno 8. quod attigit in Artemidis hymno Callimachus. ἐπ᾽ ἀτρύτῳ. ἀκαταπονήτῳ. æterno lapide ædificatorum. ἐν ξένῃ. γῇ. πρωτέως. non maris sed Protei qui in Aegypto regnauit. Atqui mortuus est Alexandriæ Eratosthenes. σικυωνία. Corinthia. ἔρεισμα. στήριγμα. substentaculum. κεκροπίς. Attica. τὸν δὲ θαλῆν. Suidas & Laertius in Thalete. ἴας. Ionica. ὅρη. uide. ὅρα. ἐκ σταδίου. è stadio, in quo Athletas spectabat. ἐγγύς. in cœlum. ἀπήγαγεν. Elee aut Olympice Iupiter. οὐδ᾽ ἔτ᾽ ὁρᾶν. præ senio. ξεῖνος ἀταρνείτης. Hæc Callimachi metra in Laertij Pittaco offendes, & in Chiliadibus Erasmi ibi, æqualem uxorẽ quere. Est & Biantis de re uxoria syllogismus apud Gellium libro quinto, cap. undecimo. ἀταρνείτης. Atarnea Aeolidis est ciuitas. ἀνείρετο. interrogauit. ἄττα γέρον. προσφώνησις φιλοφρονητικὴ νέου πρὸς πρεσβύτερον καὶ προσφιλῆ. προβέβηκε. generis nobilitate atque opibus me longe anteit. ἠνὶ δέ. En pueros baculo ostendit. βέμβικας. ligneos aut corneos turbines. id significare βέμβικα, ex hoc uersu probat Aristophanis interpres. ῥόμβος, ὃ κοινῶς στρόμβον, ὃ τινες καὶ βέμβιξ (non βόμβιξ) Pindari scholia. Tzetzes. καὶ ὁ ῥόμβος, ὁ στρόμβος βομβυλιὸς καὶ βέμβιξ καλεῖται. ἔρχεο. ἔρχου. χώρει. Atarnites. οἱ δὲ. pueri. τὴν κατὰ σαυτόν. βέμβικα. uxorem intellige. ἔλα. agita. duc. κληδόνι. huic uoci assentiẽs. τὴν δ᾽ ὀλίγην. τὴν κατὰ σαυτόν. ἰών. aut καὶ σὺ δίων. φῦντα. genitum. ἥδε Βίαντα πέτρη. Laertius in Biante. ἴωσι. Prienæis maxime. πολιῷ γήραϊ νιφόμενον. Capitis niues uocat Horatius, quem notauit Quintilianus. fiunt & duræ translationes, id est è longinqua similitudine ductæ. ut capitis niues. ἔτανεν ὕπνον. obijt. ἐς Σκυθίην ἀνάχαρσις. Laertius in eius uita. Lucianus in cognomine dialogo. Suidas & Strabo tertio. ubi figlinum orbem, cuius meminit Homerus multo antiquior hoc uersu, ὡς δ᾽ ὅτε τις κεραμεὺς τροχὸν ἄρμενον ἐν παλάμῃσι, contra Plinij fautores ab eo repertum negat. ἄκραντον. ἀπλήρωτον. ἀτελέωτον. πτηνὸς δόναξ. uolucris sagitta. ὦκα. celeriter. δάκρυα μὲν. Epigramma citat Laertius in Platone τοῦτο καὶ ἐπιγεγράφθαι φησὶν ἐν συρακούσαις ἐπὶ τοῦ τάφου. γυναιξί. captiuis. γειναμέναις, γεννηθείσαις. ἐπινίκιον ἔργον. Plutarchus in uita Dionis. & Diodorus libro decimosexto. ἐκμήνας. qui animum in furorem egisti. σφίγξας τόξον. Erasmus in Adagione arcus tensus rumpitur. Cætera impertit Suidas & Laertius quæ ad Theophrastum & Heraclidem spectant. ἕως. quandiu. ἐπόνει. literis uacans. ἀνεθείς. remissis studijs. σὺ δὲ, θήρ. belua non homo. οὐ μόνος ἐμψύχων. Pythagorici ut tradit in Symposia. Plutarchus animalium esu sed maxime piscium abstinent, ad hunc se adiungunt sexcenti, licet Athenæus Lyconis testimonio Pythagoram animatis uictitasse probet, & Philoxeni musici Gellius libro quarto, cap. undecimo. ubi & fabas (fabulum uertit κύαμον) esitasse indicat. ἐ-

μᾶς

μεῖς. etiam nos. ἁλιῶδη. sale condita fuerint. τὸ τῶν κυάμους. Superstitio hæc ab Orpheo uidetur ad Pythagoram emanasse. Gregorius. βάλλε μοι πυθαγόρου σιωπὴν καὶ τοὺς κυάμους τοὺς ὀρφικούς, de qua Gellius libro quarto, cap. undecimo. Laertius in Pythagora. Lucianus ἐν βίων πράσει. Plutarchus sympos. octauo. Acron in Horatium. Dionysius Vticensis libro secundo, cap. trigesimotertio. Cicero de diuinatione primo. Plinius libro decimooctauo, cap. duodecimo. Erasmi Chiliades ibi, à fabis abstineto. κυάμου notissimi leguminis appellatione non legumen, sed ouum, quod quasi κύησις animalis esset, uocasse Pythagoricos perhibent nonnulli. φυτοῖς ἰδίοις. fabis. κατθανὼν ἐν τελέσι. Hæc Laertius, à quo discordat Iulius Firmicus. Pythagoras nunc per Locros nunc per Taretum, & per omnes pene Italiæ oras fugitiuus errauit. ecce ad ultimum flamma sæuiente circumdatur, & cum illo pariter miserorum turba incendio grassante conficitur. σῶμα καθήρας. corpore purgato. ἐκ κρατήρων. hos etiam Crateres appellat Plinius. Sunt & aliorum montiū hiatus non Aetnæ tantum Crateres. Sophocles. κοίλου πέτρας κρατῆρος. glossulæ. τοῦ μυχοῦ. τὰ γὰρ κοῖλα οὕτως ἐκάλουν ἐκ μεταφορᾶς. ὅθεν καὶ τὰ ἐν τῇ αἴτνῃ κοιλώματα, κρατῆρας καλοῦντες ἐκὼν βάλλε. Lactantius. Empedocles se in ardentis Aetnæ specum intempesta nocte deiecit, ut cum repente non apparuisset, abiisse ad deos crederetur. Horatio deus immortalis haberi dum cupit Empedocles ardentem frigidus Aetnam insiluit. diuus Hieronymus. Empedocles per suam philosophiam ne dicam melancholiam Aetnam sibi Mausolæum delegit. iis fere accedit Lucianus. Empedoclem sane in flammas Aetnæ proiectum crepidulæ prodiderunt quas flamma eructauit, æneis enim usus fuerat. Laertius. ἀναρριφθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων. χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. omnes unus oppugnat Strabo. δεῖ δὲ νομίζειν ἐκ τοιαύτης ὄψεως, πολλὰ μυθεύεσθαι, καὶ μάλιστα οἷα φασί τινες περὶ ἐμπεδοκλέους. ὅτι καθήλλοιτο εἰς τὸν κρατῆρα, καὶ καταλίποι τοῦ πάθους ἴχνος, τῶν ἐμβάδων τὴν ἑτέραν ἃς ἐφόρει χαλκᾶς. ζωὴν τὸ ζῆν. immortalitatē. παραλάμπει. antestat splendore & magnitudine. πόντος. oceanus. περιέχειν. præcellere. ἐπίχαρμον. Laertius in Epicharmo. οὕτω καὶ φιλόλαον. Coeuntes Pythagoricos & inter se quæ legerunt conferentes, quasi tyrannidem eorū princeps Philolaus affectaret eaque de re consilia inirent suspectos habuere Crotonienses. quamobrem omnes suo more iisdem in tectis philosophantes, tanquam coniuratos aggressa plebs partim trucidat, partim exilio plectit. hæc clarius à Iustino quam à Laertio in uita Philolai traduntur. qui is forsitan est quem Nicomachus, Proclus, & Pythagorei ἐν τῷ περὶ φύσεως, aduocant, & Aristoteles, cuius libros decem millibus denariūm Plato mercatus est. ὡς μὲν. ipsum. θέλειν ἔχειν δῶμα τυράννου. tyrannidis instituendæ locum & latebras. προσέκλεισεν ἐθέλων ... Laertius in Heraclito. ἐξαλιδόντα. irrigans. κακὴ νόσος. Hydropicus morbus, aqua inter cutem. τί μ' ὤν. ὢν pro οὖν Ionice, non ὦ. κάτω ἕλκετε. ad uestrum uulgarem'que sensum. ἐπόνουν. libros conscripsi. εἷς ἐμοὶ ἄνθρωπος. Antimacho poetæ unus Plato instar omnium auditorum. Democrito unus pro populo, & populus pro uno fuit. Ciceroni unus Cato est pro centum millibus. Extat hoc epigramma apud Laertium. καλόν. rem omniū pulcherrimam conficere. ὦ ζήνων. hæc enucleat in Zenone Laertius. ἐλέαν. Eleam patriam tuam. ὁ τύραννος. Diomedon (Tertullianus in Apologetico. Zeno Eleates consultus à Dionysio, castigandum puto à Diomedonte) siue ut Philostrato lib. uitę Apoll. 7. placet Nearchus (uide Suidā in uoce ζήνων) quod Valerio quoque Maximo uidet, ubi cū Laertio confligit, Eleatem hūc nominātē. ab illo

 autem

autem Zeno alter sic uocatur quem Phalaris uario cruciatus genere tortũ excarnificauit. nihil est cur hoc in genere se maceret lector. idem enim nomen effecit quod in plerisq; alijs contigit, atq; utriusq; uiri fortitudo, ut de utroq; non minus cõfuse loquãtur pene omnes quam incerte. de Tauro Phalaridis, quem Lucianus ab hoc tyranno, Delphico Apollini consecratum, Timæus ab Agrigẽtinis in mare demersum, narrat, cui M. Tullius action. in Verrem sexta non adhæret. κέκροπος πόλις. Laertius in uita Protagoræ. Suidas. Philostratus in Sophistis, & Gellius libro quinto, cap. tertio. παλλάδος ἄστυ γύγον. Cicero libro de Natura deorum primo. Nam & Abderites quidem Protagoras cum in principio libri sic posuisset: de dijs neq; ut sint neq; ut non sint habeo dicere: Atheniensium iussu, urbe atq; agro est exterminatus, libriq; eius in cõcione combusti. πλουτέα. τὸν θάνατον. εἰς σορὸν ἀνάπηλον. uide supra secundum epigrammatit. εἰς ἀρχαίους τινάς. τόσ᾽ ἔχω. is est Crates Thebanus non Atheniensis. recurre si uacat ad Suidam & Laertiũ apud quos atq; Lucianum τῶν βίων πρᾶσει, de Pyrrone complura. ἐπέχω. sic memorato Luciani colloquio. ὃ σῶμ᾽ ἀνάπηρος. hoc aperit Suidas, & Simplicius in ipsius Epicteti Enchiridium. καί τι τῶν ἄλλων δεό μεθα παραδειγμάτων, ὅτι αὐτὸς ὁ ταῦτα λέγων ἐπίκτητος, καὶ δοῦλος ἦν, καὶ τὸ σῶμα ἀσθενής, καὶ χωλὸς ἐκ νέας ἡλικίας, καὶ πενίαν ἀκροτάτην ἐπιτετηδευκώς, ὡς τὸ ἐν ῥώμῃ οἴκημα αὐτοῦ μηδέποτε κλεῖθρον δεηθῆναι, ὅτι μηδὲν εἶχεν εἰμὴ τὴν σιβάδα, ὃ τὴν ψίαθον ἐφ᾽ ὧν ἐκάθευδε. hoc distichum apud Gellium & Macrobium repperi. legimus & Domitiano imperante, senatusconsulto philosophos urbe eiectos, qua tempestate noster hic Epictetus propter id senatusconsultũ Roma decessit. ὃ γελῶντα. Laertius & Lucianus in uitarũ uenditione. risus huius perpetui causas aperit in epistola quadam ad Damagetum Hippocrates. ἐκεῖνο μὲν ψευδὲς ὅτι τὸ δαιμόνιον ἑκουσίως σβέσαι τὰς ὄψεις. Plutarchus. περὶ πολυπραγμο. cui obsistit cum magna doctorũ multitudine Aulus Gellius. Plinius lib. 18. cap. 28. Democritum præuisa olei caritate omnem oleam in toto tractu coemisse memorat. Thaletem dicere uoluit Plinius à quo Cicero lib. de diuin. primo, id animaduersum perhibet. Philostra. in Apoll. τί δὲ θαλῆς τε, καὶ ἀναξαγόρας, τὼ ἴωνε. ὁ μὲν εὐφορίαν τῶν ἐλαιῶν, ὁ δὲ πολλὰ τῶν οὐρανίων παθῶν, προειπόντε. fatetur Laertius in eius uita & Aristoteles primo Politicorũ; quorum hic Thaletem ἀρραβῶνας διαδοῦναι τῶν ἐλαιουργίων, ille τὰ ἐλαιούργεια μισθώσασθαι dicunt. διηκόνει. Charon. βᾶρις. cymba. Lycophron. ἀνζυγότευκτον βᾶριν. Baris Aegyptiũ nauis genus Isidi sacrum. Isidis nauem uocat Lactantius cuius meminit Lucianus in dialogo cui titulus εὐχαί. fuisse & bares ex spino & iunco circumsutas prodit Herodotus. Propertius. Baridos & contis. ὄλπη μοι καὶ πήρα. Antipater. ὄλπην καὶ σκίπωνα φέρω. χὼ φθιμένους. καὶ ὁ φθιμένους. ἐπ᾽ ἠελίῳ. nihil in terris reliqui. ἠέλιον. scribe ἥλιον. & τέφρα es non τέτρα. Laertius in Heraclito. ἁλικαρνασσεῦ. Halicarnassee. Halicarnassos Cariæ est ciuitas. ἀηδόνες. dulces Elegiæ. χεῖρα ἐπιβαλεῖ. semper enim uiuant. μηδὲν ἄλεξις. nihil post obitum est. ἀφ᾽ ὅτι. dixit. ὤφθαι. uisus est. Laertius in Platone hoc tetrastichum adducit. κυσὶν ὀστέον. cunctos in Alexidis amorem impellis. infra libro septimo. τί μηνύω κυσὶν ὀστέα. ἀνιήσεις. dolebis postea. οὐχ οὕτω. eius pulchritudinem extollendo atq; interitum deplorando. χρεμπτομένη. exscreans. ἀχλυνομένη. præ frigore. ἥλιε. sol uale. κλεόμβροτος. Cleombrotus in Platonis Phædone totus hærens, cum legeret Philosophum mortem meditari oportere nec quid sentiret Plato uidens, aut qua uia id assequi conueniret, se è muro præcipitem dedit. duas hominis mortes nosse Platonicos ostendit Macrobius. Diuus Augustinus: ille potius Cleom-

brotus in hac animi magnitudine reperietur, quē ferūt lecto Platonis libro ubi de immortalitate animi disputauit se præcipitem dedisse de muro. At D. Hieronymus hūc cum Zenone & Catone stultæ philosophiæ martyrem uocat. Lactantius. quid Ambraciotes ille. his implere chartas superfluū esset, nisi Cleodotus, Cleodosius, amanuensium incuria reperissem. Apud eundem Lactantium lib. de uera sapiētia 4. cap. 18. ex septima in Verrem actione Ganianam crucem & lib. de falsa relig. primo uico Marpesso ex Pausania in Phocicis repones. κόσμου δὲ ἀναχώρησις (ait Basilius) οὐ τὸ ἔξω αὐτοῦ γενέσθαι σωματικῶς, ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀπορρῆξαι. ἀμβρακιώτης. Ambraciensis. Ambracia Epiri oppidū est. Sinum Ambracium Itali El colfo dil' Arta uocant hodie, è quo cum Venetijs agerem Aenobarbus cum classe Turcica erumpens nostrā longe numero superiorem dissipauit atq; afflixit.

## ΕΝ ΤΩΔΕ ΤΩ ΤΕΤΑΡΤΩ ΤΜΗΜΑΤΙ, ΕΠΙ-

γράμματα εἰς θεῶν ἀγάλματα ἔχοντα, καὶ ἀνδρῶν στήλας, καὶ ζώων μορφὰς, καὶ ἔτι εἰς τόπους, περιέχεται κεφάλαια τάδε.

### Εἰς εἰκόνας.


| | | |
|---|---|---|
| Ανδρῶν ἀγαθῶν. | Ιατρῶν. | Οπλα. |
| Αθλητῶν. | Καιροῦ. | Ορχηστρίδων. |
| Βακχῶν. | Κήπους. | Πηγάς. |
| Βασιλέων. | Κιθαρῳδῶν. | Ποιητῶν. |
| Γυναικῶν. | Κίονας. | Πόλεις. |
| Ζωγράφων. | Λίθους. | Ποταμούς. |
| Ζώων. | Λουτρά. | Προάστεια. |
| Ηρώων. | Ναούς. | Ρητόρων. |
| Ηχοῦς. | Νίκης. | Σκεύη. |
| Θαλάττης. | Ξενοδοχεῖα. | Φιλοσόφων. |
| Θεῶν. | Οικους. | Ωρολόγια. |

# EPIGRAMMATVM GRAECORVM, IOANNIS BRODAEI TVRONENSIS SCHOLIIS illustratorum, Liber quartus.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΝΔΡΩΝ ΑΓΑΘΩΝ.

Εἰς εἰκόνα Γαβριήλου ὑπάρχου ἐν Βυζαντίῳ.
Λεοντίου σχολαστικοῦ.

ΚΑΙ φαέθων γραφίδεσιν ἔχει τύπον, ἀλλὰ χαράσσει
ἠελίου τέχνη, κρυπτομένων φαέων.
καὶ σὲ σοφὲ πολίαρχε γράφει Γαβριήλιε τέχνη,
ἐκτὸς σῶν ἀρετῶν, ἐκτὸς ὅλων καμάτων.

Θεαιτήτου.

Τοῦτον Ἰουλιανὸν νομικῆς φάος, ἅπον ἰδοῦσαι
ῥώμη καὶ Βερόη. πάντα φύσις δύναται.

Εἰς εἰκόνα Καλλινίκου κουβικλαρίου.
Λεοντίου σχολαστικοῦ.

Κάλλει μὲν νικᾷς κραδίης τόσον, ὅσσον ὀπωπῆς.
Σοὶ γὰρ ἐπωνυμίης ἄξια πάντα φέρεις.
αἰεὶ δ' ἐν θαλάμοισι κατευνάζων βασιλῆα,
πᾶσαν ὑποσπείρεις οὔασι μειλιχίην.

Εἰς εἰκόνα ἄρχοντος, ἐν Σμύρνῃ.
Θεοδωρήτου γραμματικοῦ.

Ἐκ Φιλαδελφείης ξεινήϊα ταῦτα Φιλίππῳ,
φράζεο πῶς μνήμων ἡ πόλις εὐνομίης.

Ἀδέσποτον.

Μνήμονες οἱ Κᾶρες πολέων εὐεργεσιάων,
Γαλμάτορ' ἰθυδίκην πόσον ἀγασάμενοι.

Εἰς εἰκόνα τινὸς σοφιστοῦ ἐν Περγάμῳ ἀνατεθεῖσαν
ἐπὶ πρεσβείᾳ πολιτικῇ. Ἀγαθίου.

Τὰς μὲν ὑπὲρ μύθων τε, καὶ εὐτροχάλοιο μελίσσης
εἰκόνας, ἱλήκοις, δηρὸν ὀφειλόμενος.
νῦν δ' ὑπὲρ ἱδρώτων τε, καὶ ἀσυνόχοιο μερίμνης,
τῇδέ σε τῇ γραφίδι στέψαμεν Ἡρακλάμμων.
εἰ δ' ὀλίγον τὸ γέρας, μὴ μέμφεο. τοῖσδε γὰρ ἡμεῖς
αἰὲν τοὺς ἀγαθοὺς ἄνδρας ἀμειβόμεθα.

Εἰς στήλην Λεοντίου σχολαστικοῦ τοῦ Μινωταύρου.

Πέτρον ὁρᾷς χρυσέοισιν ἐν εἵμασιν, αἱ δὲ παρ' αὐτὸν
ἀρχαὶ, ἀμοιβαίων μάρτυρές εἰσι πόνων,

αὐτολίης πρώτη, καὶ δὶς θαδὸν μετὰ τὴν δὲ
κόλχον πορφυρέης, καὶ πάλιν αὐτολίης.

Εἰς εἰκόνα Σωσιθέου σχολαστικοῦ ἐπὶ νίκῃ μάχης ἀνατεθεῖσαν ἐν Βηρυτῷ ἰωάννου ποιητοῦ τοῦ βαρβουκάλλου.

Οὐχὶ παρ' εὐρώταο μόνον ἀνδρῶν εἰσὶ μαχηταί,
οὐδὲ παρ' ἰλισσῷ μνάμονές εἰσι δίκας.
ὡς ἀπὸ τᾶς σπάρτας, ὡς αὐτᾶς ἄστυ ἀθάνας,
Σωσίθεον νίκα, καὶ θέμις ἠγάσατο.

Εἰς εἰκόνα Λογγίνου ὑπάρχου ἐν Βυζαντίῳ. Ἀραβίου σχολαστικοῦ.

Νεῖλος, πέρσις, ἴβηρ, σόλυμοι, δύσις, ἀρμένιοι, ἰνδοὶ
καὶ κόλχοι, σκοπέλων ἐγγύθι καυκασίων,
καὶ πεδία ζώοντα πολυσπερέων ἀγαρηνῶν,
Λογγίνου ταχινῶν μάρτυρές εἰσι πόνων.
ὡς δὲ ταχὺς βασιλῆι διάκτορος ἦεν ὁδοῖο,
καὶ ταχὺς εἰρήνην ὤπασε κλονεομένην.

Εἰς εἰκόνα Κρίσπου. Κριναγόρου.

Γείτονες οὐ τρισσαὶ μοῦνον τύχαι ἔπρεπον εἶναι
Κρίσπε, βαθυπλούτου σῆς ἕνεκεν κραδίης,
ἀλλὰ καὶ αἱ πάντων πᾶσαι, τί γὰρ ἀνδρὶ τοσῷδε
ἀρκέσει εἰς ἑτάρων μυρίων εὐφροσύνην;
νῦν δέ σε καὶ τούτων κρέσσων ἐπὶ μέζον ἀέξοι
Καῖσαρ. τίς κείνου χωρὶς ἄραρε τύχη;

Εἰς εἰκόνα ἀνατεθεῖσαν ἐν τοῖς Πλακιδίας ὑπὸ τῶν τοῦ νέου σκρινίου. Ἀγαθίου σχολαστικοῦ.

Θωμᾶν παμβασιλῆος ἀμεμφέα κηδεμονῆα,
ἄνθεσαν οἱ τὸ νέον τάγμα μετερχόμενοι,
θεσπεσίης ἄγχιστα συνωρίδος, ὄφρα καὶ αὐτῇ
εἰκόνι χῶρον ἔχῃ γείτονα κοιρανίης.
αὐτὸς γὰρ ζαθέοιο θρόνους ὕψωσε μελάθρου,
πλοῦτον ἀεξήσας, ἀλλὰ μετ' εὐσεβίης
εὔγνωμον τὸ πόνημα, τί γὰρ γραφὶς οἶδεν ὀπάσσαι,
εἰ μὴ τοῖς ἀγαθοῖς μνῆστιν ὀφειλομένην;

Εἰς εἰκόνα Θεοδοσίου, ἄρχοντος ἐν σμύρνῃ.

Τὸν μέγαν ἐν βουλαῖς Θεοδόσιον, ἄστιος ἀρχόν,
εἰκόνι μαρμαρέῃ στήσαμεν ἀνθύπατον.
οὕνεκα σμύρναν ἔγειρε, καὶ ἤγαγεν εἰς φάος αὖθις,
ἔργοις θαυμασίοις πολλὸν ἀειδομένην.

Εἰς εἰκόνα Δαμοχάριδος ἐν σμύρνῃ.

Δαμόχαρι κλυτόμητι, δικασπόλε, σοὶ τόδε κῦδος
ὅτι γε τὴν σμύρναν μετὰ λοίγια πήματα σεισμοῦ
ἐσσυμένως πονέων, αὖθις πόλιν ἐξετέλεσας.
πᾶσα φύσις βασίλεια, τεὸν κράτος ἀμφὶς ἀείδει,

οὕνε-

οὕνεκα δυσμενέων στίχας ὤλεσας, οὕνεκα φέγγος
ἀνδράσι σωφρονέουσι κακῶν μετὰ δῆριν ἀνῆψας,
ἱππολύτης δ' ἐκέδασσας ὁμόγνια πήματα χάρμης.

Εἰς εἰκόνα Θεοδώρου ἄρχοντος.

Ῥητῆρα Θεόδωρον ἐμέλλομεν εἰς ἓν ἰόντα,
χρυσέαις γραφίδεσσιν ἀειμνήστοισι γεραίρειν,
εἰ μὴ χρυσὸν ἔφευγε καὶ ἐν γραφίδεσσιν ἐόντα.

Εἰς τὴν ἀναβλιθικὴν πύλην θεσσαλονίκης.

Ἠνορέης ὀλετῆρα ὑπερφίαλον Βαβυλῶνος,
καὶ σέλας ἀκτινώνοιο δίκης βασίλειον ὕπαρχον
ξεῖνε νόῳ σκίρτησον, ἰδὼν ἐφύπερθε πυλάων.
ξυνομίης ποτὶ χῶρον ἀριστογένεθλον ὁδεύεις.
βάρβαρον οὐ τρομέεις, οὐκ ἀρρένας ἀρρενοκοίτας.
ὅπλα λέκων. σὺ δὲ τεῖχος, ἔχεις βασίλειον ἄγαλμα.

Ἄδηλα.

Νικήταν θρασύτολμον, ἄναξ, στρατός, ἄστεα, δῆμος,
στῆσαν ὑπὲρ μεγάλων μυθοφόνων καμάτων.

Εἰς τὸν αὐτόν.

Τὸν μέγαν ἐν πολέμοισι, τὸν ἄτρομον ἡγεμονῆα
Νικήταν, ἀρετῆς εἵνεκεν, οἱ πράσινοι.

Πρόκλος ἐγὼ Παύλου Βυζάντιος. ὃν περὶ δῶμα
τηλεθάοντα δίκης, βασιλήϊος ἤρπασεν αὐλή,
ὄφρ' εἴη στόμα πιστὸν ἐριθηγέος Βασιλῆος.
ἀγγέλλει δ' ὅδε χαλκός, ὅσον γέρας ἔσχεν ἀέθλων.
καὶ τὰ μὲν, ἔκελα πάντα καὶ ἦεν, καὶ γενετῆρι.
ἐν δ' ὑπάτων ῥάβδοισι, πάϊς νικῆσε τοκῆα.

Ἀπολλωνίδου.

Θάμασεν τὸν Κινύρην ὁ πάλαι χρόνος, ἢ Φρύγας ἄμφω,
σὸν δὲ Λέων ἡμεῖς κάλλος ἀεισόμεθα.
ἱεραφίδιε πορίβωτε, μακαρτάτη ἔσσ' ἄρα νήσων
καὶ ῥόδος, ἢ κείῳ λάμπεται ἠελίῳ.

Εἰς τὸν αὐτόν.

Εἰ τοιόσδε Λέων λάχεν ἀντίος ἡρακλῆϊ,
οὐκ ἦν ἀλκείδαο πόνος ὁ δωδέκατος.

Εἰς τὴν ἀνατολικὴν πύλην
θεσσαλονίκης.

Μορφὰς ὁ γράψας, ἤθελον καὶ τοὺς τρόπους.
ἀντεστέρησε δέ μου τὴν ὄρεξιν ἡ τέχνη.
πάλαι δέ μ' ἀλέξανδρον ἄλαλον φίλος.

Μητροδώρου.

Αὐτὸν Ἰωάννην ὁ γράφων ὅτ' ἐδήξατο θυμός,
εἶπεν ἀναβλύζας, αὖθις ἔχω σε Σόλων.

ἱερὸν πο-

Ioannis Brodæi Turoneñ. Scholia.

KΡΥΠΤΟΜΕΝΩΝ φαέων. neq; solis lumen depingere, neq; tuas uirtutes exprimere ualent pictores & marmorarij. καμάτων. laborum, quos in administranda republica sustines. εἰς ἰουλιανόν. Tēpore Hadriani principis Saluius Iulianus iurisc̄osultus patria Mediolanensis omnia prætorum edicta in unum collegit, & sub congruis titulis posita interpretatus est, cœperuntq; tum pretores congesta ab Iuliano edicta sequi, non autem ipsi noua proponere. huius mentio est Spartiano, Dioni, & Eutropio. νομικῆς φάος. in iure peritissimus. κάλλει ἐκράδης. omnes probitate antecellis. ἐπώνυμος. cui κωμίνικος nomen est. βασιλῆα. Constantinopolitanum imperatorem. ἐκ φιλαδελφέης. Philadelphea Lydiæ urbe. συνομάης. Philippi. παλαμάων. palmarū. εὐδίκην. εὐθυδίκην. ἐστήσαμεν aut ἀνατεθήκασιν subaudiēdū. idq; mox sæpenumero. μύθων τε, καὶ γλυκοχείλοιο μελίσσης. dicendi peritiæ & oratorij muneris ergo. ἱλήκοις. ἵλεως εἴης. θυμήνης χάριν. συγγνώμην ἔχε. nobis ignosce. ἱλήκοι. τῷ θυμήρεϊ ἔστω. sic ille. ἱλήκοις διόνυσε τοῖς ἀμέλλησι χορείης. ἀσυνόχοιο μερίμνης. ob multas in obeūda legatiōe regēdaq; urbe solicitudines. ἡρακλάμμων. Heraclamon. δὶς δὲ γάρ. honoribus. ἀντολίης πρώτη. ἀρχή. primū in orientis partibus, alterū in regione Colchica magistratū gessit. πορφυρέης. an nigrę & obscurę ob cōfines Colchis Cimmerios. ζόφος quippe Homero septētrio est. an splēdidæ prouinciæ à summis magistratib. administrari solitę. aut πορφυρέης. purpura enim erat insigne Romanorū magistratuū. & pro eis à Plinio & Martiale ponit. Athenæus censorib. τὴν περιπόρφυρον, id est prætextā attribuit. Polybius eos toga purpurea induit. οὗτοι περισαναλαμβάνουσιν ἐσθῆτας. ἐὰν μὲν ὕπατος ἢ στρατηγὸς ᾖ γεγονώς, περιπορφύρους. ἐὰν δὲ τιμητὴς, πορφυρᾶς. ἐὰν δὲ καὶ τεθριαμβευκὼς ἤ τι τοιοῦτον κατειργασμένος, διαχρύσους. omnes aūt Romanos magistratus preter tribunū plebis, prætexta ornari potuisse docet τῶν ῥωμαίων. Plutarchus. παρ' εὐρώτᾳ. Lacedæmonij. παρ' ἰλισσῷ. Athenienses. qui in eo ab Aristophane reprehēdunt. ἀθηναῖοι δὲ ἀεὶ ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον. πάντα τὸν βίον. emēda. & in pace. οὐδὲν γὰρ δρᾶτε πλὴν δικάζετε. fuerūt & antiqui Rhetores Atheniēses fere omnes. Ilissus Atticæ, Eurotas Laconiæ flumen est. ὡς ἀπὸ τῆς ἀρετῆς. ut Atheniēsem themis, ut Spartanū uictoria. νεῖλος. Aegyptus. ἴβηρ. Hiberi. δύσις. occidēs. ζώοντα. scribe ζέοντα. calida. πολυσπερέων. σπείρω. spargo, semino. ἀγαρηνῶν. Agarenorū. Arabiæ populorū. Dion in Traiano. Mox Arabiā petijt Agarenosq; rebellātes adortus est. Dauid Psal. 83. eos inter Iudæorū hostes enumerat. λογγῖνος, is est Longinus, quem in Italiam præfectum misit Iustinianus, ut Narsetis locum obtineret. Est alius Suidæ Longinus, Euagrio lib. tertio, & Dioni Cassio in uita Traiani. βασιλῆϊ. Iustiniano. οὐ προσσόα. iuxta imaginem tuam collocata. τύχαι. tria fortunarum signa. ἀρκέσει. par erit. sufficiet. μυχίων. μυχίον. τῶνδε. præsentium. ἅδησε. placuit. congruit. συνωρίδος. prope binas imperatorum imagines. συνωρὶς proprie biga est. αὐτῇ εἰκόνι. non solum corpore. κοιρανίης. domini. ὕψωσε. opibus & autoritate. τὸ πόνημα. statua. πολλῶν ἀειδομένην. hanc omnium urbium pulcherrimam appellat Philostratus, de qua in Arcadic. Pausan. Herodotus in Clio & Stephanus. τὸ μετὰ τὸν σεισμόν. Philostratus περὶ ἀριστείδου. οἰκιστὴν δὲ καὶ τὴν ἀριστείδην τῆς σμύρνης, οὐκ ἀλαζὼν ἔπαινος, ἀλλὰ δικαιότατός τε καὶ ἀληθέστατος. τὴν γὰρ πόλιν ταύτην ἀφανισθεῖσαν ὑπὸ σεισμῶν τε καὶ χασμάτων, οὕτω τι ὠλοφύρατο πρὸς τὸν μάρκον, ὡς τῇ μὲν ἄλλῃ μονῳδίᾳ θαμὰ ἐπιστενάξαι τὸν βασιλέα. Et alius. σεισμοῦ γὰρ κατηρειπηκότος τὴν σμύρναν, ἔγραψε λόγον περὶ τῆς πτώσεως αὐτῆς πρὸς τὸν βασιλέα ἀντωνῖνον, ὃν ἀντωνῖνος ἀναγνοὺς, εὐθέως ἐδάκρυσε, καὶ πέμψας ἀνῴκισεν αὐτήν. αὖθις πόλιν. prius

euersam. δυσμενέων. hostium. χάρμης. Smyrnam terræ motu prostratam, nec
leuiora ob contentiones & seditiones ciuium damna passam quam si ab hosti-
bus aut ut olim à Scythis & Amazonibus Hyppolita duce esset excisa restitui
sti. aut ἱππολύτης equos & equites interficientis. ῥητῆρες. rhetores. γραφίδεσ-
σιν. imaginibus. ὀλετῆρα. Alexandrum magnum. ὑπερφίαλον. ἡ μεταφορὰ ἀπὸ
τῆς φιάλης. τὸ γὰρ πληθύνον αὐτῆς ὑπερφίαλον, ἀντὶ τοῦ ὑπὲρ μέτρον. ὑπερφίαλοι, οἱ
ὑπὲρ τὴν ἱερὰν φιάλην ποιοῦντες, ἤγουν ἄπιστοι, ποτὲ μὲν ἐπὶ ψόγου, ποτὲ δὲ ἐπὶ ἐγκω-
μίου. ὑπερφίαλοισι μεθ' ἡμῖν ἀντὶ τοῦ ἀγαθοῖς. hæc grammatici. ἀκτεάνοιο. nullis
muneribus corruptæ. βασιλεῦσιν, imperatoris. πυλάων. Thessalonicæ. φινομένης
χῶρον ἐν ᾧ δίκης σέλας, ὕπαρχος βαρβάρων. regem Persarum, cui terrorem ad-
fert Alexandri imago. ἀρρηνοποίτας. Persas. à quibus dictu obscenas libidines
effluxisse qui opinantur non desunt. quamuis eas excogitasse Thamyrim ci-
tharœdum aut Orpheum, & in Græcia peruulgasse multorum literæ loquan-
tur. Quidam à Cretensibus, plerique à Laio originem habuisse. Aelianus. ἔρα-
σθῆναι πρῶτον γῆμασθαι παιδικῶν λέγουσι λαΐου, ἁρπάσαντα χρύσιππον τὸν πέλο-
πος, καὶ ἐκ τούτου τοῖς θηβαίοις ἐν τῶν καλῶν ἐδόκει τὸ τῶν ὡραίων ἐρᾶν. ὅπλα λαλκων.
λαμβανέτω. saga sumant Lacones urbem sine mœnibus incolentes, armis sane
non indigent quibus Alexandri effigies pro muro est. βασιλέου. Alexandri. μη-
δοφόνου. quod Persas occidione occiderit. οἱ πράσινοι. Prasina factio ἀνέθηκαν.
posuit. παύλου. υἱός, περὶ δῶμα δίκης. iudicem, aut causarum patronum. σῶμα πι-
στόν. à secretis, non nomenclator. Procopius. Iulianus secretorum scriba erat,
quod munus à secretis Latini uocant. Quid si Silentiarium interpretemur, mi-
nistrum ad ea quæ sunt quietis ex eodem Procopio. Silentiarios nunc spectabi
les nunc clarissimos appellat Iustinianus, proinde in summo dignitatis culmi-
ne constituisse non est dubium. nam & Suidas de Anastasio sic inquit. Anastasi-
us Silentiarius postea imperator designatus. σῶμα. Sophocli in Aiace Mastigo
phoro σώματα est. ἐθηλώθην σῶμα. καὶ ἔτι. Proclo. καὶ γῆμετῆρε. Paulo. ἐν δ' ὑπά-
των ῥαβδοῖσι. Plures gessit consulatus pater quam filius. Lictores qui carni-
ficis officio fungebãtur ministri erant consulũ, proconsulum & similiũ sed con
sulis duodecim erant, aliorum seni tantum. portabantque uirgarũ fasces securi-
bus alligatos, magistratusque præibant. τὸν κινύρην. Cinyram Eurimedontis fili-
um Cypri regem Cypriæque Veneris sacerdotem, hominem formosissimum,
quem Apollo adamauit. Pindarus. κελαδέοντι μὲν, ἀμφὶ κινύραν πολλάκις φᾶ-
μαι κυπρίων, τὸν ὁ χρυσοχαίτας προφρόνως ἐφίλασ' ἀπόλλων, ἱερέα κτίλον ἀφροδίτας.
Troiani belli temporibus ex Homero Iliad. λ. uixisse liquet. δεύτερον αὖ θώρηκα
περὶ στήθεσσιν ἔδυνε, (Agamemnon) τόν ποτέ οἱ κινύρης δῶκε ξεινήιον εἶναι. huius
ex Fulgentio & Ouidio tantum est execrandum stuprum. ἢ φρύγας ἄμφω. Ga-
nymedem & Paridem. hos malo quam Atym nominare. Homerus Iliad. γ. δύ-
σπαρι εἶδος ἄριστε. Et. οὕνεκα καλὸν εἶδος ἔπι. Et. τὸν δ' αὖτε προσέειπεν ἀλέξανδρος
θεοειδής. de Ganymede abunde supra. κορκαφίδη. Rhodie. λάμπεται. λάμπεται.
ἠελίῳ. Rhodi & Syracusis nunquam tanta nubila obduci ferunt ut non aliqua
hora sol cernatur. ad solem urbis tutelarem autoremque deum atque eius Colos-
sum subest allusio. εἰ τοῖος δὲ λέων. Herculem superasset pueri leonis forma.
Leonem nemeum & Hylam ab Hercule dilectum intuetur Apollonides. τὸ
δωδέκατον. ἄεθλον. ἤθελον. uoluissem. ἀνεσείρασε, commouisset. traxisset. εὔ-
λαλον. ἄλκιδα. ἔχω σε σόλων, integrum castum'que iudicem. Thesmote-
tam. Nomophylacem.

## ΕΙΣ ΑΓΩΝΙΣΤΩΝ ΕΙΚΟΝΑΣ.

Μακεδονίου ὑπάτου.

Τῷ ξοάνῳ τὸν παῖδα Θυώνιχον, οὐχ ἵνα λεύσσῃς
 ὡς καλὸς ἦν, τῇδε μνήματος ἀγλαΐα,
ἀλλ' ἵνα σοι τὸν ἄεθλον, ὃν ἐξεπόνησε μαθόντι
 ὦ 'γαθὲ, τᾶς αὐτᾶς ζᾶλος ἔοι μανίας.
οὗτος ὁ μὴ κλίνας καμάτῳ πόδα, πάντα δ' ἀγῶνα
 ἄλιπα νικάσας, ὁπλότερον, πρότερον.

Φιλίππου.

Ἴσως με λεύσσων ξεῖνε ταυρογάστορα,
 καὶ στρόγγυλον ὡς ἄτλαντα δεύτερον,
 θαμβεῖς, ἀπιστῶν εἰ βρότειος ἡ φύσις.
 ἀλλ' ἴσθι μ' ἥρω λαδικῆα πάμμαχον,
 ὃν σμύρνα, καὶ δρῦς περγάμου κατέστεφεν,
 δελφοὶ, κόρινθος, ἦλις, ἄργος, ἄκτιον.
 λοιπῶν δ' ἀέθλων ἢν ἐρευνήσῃς κράτος,
 καὶ τὴν λίβυσσαν ἐξαριθμήσεις κόνιν.

Εἰς δρομέα. Ἄδηλον.

Λάδας τὸ στάδιον εἴθ' ἥλατο, ἔτε διέπτη,
 δαιμόνιον τὸ τάχος, οὐδὲ φράσαι δυνατόν.

Εἰς τὸν αὐτόν.

Οἷος ἔης φεύγων τὸν ὑπήνεμον ἔμπνοε Λάδα,
 θυμὸν ἐπ' ἀκροτάτῳ πνεύματι θεὶς ὄνυχα,
τοῖον ἐχάλκευσέ σε Μύρων ἐπὶ παντὶ χαράξας
 σώματι, πισαίου προσδοκίην στεφάνου.
πλήρης ἐλπίδος ὀξύν. ἄκροις γ' ἐπὶ χείλεσιν ἆσθμα
 ἐμφαίνει, κοίλων ἔνδοθεν ἐκ λαγόνων.
πηδήσει τάχα χαλκὸς ἐπὶ στέφος. οὐδὲ καθέξει
 ἁ βάσις. ὦ τέχνη, πνεύματος ὠκυτέρα.

Ἀλκαίου.

Οἷον ὁρᾷς ὦ ξεῖνε τὸ χάλκεον εἰκόνι λῆμμα
 Κλειτομάχου, τοίαν ἑλλὰς ἐσεῖδε βίαν.
ἄρτι γὰρ αἱματόεντα χερῶν ἀπελύετο πυγμᾶς
 ἔντεα, καὶ γοργῷ μάρνατο παγκρατίῳ.
τὸ τρίτον οὐκ ἐκόνισεν ἐπωμίδας. ἀλλὰ παλαίσας
 ἀπτὼς τοὺς τρισσοὺς ἰσθμόθεν εἷλε πόνους.
μοῦνος δ' ἑλλάνων τόδ' ἔχει γέρας. ἑπτάπυλοι δὲ
 θῆβαι καὶ γενέτωρ ἔστεφεν ἑρμοκράτης.

Τρωΐλου γραμματικοῦ.

Εἰκὼν, τίς σ' ἀνέθηκε, τίνος χάριν, ἢ τίνι λέξον.
 ἀντὶ παλαισμοσύνης θῆκε Λύρωνι πόλις.

Ταύτην Εὐσεβίῳ Βυζαντιὰς εἰκόνα ῥώμῃ
 προσδιοσσᾶς ἑτέρας εἵνεκεν ἱπποσύνης.

οὐ γὰρ ἐγ' ἀμφήριστον ἑλὼν ἐστέψατο νίκην,
ἀλλὰ πολὺ κρατέων ποσί, καὶ ἰσόρροπον.
οὕνεκεν ἀντιβίων ὅριον ἐσβέσσεν. ἀλλὰ καὶ αὐτὴν
δήμου τὴν πρότερην παισὶ δεχοστασίην.

Ἐξ ξοάνῳ. donauimus subaudi, aut potius metire. λεύσσεις. uideas. μνήματος. imaginis. ἔοι. esset. μανίας. desiderij. ἄλικα νικήσας. æquales suos semper uicit. ὁπλότερον. nõ solum Ephebos adolescens sed etiam uir (πρότερον) uiros domuit: quæ Thyonici uirtus quia duobus aut ad summum tribus Olympionicis contigit, ut refert in Politicis Aristoteles, quamuis aliquot numeret Pausanias, præconio efferri meret. ἢ βρότεος ἡ φύσις. humana. num potius mõstrum aliquod. ἥρων. Heran Laodicensem παμμάχον. in omni certaminum genere exercitatissimum. καὶ δρυὸς περγάμου. Pergamenorum ludorum præmium, quorum meminit Dion lib. 51. Dionysius Alicarnasseus. μὴ παρέργως δὲ μηδὲ αὐτὸν τὸν στέφανον παρέλθῃς ὅς τις ἐστί. οὐδὲ γὰρ ἐν τούτῳ γενόμενος ἀπορήσεις ἐπαίνου. τὴν μὲν δρῦν, ὅτι ἱερὰ Διός, καὶ ὅτι ἡ πρώτη καὶ πρεσβυτάτη τῶν ἀνθρώπων, καὶ ὅτι οὐκ ἄφωνος, ἀλλὰ καὶ ἐφθέγξατό ποτε ἐν Δωδώνῃ. εἰ δὲ ἐλαία, ὅτι ἱερὰ τῆς Ἀθηνᾶς, καὶ ὅτι ἄκος πόνων, καὶ ὅτι τὰ βραβεῖα ἀπὸ τούτου τοῦ φυτοῦ ἀνέθεσαν οἱ παλαιοί, καὶ ὅτι τῆς νίκης ἐστὶ σύμβολον τὸ φυτόν, καὶ ὅτι ἡ Ἀθηνᾶ τούτῳ πρώτῳ ἐστέψατο νικήσασα τὸν Ποσειδῶνα. καὶ ὅτι οἰκειότατον τοῖς ἀγωνιζομένοις. τὰ γὰρ γυμνάσια διὰ τοῦ ἐλαίου διαπονεῖται. καὶ ὅτι συναγωνίζεται πρὸς τὸν λόγον δι' οὗ πανηγύρεις κοσμοῦνται. καὶ τὴν δάφνην δὲ ὁμοίως, ὅτι καὶ ἱερὰ τοῦ Ἀπόλλωνος, καὶ μαντικὸν τὸ φυτόν. εἰ δὲ βούλει καὶ τοῦ μύθου ἐφάπτεσθαι τοῦ περὶ τῆς Δάφνης, οὐδὲ τοῦτο ἂν εἴη ἀπὸ τρόπου ἀνειρημένον. quercu cur coronentur qui in acie ciuem Romanum seruassent à Plutarcho in Coriolano & Aulo Gellio disces. πίτυινος. Isthmia. ἦλις. Olympia. ἄργος. Pindari interpres, τελεῖται κατὰ τὸ ἄργος, τὰ ἥραια, ἃ καὶ ἑκατόμβαια καλεῖται παρὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ θεῷ. τὸ δὲ ἔπαθλον, ἀσπὶς χαλκῆ, ὁ δὲ στέφανος ἐκ μυρσίνης. ἄκτιον. Trãquil. in Octauio. Quoque Actiacæ uictoriæ memoria celebratior in posterum esset, urbem Nicopolim apud Actium condidit ludosque illic quinquennales constituit. Eadem Strabo libro septimo, & Dion 51. καὶ τὴν λίβυσσαν. quantus sit harenæ Libycæ numerus compertum habebis. λάδας τὸ στάδιον. Pausanias in Corinthia. τοῦ ναοῦ δέ ἐστιν ἐντὸς Λάδας, ποδῶν ὠκύτητι ὑπερβαλλόμενος τοὺς ἐφ' αὑτοῦ. Solinus. Primam palmam uelocitatis Ladas quidam adeptus est, qui ita supra puluerem cursitauit, ut arenis pendentibus nulla indicia relinqueret uestigiorum. Iuuenalis. locupletem optare podagram nec dubitet Ladas. ἥλατο. saltauit. διέπτη. euolauit. τὸν ὑπηνέμιον. an celerrimum. Posidippus. ἵππαι ὑπηνέμιος. an quo modo Sophocles. καθύπερτ' ἄκρον ἐκ πάγων ὑπηνέμιοι. annotationes. ὑπηνέμιοι ἀντὶ τοῦ ὑπὸ τὸν ἄνεμον, οὐκ ἐναντίον τοῦ ἀνέμου. θυμόν. impetum. cum impetu proruentem aduersariũ. ἐπ' ἀκροτάτῳ ποδὶ μαλ. summum aerem pedibus superans (id est uolans) nec humum attingens. Q. Calaber. lib. octauo. οἳ τε καὶ ἀτρύγετον πέλαγος διὰ ποσσὶ θέουσι ἄκρ' ὀνύχων ψαύοντες. summas undas ungulis stringentes. θεὶς ὄνυχα. pedem synecdochicõs. Leonidas. τῷ χιμαροβάτᾳ τελέσων αἰγονύχι πανί. capripedi. πισαίου. Pausanias in Laco. καὶ Λάδα μνῆμά ἐστιν ὠκύτητι ὑπερβαλομένου ποδῶν τοὺς ἐπ' αὐτοῦ. καὶ δὴ καὶ ὀλυμπιάσιν ἐστεφανώθη δολιχοῦ κρατῶν. δοκεῖ δέ μοι κάμνων αὐτίκα μετὰ τὴν νίκην κομίζεσθαι. καὶ συμβέβηκεν ἐνταῦθα οἱ τελευτῆς ὁ τάφος ἐστὶν ὑπὲρ τὴν λεωφόρον. ἆθλι στέφος. cursus certamen & uictoriam. ὁρῇς. aspicis. λῆμα. θράσος. φρόνημα. τὸ χάλκεον. in eius statua ex ære cõflata. κλειτομάχου. Suidas in uoce κλειτόμαχος. Plutarchus libro sympos. 7. & Aelianus. κλειτόμαχος δὲ ὁ παγκρατιαστής, εἴποτε καὶ κύνας εἶδε συμπλεκομένους, ἀπεστρέφετο. καὶ ἐν συμποσίῳ εἴ τις ἀφροδίσιος λόγος παρεβρύη, ἀναστὰς

ἀπῆλ

ἀπηλλάττετο. πυγμᾶς ἔντεα. Cestus, pugilatus arma. ea quæ essent ostendit Virgil. Aeneid. 5. & Theocrit. Idyll. κϛ. ἐπωμάδας, ab antagonista prostratus non est. ut. νῶτον ὑπὸ ἀντιφεράγγοισιν. ἀπτώς. inuictus. qui nō cecidit. Leonidas. ἄπτωτα τέλεια τὰ γέρα. ὀλυμπιονίκης, ἰσθμιονίκην. Pausanias Elia. β. Κλειτομάχου δὲ θηβαίου τὴν μὲν εἰκόνα ἀνέθηκεν ἑρμοκράτης ὁ τοῦ κλειτομάχου πατήρ. τὰ δὲ οἱ ἐς δόξαν ἦν τοιάδε· ἐν ἰσθμῷ παλαιστὰς κατεπάλαισεν ἄνδρας, ἐν δὲ ἡμέρᾳ τῇ αὐτῇ τούς τε τῇ πυγμῇ καὶ τοὺς ἐς τὸ παγκράτιον ἐσελθόντας ἐκράτει τῇ μάχῃ. αἱ δὲ πυθοῖ νῖκαι παγκρατίου μέν εἰσιν αὐτῷ πᾶσαι. τρεῖς δὲ ἀριθμὸν &c. ἑπτάπυλοι θῆβαι. Boetiæ, portarū nomina habet in Phœnissis Euripides & Paus. in Bœot. Βυζαντιὰς ῥώμη. Cōstātinopolis. Steph. μετωνομάσθη δὲ καὶ κωνσταντινόπολις καὶ νέα ῥώμη. Ecclesiastica historia. & denominatā Cōstantinopolim appellari secundā Romā lege firmauit. ἁπλῶς quoq; Romā uocari in hisce libris animaduertis. Paul. Silentiarius. ἄξιον ὦ ῥώμη. Et alius. σῆς ῥώμης γενέτης. Iustiniani quoq; milites ῥωμαῖοι à Procopio appellant. ἐστρας. εἰκόσιν. statuis. εἵνεκεν ἱπποσυνῶν. posuit. ἑλὼν νίκην. uictor. ὅτιν ἐσβόλων. cum quo certare auderet nemo. δήμου ἑκατέρου. huic aut illi fauentis.

ΕΙΣ ΕΙΚΟΝΑΣ ΒΑΚΧΩΝ.

Εἰς βάκχην ἐν Βυζαντίῳ, Παύλου σιλεντιαρίου.

Ἔκφρονα τὴν βάκχην, οὐχ ἡ φύσις, ἀλλ' ἡ τέχνη
θήκατο, καὶ μανίην ἐγκατέμιξε λίθῳ.

Εἰς τὸ αὐτό.

Ἴσχετε τὴν βάκχην, μὴ λαϊνέην περ ἐοῦσαν,
οὐδὸν ὑπερθεμένη, νηὸν ὑπεκπροφύγῃ.

Εἰς τὸ αὐτό. Ἀγαθίου σχολαστικοῦ.

Οὔπω ἐπισταμένην τὰ κύμβαλα χερσὶ πατάξαι,
βάκχην αἰδομένην στήσατο λαοτύπος.
οὕτω γὰρ προνένευκεν. ἔοικε δὲ τοῦτο βοώσῃ,
ἔξιτε, καὶ παταγῶ, μηδ' ὁρῶσ' ἱσταμένου.

Σιμωνίδου.

Τίς ἅδε; Βάκχα. τίς δέ μιν ξέσε; Σκόπας.
τίς δ' ἐξέμηνε, βάκχος, ἢ Σκόπας; Σκόπας.

Γλαύκου ἀθηναίου.

Ἁ βάκχα παρία μέν, ἐψύχωσε δ' ὁ γλύπτας
τὸν λίθον. ἀνθρώσκει δ' ὡς βρομιαζομένα.
ὦ Σκόπα, ἁ θεοποιὸς ἐμήσατο, μήσατο τέχνα
θαῦμα χιμαιροφόνον, θυάδα μαινομένην.

Γλαύκου.

Ἡ βάκχη κρονίδην σάτυρον θέτο. ἐς δὲ χορείαν
θρώσκει μαινόμενος, ὡς βρομιαζόμενος.

ἴσχετε. continete. οὐδόν. limen. κύμβαλα. quæ pulsant thyades. ἔοικε δὲ τοῦτο βοώσῃ. uidet haec proferre. μηδ' ὁρῶσ' ἱσταμένη. esse enim uerecundā dixit. ξέσε. scalpsit. poliuit. ἐξέμηνε. in insaniam impulit. βάκχος. Bacchus Mænadas in furias agens. σκόπας. qui μανίην ἐγκατέμιξε λίθῳ. παρία. è marmore pario candidissimo. hinc Maroni paros niuea. βρομιαζομένα. debacchans. ἁ. scribe ἃ. quæ τέχνα. ars statuaria. χιμοροφόνον. castiga χιμαιροφόνον. κρονίδην. an ualde senem, an Io-

 ucm

uem in satyrum conuersum quo habitu Antiopem deperijt. θέτο. posuit. καὶ νέμθος. tametsi lapideus sit.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΒΑΣΙΛΕΩΝ.

Εἰς Νέρωνος. Κριναγόρου.

Ἀντολίαι, δύσιες, κόσμου μέτρα, καὶ τὰ Νέρωνος
ἔργα, δι' ἀμφοτέρων ἵκετο γῆς περάτων.
ἥλιος ἀρμενίην ἀνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
κείνου, γερμανίην δ' ἔχε κατερχόμενος.
δισσὸν ἀειδέσθω πολέμου κράτος. οἶδεν ἀράξης,
καὶ ῥῆνος, δούλοις ἔθνεσι πινόμενοι.

Εἰς στήλην ἰουστινιανοῦ βασιλέως
ἐν τῷ ἱπποδρόμῳ.

Ταῦτά σοι ὦ βασιλεῦ μηδοκτόνε, δῶρα κομίζει
σῆς ῥώμης γενέτης, καὶ παῖς Εὐστάθιος,
πῶλον ὑπὲρ νίκης, νίκην στεφανηφόρον ἄλλην,
καὶ σὲ μετηωρεύμενον πώλῳ ἐφεζόμενον,
ὕψος ἰουστινιανὲ τεὸν κράτος. ἐν χθονὶ δ' αἰεὶ
δεσμὸς ἔχοι μήδων, καὶ σκυθέων προμάχους.

Εἰς τὸ αὐτό.

Πῶλον ὁμοῦ, καὶ ἄνακτα, καὶ ὀλλυμένην Βαβυλῶνα,
χαλκὸς ἀπὸ σκύλων ἔπλασεν ἀσσυρίων.
ἔστι δ' ἰουστινιανός. ὃν ἀντολίης ζυγὸν ἕλκων,
στῆσεν ἰουλιανὸς μάρτυρα μηδοφόνον.

Εἰς στήλην τοῦ αὐτοῦ ἐν τῷ λιμένι.

Τοῦτο παρ' αἰγιαλοῖσιν ἐγὼ θεόδωρος ὕπαρχος,
στῆσα φαεινὸν ἄγαλμα ἰουστινιανῷ βασιλῆϊ.
ὄφρα καὶ ἐν λιμένεσσιν ἑὴν πετάσειε γαλήνην.

Εἰς ἔσοδον τῆς ἱερείας.

Τοῦτον ἰουστινιανὸς ἀγακλέα δείματο χῶρον,
ὕδατι, καὶ γαίῃ, κάλλος ἐπικρεμάσας.

Ἀδήλου.

Κοίρανοι, ὑμετέρην ἀρετήν, κάρτος τε, καὶ ἔργα,
αὐδήσει χρόνος αἰέν, ἕως πόλος ἀστέρας ἕλκει.

Εἰς στήλην θεοδοσίου βασιλέως.

Ἔκθορες ἀντολίηθε φαεσφόρος ἥλιος ἄλλος,
θευδόσιε θνητοῖσι πόλου μέσον ἠπιόθυμε,
ὠκεανὸν παρὰ ποσσὶν ἔχων μετ' ἀπείρονα γαῖαν
πάντοθεν αἰγλήεις κεκορυθμένος, ἀγλαὸν ἵππον
ῥηϊδίως μεγάθυμε καὶ ἐσσύμενον κατερύκων.

Καλλιάδης στρατηγὸς βυζαντίου, τὸ περιβόητον
τοῦ βύζαντος ἄγαλμα, ἐπὶ τῇ καλουμένῃ βα-
σιλικῇ ἀνέθηκεν ἐπιγράψας οὕτω.

Τὸν κρατερὸν Βύζαντα, καὶ ἱμερτὴν φιδάλειαν,
ἐν ἑνὶ κοσμήσας ἄνθετο Καλλιάδης.

Εἰς

Εἰς τὸ αὐτό.

Ἱμερτὴ φιλάλεια δάμαρ Βύζαντος ἐτύχθην.

Εἰς εἰκόνα Πεισιστράτου.

Τρίς με τυραννήσαντα, τοσαυτάκις ἐξεδίωξε
δῆμος Ἐρεχθειδῶν, καὶ τρὶς ἐπηγάγετο,
τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον
ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,
εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.

Εἰς εἰκόνα Βερενίκης. Ἀσκληπιάδου.
οἱ δὲ, Ποσειδίππου.

Κύπριδος ἅδ' εἰκών. φέρ' ἰδώμεθα μὴ Βερενίκης.
διστάζω ποτέρᾳ φῇ τις ὁμοιοτέραν.

Γεμίνου.

Οὗτος ὁ Κεκροπίδαισι βαρὺς λίθος, ἄρει κάμακα
ξεῖνε, Φιλιππείης σύμβολον ἠνορέης,
ὑβρίζων Μαραθῶνα, καὶ ἀγχίαλον Σαλαμῖνος
ἔργα, Μακηδονίοις ἔγχεσι κεκλιμένα.
ὄμνυε νῦν νέκυας Δημόσθενες. αὐτὰρ ἔγωγε,
καὶ ζωοῖς ἔσομαι, καὶ φθιμένοισι βαρύς.

Ζήνωνα πολίαρχος Ἰουλιανὸς βασιλῆα.
Ζήνωνος παράκοιτιν Ἰουλιανὸς Ἀριάδνην.

Οἶκον ἄναξ Ἑλικῶνος ἀνηβήσαντα νοήσας,
κυδαλίμοις καμάτοισιν Ἰουλιανοῦ πολιάρχου,
Πιερικῶν προπάροιθε δόμων, παγχρύσεος ἔστη.

Κῦδος Ἰουλιανοῦ πανάοιδιμον, ὃς μετὰ κόσμον
Πιερίδων, χρυσέην στῆσεν Ἀναστασίην.

Ἐς εἰκόνα Ἰουστινιανοῦ
βασιλέως.

Ἄλλον ὑπὲρ νίκας φαρηφόρον ἔνδοθι στήσων;
ὁ θρασὺς ἀντήσει Μῆδος ἄνακτι τύπον.
ἄλλον ἀκειρεκόμας Ἀβάρων στρατὸς ἔκτοθεν ἵστου
κείρας ἐκ κεφαλῆς βόστρυχον αὐσταλέης.
τόνδ' ὑπὲρ εὐνομίας ἐρίκλεος ἐνθάδε ἔστησεν
ἐξ ὑπάτου μέτρης στῆσεν ἄνασσα πόλις.
ἔμπεδος ἀλλὰ μένοις Βυζαντιὰς ἄμμορε Ῥώμα,
θεῖον Ἰουστινιανοῦ κάρτος ἀμαψαμένα.

Ἀντιπάτρου.

Ζηνὶ, καὶ Ἀπόλλωνι, καὶ Ἄρει, τέκνον ἀνάκτων
εἴκελον εὐτεκίη ματρὸς εὐτυχίη.

πάντα τοι ἐκ μοιρέων βασιλήια, πάντα τέλεια
ἤλυθεν. ἐποιήθης δ' ἔργον ἀοιδοπόλων.
Ζεὺς σκῆπτρον βασίλειον, ἄρης δόρυ, καλλοσύνην δὲ,
φοῖβος ἔχει. παρὰ σοὶ δ' ἀθρόα πάντα κέεται.

Συνεσίου φιλοσόφου.

Οἱ τρεῖς τυνδαρίδαι, Κάστωρ, ἑλένη, Πολυδεύκης.

Εἰς οἶκον σοφίας.

Αὐσονίων δεσποινὰν ἰουλιανὸς πολιοῦχος
ὡς σοφίης κεῖται ἄνθετο τῇ σοφίῃ.

Εἰς ἰουστινιανοῦ στήλην.

ἰουστῖνον κατὰ χεῖρα τὸν δεσπότην.
ἰουλιανὸς ὕπαρχος ὡς εὐεργέτην.

ἀντολίας, δύσιας. oriens, occidens. ἥλιος ἀρμενίην. Tranquillus in Tiberio cap. 9. regnum Armeniæ Tigrani restituit ac pro tribunali diadema imposuit, recepit & signa quæ Marco Crasso ademerant Parthi. Ex hinc Rheticum Vindelicumque bellum, inde Pannonicum, inde Germanicum gessit. Eadem fere Paterculus. ἀνιών ἀνατέλλων. hoc ad unguem examinandum non est, nec illud κατερχόμενος aut ἀπερχόμενος ἢ δυσόμενος. licet Germania magis ad occidentem uergat. ἀράξης. Armeniæ flumen. ῥῆνος. Rhenus. μηδολέτην. Iustinianus per Belisarium patricium Persas aggressus est, qui trangressis Romanorum terminis, eorum regiones populabantur. quos Belisarius magnis prælijs fudit. Paul. Diaconus. σῆς ῥώμης γενέτας. Constantinopoleos conditor Bysas. Claudianus. Quod tertius urbis conditor, hoc Bysas Constantinusque uidebunt. nunc ipsam ciuitatem intelligit. Iustino Byzantium à Pausania Spartano conditum asserenti succurrere non possum. uel Aurelianus, ὃν (ut inferius ostendit) βιστέπταρχον καὶ πατέρα βασιλῆος ἐὸν καλέσαν οἱ μέγιστοι. uel ipse Eustathius. νίκην ἄλλην. Cæteras imagines artificio præcellentem. quidam anxie te alteram uictoriam. nec ignoro Iustinianum imperatorem à militib. καλλίνικον uocatum. autoremque habeo Procopium lib. de bel. Pers. 2. et de bello Vandal. 4. στεφανηφόρον. ita enim pingi ac fingi solent uictoriæ. Greg. οἱ δὲ, νίκας ὑπὲρ κεφαλῆς στεφανούσας. καὶ σέ. Iustiniani statuæ mentionem infert Procopius lib. de ædific. ipsius Iustin. 1. ac Suidas in uoce ἰουστινιανός. μετήωρον. excelso. ὕψος. sublime. in alto est. καὶ σκυθέων. Gothorum, Alanorum, Vandalorum. Procopius & Paul. Diaconus. Scythas ab Homero ἀβίους dictos putat Tzetzes. Ptolemæus. κατέχουσι δὲ ταύτης τῆς σκυθίας τὰ μὲν ἀρκτικὰ, ἄβιοι σκύθαι. Arrianus. οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον, ἀφικνοῦνται παρ' ἀλέξανδρον πρέσβεις, παρά τε σκυθῶν τῶν ἀβίων καλουμένων, οὓς ὅμηρος δικαιοτάτους ἀνθρώπους εἰπὼν ἐν τῇ ποιήσει ἐπήνεσεν. οἰκοῦσι δὲ ἐν τῇ ἀσίᾳ οὗτοι αὐτόνομοι. Homer. Iliad. ν. γλακτοφάγων ἀβίων τε. glossulæ. ἔστι δὲ καὶ ἔθνος ἐν σκυθίᾳ ἄβιοι, οἱ καὶ ἁμάξοβιοι καὶ νομάδες ὀνομαζόμενοι. at Philostratus. οἱ δὲ, ἐκ τῶν ἄνωθεν μυσῶν ξυνεμάχεον, οὓς ἀβίους τε οἱ ποιηταὶ καλοῦσι, καὶ ἱππημολγοὺς, καὶ τὸ γάλα αὐτῶν πίνοντας. Tu consule Strabonem lib. 7. πῶλον. equum. ἑδρασθέντα. prope imaginem collocatam. ἄνακτα. Iustinianum. ἀσσυρίων. Persicarum manubiarum. ἀντολίης. orientis. ἰουστῖνος. ἀντὶ τοῦ ἰουστινιανοῦ. ut statim. ἰουστῖνον κατὰ χεῖρα. ἑήν. suam. γαλήνην. quam non solum portubus ac litoribus uerum etiam uniuerso terrarum orbi attulit Iustinianus. τῆς ἱερείας. ita uocatur ædes diuæ Mariæ uirgini à Iustiniano constituta. ἕως πόλος, donec cœlum. ἀντολίηθε. ab oriente. θεοδόσιε. Theodosi. Paulus Diaconus lib. 18. τολλυμένων. ob erectam statuam. alludit interim semper ad solem. πόλον. cœli. αἰγλήεις.

splendi

ſplendidus. ἐστυμμένον. τεθυμωμένον, ὡρμημένον, τὸν κρατερὸν Βύζαντα. Stepha-
nus. καὶ οὕτως ἐκλήθη τὸ Βυζάντιον ἀπὸ Βύζαντος τοῦ κερόεσσης τῆς ἰοῦς θυγατρὸς καὶ
ποσειδῶνος. ἐν ἑνί. una ſimul. βουπάλεως. magnæ & celebris luctæ qua firmiſſi
mos athletas uicerat. Pelopi Hippodamia, & Atalanta Hippomeni in certami
num quoque præmia datæ ſunt. δῶρον, βραβεῖον. τοῖς μὲν τυραννήσαντα. hiſtoriam
tangit in Politicis Ariſtoteles, quam luculenter enarrās Herodotus in Clio, tan
dem inquit. οὕτω δὴ πεισίστρατος τὸ τρίτον σχὼν ἀθήνας. ἐρριζωσίων. Athenienſi-
um. ὃς τὸν ὅμηρον ἤθροισε. Pauſanias. πεισίστρατον δὲ ἡνίκα ἔπη τὰ ὁμήρου διεσπασμέ
να τε καὶ ἀλλαχοῦ μνημονευόμενα ἤθροιζε, ἢ αὐτὸν πεισίστρατον ἢ τῶν τινα ἑταίρων
μεταποιῆσαι τὸ ὄνομα ὑπὸ ἀγνοίας. Aelianus. ὀψὲ δὲ λυκοῦργος ὁ λακεδαιμόνιος
ἀθρόαν πρῶτος εἰς τὴν ἑλλάδα ἐκόμισε τὴν ὁμήρου ποίησιν. τὸ δὲ ἀγώγιμον τοῦτο ἐξ ἰωνί-
ας ἡνίκα ἀπεδήμησεν ἤγαγεν, ὕστερον δὲ πεισίστρατος συναγαγὼν ἀπέφηνε τὴν ἰλιά-
δα καὶ ὀδύσσειαν. Euſtathius. ὅτι ἓν μέν τι σῶμα συνεχὲς δι᾽ ὅλου καὶ εὐάρμοστον, ἡ τῆς
ἰλιάδος ποίησις, οἱ δὲ συνθέμενοι ταύτην (κατ᾽ ἐπιταγὴν ὥς φασι πεισιστράτου τοῦ
τῶν ἀθηναίων τυράννου) γραμματικοί, καὶ διορθωσάμενοι κατὰ τὸ ἐκείνοις ἀρέσκον. Con
trà M. Tullius libro de orato. 3. quis doctior ijſdem illis temporibus aut cuius
eloquentia literis inſtructior quam Piſiſtrati, qui primus Homeri libros confu-
ſos antea, ſic diſpoſuiſſe dicitur ut nunc habemus. Plato in Hipparcho πολίτῃ
μὲν ἐμῷ τε καὶ σῷ, πεισιστράτου δὲ υἱεῖ τοῦ ἐκ φιλαΐδων ἱππάρχῳ, ὃς τῶν πεισιστράτου
παίδων ἦν πρεσβύτατος καὶ σοφώτατος, ὃς ἄλλα τε πολλὰ καὶ καλὰ ἔργα σοφίας ἀ-
πεδείξατο, καὶ τὰ ὁμήρου πρῶτος ἐκόμισεν εἰς τὴν γῆν ταυτηνί. ἐκεῖνος. Homerus
Athenienſis erat. εἴπερ ἀθηναῖοι. Theſeus. Ariſtides in epiſtola περὶ σμύρνης. μὴ
γάρ μοι λυσίμαχον ἔτι, μὴ δὲ ἀλέξανδρον αὐτόν. (Pauſanias in Acha.) μὴ δὲ θησέα καὶ
μύθους, ἀλλ᾽ ὑμεῖς οἰκισταὶ τῆς πόλεως γένεσθε. Et. θησέως μὲν γὰρ ἐξ ἀρχῆς οἰκίσαντος,
ἀλεξάνδρου ὕστερον εἰς τοῦτο τὸ σχῆμα προαγαγ. Tacitus. At Smyrnæi repetita ue-
tuſtate, ſeu Tantalus Ioue ortus, illos, ſiue Theſeus diuina & ipſe ſtirpe, ſiue u-
na Amazonum condidiſſet, aut Ion & Atheniēſes illi qui Ionicas ciuitates con
diderunt. eam urbem Smyrnam appellat Stephanus. nec ignoro Smyrnam il-
lam antiquam non eſſe hanc noſtram. λιμοσπίδαοι. Athenienſibus. βαρὺς λίθος.
uidetur Philippus poſt prælium ad Chæroneam in quo ab Athenienſibus &
Thebanis male pugnatum eſt, Marti Coloſſeum ſimulachrum dedicaſſe. id Io-
ui præſtitiſſe ueteres beneficij accepti memores conſtat. Euripides. πολυώδυνοι,
ἐν οἷς ζηνὸς ὀρθῶσαι βρέτας τρόπαιον. gloſſulæ. ἐν σοὶ κεῖται ἀνορθῶσαι τὸ εἴδωλον τὸ
νικητήριον. οἱ γὰρ νικῶντες εἴδωλον ἔστασαν τοῦ διός. & Iunoni. Lycophron. μύστην
παίας μαζὸν ἔμβλεον θεᾶς. interpres. τροπαίας. τῆς ἥρας παρ᾽ ὅσον καὶ αὐτῇ οἱ νικῶν-
τες, ὥσπερ τῷ διί, τρόπαιον ἀνετίθεντο. Philippum trophæum erexiſſe narrat li-
bro decimoſexto Diodorus. quem reprehendit in Bœoti. Pauſanias. φίλιππος
δὲ οὐκ ἀνέθηκεν ὁ ἀμύντου τρόπαιον, οὔτε ἐνταῦθα, οὔτε ὁπόσας μάχας ἄλλας βαρβά-
ρους ἢ καὶ ἕλληνας ἐνίκησεν. οὐ γάρ τοι μακεδόσιν ἱστάναι τρόπαια ἦν νενομισμένον. quæ
uictoriæ modo in præſentia declarandæ cauſa, non ut in perpetuum belli me-
moria maneret, conſtituebantur. Porro dictionem hanc in Homero non legi,
qua in batrachomyomachia inuēta minime hoc ab Homero noſtro uolumen
quamuis & alia ſint in manibus argumenta elucubratum mihi perſuadeo. nec
tam uetuſtus trophæorum figendorum mos mihi uidetur (licet Pauſanias Her
culem & Pollucem τρόπαιον ἀναστῆσαι dicat) ut hæc Heſiodi, cui nulla horū men
tio, nedū Homeri ætate qui Heſiodū multis annis præceſſit, unquā poſita ſint.
μαραθῶνα καὶ σαλαμῖνος ἔργα. præclara Athenienſiū geſta. ὄμνυσι νῦν νεκύας. De-
moſthenes περὶ τοῦ στεφάνου. οὐ μὰ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς
ἐν πλα

ἐν πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας. quæ Demosthenis uerba exposuit Hermogenes, περὶ ἀφελείας, περὶ λαμπρότητος, & περὶ δεινότητος. Quintilianus lib. 9. & Demosthenes iurando per interfectos in Marathone & Salamine id agit ut minore inuidia cladis apud Cheroneam acceptæ laboret. Apollonij glossematarius. ῥητέον δὲ ὅτι ἐμπαθέστερος γίνεται ὁ ὅρκος ὅταν τις κατὰ τῆς ἰδίας ὀμνύῃ συμφορᾶς. δημοσθένης μὰ τοὺς ἐν μαραθῶνι προκινδυνεύσαντας. ἔθος οὖν ἀρχαῖον πρῶτον θεοὺς ὀμνύναι. εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφοράς. tantum Rhetorem turgere nemo credat, Athenienses siquidem eos qui in campo Marathonio desiderati sunt, tãquam Heroes postea coluisse literis mandauit Pausanias. hos cõtemplans apud Senecam Cæstius, sic inquit, per sepulchra nostra iurabitur. adde ob nullam partam à se uictoriam Atheniensem unquam populum tantos spiritus duxisse. βασιλῆα. ἐνθάκοι. ἄναξ. imperator. οἶκον ἑλικῶνος. musarum domum. Tzetzes. ἐπειδὴ ὀρφεὺς ἀρχὴ καὶ πατὴρ ὑπάρχων τῶν ποιητῶν, κατῴκει περὶ τὸν ἑλικῶνα, καὶ τὸ λειβήθριον, ἐμυθουργήθη, ὡς αἱ μοῦσαι περὶ τοὺς ἐκείνου τόπους οἰκοῦσιν. νοήσας. cũ cogitasset se Helicona ascẽdisse. περικῶν δόμων. gymnasii. παγχρύσεος. Iulianus. ἐναρηφόρον. spolijs onustam. ἄνακτι. Iustiniano. τύπον. statuam. ἀβάρων στρατός. Hunnorũ copiæ. Auares, Hunnos uocitari Paulus Diaconus opinatur. lege Suidã. Gothos, Sclauinos, & Vandalos notat Geminus. κείρας βόστρυχον. in seruitutem redactus. αἱ γὰρ τρίχες σύμβολόν εἰσιν τῆς ἐλευθερίας. τῶν γὰρ δούλων τὰς τρίχας ἀπέκοπτον, ἵνα μὴ παρεμποδίζωνται εἰς τὰς ἐργασίας. grammatici. Lucanus: et nunc tonse Ligur. & uos Ligures nunc sub iugũ missi. hinc κομᾶν superbire, indulgere genio, & elatum esse. Aristophanes in Equitibus. μὴ φθονεῖθ' ἡμῖν κομῶσι. glossema. κομῶσι, τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν ὡς ἐπὶ τοῦ τρυφᾶν λέγεται καὶ γαυροῦσθαι καὶ μέγα φρονεῖν. Idem in Auibus. ἔπειτα δῆτα δοῦλος ὤν, κόμην ἔχεις. scholia. ἦν δὲ τῶν ἐλευθέρων τὸ κομᾶν. Eustathius. λέγονται δὲ τὸν μὲν ἄλλον πάντα χρόνον κομᾶν οἱ ἕλληνες, ἐν δὲ πένθους καιρῷ κείρεσθαι. fuisse tamen & Græcis κόμην πενθητήριον non sum nescius. σοῦ νῦν. tuum. ὑπάτων φάρος. cõsulari habitu. ἄνασσα πόλις. Constantinopolis. ἔμμορε. fortunata in bonam partem. ἀμειψαμένα. his in eum collatis honoribus. οὗτος. Aurelianus. μίξον. misce. adhibe. καλλώροπος. pedi. ζεῦξε ἄεθλον. ut Agamemnon Homericus. ἀνάκτων. patris & matris. εὐτοκίῃ. felici matris partu. ἐκ μοιράων. fato. ἀθρόα πάντα κότυ. Dictiones σκῆπτρον & ἄρης, me allectant ut in eum Cotym Thraciæ regem hoc Antipatri epigramma uulgatum suspicer, qui rerum incremento mirabili repente elatus cum omnia illi ex sententia caderent, sęuus & sanguineus mox redditus uxorem media à uulua secandam iussit. nec quin Cotym laudibus celebret Antipater, rixabor. Illud obiter collegit quispiã, multos in Thracia fuisse reges hoc nomine, ut uideri possit illud: eos, quemadmodũ apud Romanos, Cæsares dicerẽtur imperatores, sic Cotyas semper dictos, quod falsum esse animaduerto. nunc egressu non utar, nec in parerga excurram. Reges uero Indorũ præstani quos nos Presbter Iehan corrupto uocabulo nominamus appellantur, & Carani philosophi. neq; enim Caranus uiri proprium nomen est, ut tradit Iosephus. εἰς οἶκον. castigo εἰς εἰκόνα. hic est enim εἰς εἰκόνας βασιλέων titulus. σοφίας. Sophiæ Augustæ Iustiniani uxoris. Paulus Diaconus. & infra. καὶ σοφίης ἀλόχου. fuisse tamen Constantinopoli Sophię templum ex Procopio de Aedif. Iustiniani scimus. πολιοῦχος. πολίαρχος. πολίαρχος. ἰουστῖνον. Iustinianum. τὸν δεσπότην, ἀνέθηκε.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΓΥΜΝΑΙΚΩΝ.

Παύλου σιλεντιαρίου.

Ομματα μὲν κυάνεα μόλις ἡ γραφὶς, οὔτε δὲ χαίτην
 οὔτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.
ὅστις μαρμαρυγὴν δύναται φαεθοντίδα γράψαι,
 μαρμαρυγὴν γράψει καὶ Θεοδωριάδος.

Εἰς τὸ αὐτό.

Βάσκανός ἡ γραφίς ἐστι, καὶ εἰσορόωσι μεγαίρει
 χρύσεα κικρυφάλοις βόστρυχα κρυψαμένη.
εἰ δ' ὑπάτης κεφαλῆς ὑπάτην χάριν εἰκόνι κεύθεις,
 οὐδ' ἂν τῶν λοιπῶν κάλλεϊ πίστιν ἔχεις.
πᾶσα γραφὶς μορφῇσι χαρίζεται. ἀλλὰ σὺ μούνη
 τὴν Θεοδωριάδος κλέψας ἀπ' ἀγλαΐας.

Συνεσίου φιλοσόφου εἰς εἰκόνα τῆς

αὐτοῦ ἀδελφῆς.

Τῆς χρυσῆς εἰκὼν ἡ Κύπριδος, ἡ Στρατονίκης.

Αγαθίου σχολαστικοῦ.

Μαχλὰς ἐγὼ γενόμην Βυζαντίδος ἐνδόθι Ῥώμης,
 ὠνητὴν φιλίην πᾶσι χαριζομένη.
εἰμὶ δὲ καλλιρόη πολυδαίδαλος. ἣν ὑπ' ἔρωτος
 οἰστρηθεὶς Θωμᾶς, τῇδ' ἔθετο γραφίδι,
δεικνὺς ὅσσον ἔχει πόθον ἐν φρεσίν. ἶσα γὰρ αὐτοῦ
 κηρῷ τηκομένῳ, τήκεταί οἱ κραδίη.

Ανακρέοντος.

Η τὸν θύρσον ἔχουσ', ἑλικωνιάς. ἡ δὲ παρ' αὐτὴν,
 Ξανθίππη. Γλαύκη δ' ἡ χορὸν ἐρχομένη.
ἐξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσι
 κισσὸν, καὶ σταφυλὴν πίονα, καὶ χίμαρον.

Ηρίννης.

Εξ ἁπαλᾶν χειρῶν τάδε γράμματα λῷστε Προμηθεῦ
 ἐντὶ, καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν.
ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅς τις ἔγραψεν
 αἰκ' αὐγὰν ποτ' ἔθηκ' ἦς ἀγαθαρχὶς ὅλα.

χροιῆς. coloris. φαεθοντίδα. solis splendorem. χρύσεα βόστρυχα. aureos & flauos crines. μορφῇσι χαρίζεται. pulchriores quam re uera sint pingens, prauitates & uitia abscondens & deterens. κλέψας ἀπ'. ἀπέκλεψας. τῆς χρυσῆς εἰκών. Synesius in epist. τὸ ἐπίγραμμά μου τὸ κλεινόν. πῶς γὰρ οὐ κλεινόν, ὅπερ ὁ μέγας ἐποίησε νίκανδρος. τῆς χρυσῆς εἰκὼν ἡ κύπριδος ἡ στρατονίκης, ἐπίστασαι πάντως, ὅτι καὶ εἰς ἀδελφὴν ἐποιήθη παρ' ἐμοῦ ποτε. φιλίην. φιλότητα. μίξιν. οἰστρηθείς. furens. ἶσα. similiter. τήκεταί οἱ. ipsi Thomæ. Theocritus. ὅκα Δάφνις ἐτάκετο. Et. ὡς τέκνοιο ἔρως. θύρσον. θύρσον. τῆς ἀγανοβλεφάρου. δυσοφθάλμου. σαίνοι κεν σ' ἐσιδοῦσα. te aspiciēs ô imago cauda blandiet canis. μελάθρων. domus. ποθορῆν. intueri. ἁπαλῶν. tuarum γράμματα. picta imago. λῷστε Προμηθεῦ. Hoc Prometheu tuarū manuū opus est neq; minus uiuū ꝙ quos olim formasti homines. Erinna pictorē quempiā Pro metheo

metheo comparans eximie commendat. Iuuenalis. Debetur magnus patinæ subitusq; Prometheus. Lucianus. καὶ αὐτοὶ δὲ ἀθλιώτατοι τῶν χυτρέων, καὶ ἰπνοποιοὺς καὶ πάντας ὅσοι πηλουργοὶ προμηθέας ἀπεκάλουν. uide Aeschylum in Prometheo. ἐν ᾗ. sunt. αὐδὴ αὐγάν. castigo αὐδάν. αὐδὴ proprie humana uox est. unde Homero δεινὴ θεὸς αὐδήεσσα. Apollonij glossographus. αὐδήεσσαι αἱ εἰς λόγον ἀνθρώποις ἐρχόμεναι. Hesychio. αὐδήεσσα. ὀνομαστή. ἔνδοξος. ὅλα. nihil desideraremus.

## ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ, ΚΑΙ ΑΓΑΛΜΑΤΟΥΡΓΟΥΣ, καὶ ἁπλῶς εἰκόνας.

Εἰς εἰκόνα Ἀπελλοῦ.

Αὐτὸς ἑαυτὸν ἐν εἰκόνι γράψεν ἄριστος Ἀπελλῆς.

Κωμητᾶ σχολαστικοῦ ἐν ἀναζάρβῳ.

Νωθρὸς ἐγὼ πλεῖστον ἀπ' ἰξύος ἄχρι πόδας ἄκρους
τὸ πρὶν ἐν ἀργείης πυρὸν ἀτεμβόμενος,
ζωῆς, καὶ θανάτοιο μεταίχμιον, ἀΐδι γάστην,
μοῦνον ἀναπνείων. τἄλλα δὲ πάντα, νέκυς.
ἀλλὰ σοφός με Φίλιππος, ὃν ἐν γραφίδεσσι διδύνας
ζώγρησε κρυερὴν νοῦσον ἀκεσσάμενος.
αὖθις δ' Ἀντωνῖνος, ἅπερ πάρος ἐν χθονὶ βαίνω,
καὶ ποσὶ πεζεύω, καὶ ὅλος αἰσθάνομαι.

Εἰς ἄγαλμα Φιλίππου.

Η θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ εἰκόνα δείξων
Φειδία, ἢ σύγ' ἔβης τὸν θεὸν ὀψόμενος.

Εἰς τὸν ἐν ῥόδῳ κολοσσόν. Σιμωνίδου.

Τὸν ἐν ῥόδῳ Κολοσσὸν ὀκτάκις δέκα
Λάχης ἐποίει πηχέων ὁ Λίνδιος.

Ἀδέσποτον.

Αἶσαν Τιμομάχου πλέον, ἢ πατρὸς ἥρπασε τέχνα
τὴν φύσιν. ὁ γράψας ἅδε σε μαινόμενον.
καὶ συνελυσσήθη χεὶρ ἀνδρί, ὦ τὰ ῥαθάσα
δάκρυα, τῶν λύπης πάντας ἔμιξε πόνους.

Αἰμιλιανοῦ.

Τέχνας εἵνεκα σῖο, καὶ ὁ λίθος ἅδε βρυάζει,
Πραξίτελες, λύσσην, καὶ πάλι κωμάσεται.
νῦν δ' ἡμῖν οὐ γῆρας ἔτ' ἀδρανές. ἀλλ' ὁ πεδήτης
σειληνοῖς κώμων, βάσκανός ἐστι λίθος.

Σιμωνίδου.

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος. οὐκ ἔνι μῶμος
χερσὶν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

Ἄδηλον.

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε, παντὶ δ' ἐπ' ἔργῳ
μῶμος, ὃν οὐδ' ἥρως Δαίδαλος ἐξέφυγεν.

Ἀδέσποτον.

Α τέχνα τὸν ἔλεγχον ἀπώλεσεν. οὐδὲ γὰρ αὐτὰ
μανῦσαι δύναται, τοῦ πέρι τὰν κεφαλάν.

Ἀδη-

Ἀδήλου.

Μικροῦ κατέχον τὸν βότρυν τοῖς δακτύλοις,
ὑπορπατηθεὶς τῇ θέᾳ τῶν χρωμάτων.

ἄριστος ἀπελλῆς. Hunc Ouidius Coum, Si nunquã Venerem Cous pinxisset Apelles, Suidas colophoniũ θέσει δὲ ἐφέσιον fuisse perhibet. quid Strabo? ἱππῶναξ δ' ὢν ὁ ποιητὴς ἐξ ἐφέσου καὶ παῤῥάσιος ὁ ζωγράφος καὶ ἀπελλῆς. ἐν ἀναζάρβῳ. Stephano ἀναζαρβὰ Ciliciæ est oppidũ, Athanasii episcopatu nobile. νωθρὸς ἐγώ. Antonini imago à capite ad lũbos expressa. πλήθεσιν. eram. πηρόν. τὴν πήρωσιν. mutilata & luxata membra. τἄλλα δέ. inferioribus corporis partibus. σοφός. esse quoq; harũ artium Sophiam docuit Aristoteles. ἐν τῷ γραφίδεσσι. lege. τοῖς. ἀπύρῳ. quemadmodũ antea. εἰς ἄγαλμα φιλίππου. castiga. εἰς τὸ τοῦ διὸς ὀλυμπίου ἄγαλμα. φιλίππου. ὁ θεός. Iupiter Olympius Phidiæ opus. ἢ σύγ' ἔβης, εἰς οὐρανόν, τὸν θεόν. Ioue. ὀκτάκις δέκα. apud Strabonẽ lib. 14. ἑπτάκις δέκα scriptũ est. Plinio quoq; 70. cubitorũ altitudinis est Colossus, nõ 80. λάχης. Chares eidẽ Plinio. Festus Caletũ nominat, Colossumq; altũ pedes centũ et quinq; fuisse ait. Hũc terræ motu exturbatũ corruisse memorãt Polybius & Orosius. Vespasiani principatu factus est Rhodi Colossus habẽs altitudinis pedes 107. plures uero diuersis téporib. in ea urbe erecti Colossi. λίνδος. Lindos oppidũ in Rhodo insula. ἢ παῖδες. ἐρᾶς. uides subaudi. id est ἥρπασε τέχνα τὴν φύσιν. magis sui similẽ Orestem effinxit pictor Timomachus, quã Agamemnon pater. χεὶρ ὕβρι. Timomachi manus cũ Oreste insaniit. Hęc ad Orestẽ referri oportere indicat Plinius. Timomachi æque laudaẽ Orestes. Pictũ quoq; est à Theone eius matricidiũ. ἦμβρε. manus. τέχνας. quod ad te spectãt. λίθον. à basi. καὶ πάλι κωμάσεις. Satyrus. hũc maxime nobilẽ fecit Praxiteles, quẽ Græci περιβόητον nominãt. νῶϊ δ' ἡμῖν. nõ ętatis senilis inualitudo in causa est quo minus saltemus, sed per lapidẽ stat qui quidẽ satyris inuidet. οὐκ ἔνι, οὐκ ἔνεστι. cauillo & reprehensione carẽt Iphionis opera, quæ summam hominũ de se opinionẽ superant. οὐκ ἀδαής. nihil tam cõsummatum esse potest, quod carpi nequeat. ὃν οὐδ' ἥρως δαίδαλος. cuius statuas ἀποτρέψας τὴν ὄψιν, tradit Pausanias. Sensus est. ne optimi quidem artifices morsum effugerunt, Apellem certe notauit sutor. Erasmi Chiliades in Adagiis Dædali opera, & Momo satisfacere. τὸν ἔλεγχον. capite infecto. διό. quamobrem. τὴν κεφαλήν. tum quem exprimat ex artificio apparebit. μικροῦ. fere. τοῖς δακτύλοις. Zeuxidis cum Parrhasio certamen lustrat. de quo Plinius libro 35. cap. 10. & de Myronis bucula libro 34. cap. 8.

## ΕΙΣ ΑΓΑΛΜΑΤΑ ΖΩΩΝ.

Εἰς τὴν Μύρωνος βοῦν.

Βοΐδιον εἰμὶ Μύρωνος, ἐπὶ στήλῃ δ' ἀνάκειμαι.
Βουκόλε, κεντήσας εἰς ἀγέλην μ' ἄπαγε.

Εἰς τὸ αὐτό.

Τίπτε Μύρων με τὸ βοΐδιον ἐνταῦθοῖ παρὰ βωμοῖς
ἵδρυσας; οὐκ ἐθέλεις εἰσαγαγεῖν μέγαρον;

Ανακρέοντος εἰς τὸ αὐτό.

Βουκόλε, τὰν ἀγέλαν πόῤῥω νέμε, μὴ τὸ Μύρωνος
βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βοΐδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
χαλκωθὲν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

Εὐήνου εἰς τὸ αὐτό.

Ἡ τὸ δέρας χάλκειον ὅλον βοῒ τᾷδ' ἐπίκειται
ἔκτοθεν, ἡ ψυχὴν ἔνδοθεν ὁ χαλκὸς ἔχει.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Αὐτὸς ἐρεῖ τάχα τοῦτο Μύρων· οὐκ ἔπλασα ταύταν
τὰν δάμαλιν, ταύτας δ' εἰκόν' ἀπεπλασάμην.

Λεωνίδου εἰς τὸ αὐτό.

Οὐκ ἔπλασέν με Μύρων, ἐψεύσατο. βοσκομέναν δὲ,
ἐξ ἀγέλας ἐλάσας, δῆσε βάσει λιθίνᾳ.

Ἀντιπάτρου Σιδωνίου εἰς τὸ αὐτό.

Εἰ μή μου ποτὶ τᾷδε Μύρων πόδας ἥρμοσε πέτρᾳ,
ἄλλαις ἂν νεμόμαν βουσὶν ὁμοῦ δάμαλις.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Μόσχε, τί μοι λαγόνεσσι προσέρχεαι, τίπτε δὲ μυκᾷ;
ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

Εἰς τὸ αὐτό.

Τὰν δάμαλιν βουφορβὲ παρέρχεο, μηδ' ἀπάνευθεν
συρίσδης, μαστῷ πόρτιν ὑπεκδέχεται.

Εἰς τὸ αὐτό.

Ἁ μόλιβος κατέχει με, καὶ ἁ λίθος. εἵνεκα δ' ἂν σοῦ
πλάστα Μύρων λωτὸν, καὶ θεῖον ἐδρεπόμαν.

Εἰς τὸ αὐτό.

Ἁ δάμαλις δοκέω μυκήσεται. ἢν δὲ βραδύνῃ,
χαλκὸς ὁ μὴ νοέων αἴτιος, οὐχὶ Μύρων.

Ἀντιπάτρου.

Ἁ δάμαλις δοκέω μυκήσεται. ἦ ῥ' ὁ Προμηθεὺς
οὐχὶ μόνος, πλάττεις ἔμπνοα καὶ σὺ Μύρων.

Ἄδηλα.

Βοῦν ἰδίαν ποτὲ βουσὶ Μύρων μιχθεῖσαν ἐρευνᾷ.
εὗρε μόλις δ' αὐτὴν τὰς βόας ἐξελάσας.

Ἁ βοῦς ἁ τίκτουσ', ἀπὸ γαστέρος ἔπλασε τὰν βοῦν,
ἁ δὲ Μύρωνος χεὶρ, οὐ πλάσεν, ἀλλ' ἔτεκεν.

Καὶ χαλκῆ περ ἐοῦσα, λάλησεν ἂν ἡ κεραὴ βοῦς,
εἰ οἱ σπλάχνα Μύρων ἔνδον ἐτεχνάσατο.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Ῥηϊτόν μοι τὶς ἄροτρον ἐπ' αὐχένι, καὶ ζυγὰ θέτω,
εἵνεκα γὰρ τέχνης σεῖο Μύρων, ἀρόσω.

Εἰς τὸ αὐτὸ Δημητρίου.

Ἤν μ' ἐσίδῃ μόσχος, μυκήσεται. ἢν δέ γε ταῦρος,
βήσεται. ἢν δὲ νομεὺς, εἰς ἀγέλην ἐλάσει.

Τοῦ

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ὧδε μύρων μ' ἔστασε τὸ βοΐδιον, οἱ δὲ νομῆες
βάλλουσί με λίθοις, ὡς ἀπολειπόμενον.

Εἰς τὸ αὐτὸ Μάρκου ἀργενταρίου.

Βουκόλον ἢν ἐσίδῃς τὸν ἐμὸν, ξένε, τοῦτ' ἔπος αὐτῷ
εἶπον, ὅθ' ὁ πλάστης ὧδέ μ' ἔδησε Μύρων.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ταν βοῦν τάνδ' ὁ Μύρων ξεῖν' ἔπλασεν. ἢν ὅδε μόσχος
ὡς ζῶσαν σαίνει μητέρα δερκόμενος.

Εἰς τὸ αὐτὸ Διόκλειδος.

Ταῦρε μάτην ποτὶ πόρτιν ἐπείγεαι, ἔστι γὰρ ἄπνους.
ἀλλά σ' ὁ βουπλάστας ἐξαπάτησε Μύρων.

Εἰς τὸ αὐτό.

Εἶδε Μύρων δάμαλιν, παρακάτθανε μόσχος ἀλαθεὶς,
καὶ γάλα πιστεύων χαλκὸν ἔσωθεν ἔχειν.

Εἰς τὸ αὐτό.

Φεῦ, ὁ Μύρων πλάσσας, οὐκ ἔφθασας. ἀλλά σε χαλκὸς
πρὶν ψυχὴν βαλέειν, ἔφθασε πηγνύμενος.

Εἰς τὸ αὐτό.

Χαλκείην τύψας δάμαλιν, μέγα σ' ἤπαφε τέχνη
βουκόλε, τὴν ψυχὴν οὐ προσέθηκε Μύρων.

Εἰς τὸ αὐτὸ Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Πόρτιν τὴν δὲ Μύρωνος ἰδὼν, τάχα τοῦτο βοήσεις.
ἢ φύσις ἄπνοος ἐστὶν, ἢ ἔμπνοος ἔπλετο τέχνη.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Βουκόλε, ποῖ προθέειν με βιάζεαι; ἴσχεο νύσσων.
οὐ γάρ μοι τέχνη καὶ τόδ' ἔδωκεν ἔχειν.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἢ χαλκὸν ζώωσε Μύρων σοφὸς, ἢ τάχα πόρτιν
χάλκωσε, ζωὰν ἐξ ἀγέλας ἐρύσας.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Πλάσσε Μύρων, σεῦ πόρτιν ὁδοιπόρος ἦλθεν ἐλάσσων.
χαλκὸν δὲ ψαύσας, φῶς κενὸς ἐξεφάνη.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Εἰ δρόων μελέων, χάνει στόμα, χερσὶ δ' ἀείρει
γαιοπόνος ζεύγλην, ἀγρονόμος κορύνην.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Τλῆθι μύρων, τέχνη σε βιάζεται ἄπνοον ἔργον.
ἐκ φύσεως τέχνην, οὐ γὰρ φύσιν εὗρετο τέχνη.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἐν βοῒ τᾷδ', ἐμάχοντο φύσις, καὶ πότνια τέχνα.
ἀμφοτέραις δὲ Μύρων ἶσον ὄπασε γέρας.
δερκομένοις μὲν γὰρ, φύσιος κράτος ἥρπασε τέχνα.
αὐτὰρ ἐφαπτομένοις, ἡ φύσις ἐστὶ φύσις.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἤπαφε καὶ σὲ μύωπα Μύρων, ὅτι κέντρον ἐρείδεις
πλευραῖς χαλκοτύποις ἀντιτύποιο βοός.
οὐ νέμεσις δὲ μύωπι. τί γὰρ τόσον, εἰ καὶ αὐτοὺς
ὀφθαλμοὺς νομέων ἠπερόπευσε Μύρων;

Εἰς τὸ αὐτό. Γεμίνου.

Ἡ Βοῦς ἢ κατέχει τὸ Βοΐδιον, ἢ περιέδηται,
ἢν ἀφεθῇ ταύτης, φεύξεται εἰς ἀγέλην.
μυκᾶται γὰρ ὁ χαλκός. ἴδ' ὡς ἔμπνουν ὁ τεχνίτης
θήκατο. κἂν ζεύξῃς ἄλλον, ἴσως ἀρόσει.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Χάλκεος ἆς, ἀτὰρ εἶδε γεωτόμος εἷλκεν ἀρότρου,
καὶ ζυγόδεσμα φέρων ψευδομένα δάμαλι.
ἀλλὰ Μύρων τέχνας παντυπέροχος, ὅς σε δι' ἔργων
ἔμπνοον, ὥς τινα βοῦν ἐργάτιν εἰργάσατο.

Φιλίππου Μακεδόνος εἰς τὸ αὐτό.

Ἀπαῖρέ μου τένοντος ὦ γεωπόνε,
λέπαδνα, καὶ σίδηρον αὐλακοεργάτην.
χαλκὸν γὰρ ἀμῶν οὐκ ἐσάρκωσε Μύρων.
τέχνα δ' ἐξεπίνησεν ὄψιν ἔμπνοον,
ὡς πολλάκις με κἀμμυκᾶσθαι θέλειν.
εἰς ἔργα δ' οὐκ ἔασε προσδήσας βάσει.

Τοῦ αὐτοῦ εἰς ἵππον.

Ἴδ' ὡς ὁ πῶλος χαλκοδαιδάλῳ τέχνῃ,
κορωνιῶν ἔστηκε, δριμὺ γοῦν βλέπων,
ὑψαυχενίζει, καὶ διηνεμωμένας
κορυφῆς ἐθείρας οὐρίωκεν ἐς δρόμον.
δοκέω χαλινοὺς ἄν τις ἡνιοστρόφος
ἐναρμόσει γένυσι, κἀπικεντρίσοι,
ὅσος πόνος Λύσιππε καὶ παρ' ἐλπίδας
ταχ' ἐκδραμεῖται. τῇ τέχνῃ γὰρ ἐμπνέει.

Ἄδηλον.

Τὸν πρασιῆς φύλακα μακρὰν ἀπὸ τῆλε φύλαξαι.
τοῖος ὁ κύων ὃν ὁρᾷς ὦ παρ' ἐμὲ ἐρχόμενε,
σύκινος, οὐ ῥίνῃ πεπονημένος, οὐδ' ἀπὸ μίλτου,
ἀλλ' ἀπὸ ποιμενικῆς αὐτομαθοῦς ξοίδος.
ἄχρειος. γέλασον. μετὰ δ' εὐκλέους πεφύλαξο
σίνεσθαι, μὴ καὶ σαρδόνιον γελάσῃς.

*Βοΐδιον*. multa uertit Ausonius. fuit autem Athenis hæc Myronis bucula. *ὑπὸ γήρως χαλκωθείς*. senectute induruí atque ærea sum effecta. *ψεύσατο χερσί*. hoc suis manibus falsum persuasit, non enim fusa sum. *ἢ τὸ*. aut. *ταύτης δ' εἰκόνα*. tanquam hæc sit uiua uerâque. *ἥρμοσε*. illigasset. *νεμόμαν*. cum alijs pascerer. *ὑπεκδέχεται*. uitulum lactat. *εἵνεκα δ' ἂν σοῦ*. quod ad te pertinet. *πλάσθεις ἔμπνοα*. Homines se è luto finxisse non negat Luciani Prometheus, quem sermonem ex Aeschyli Prometheo decerpsit, Pete Stephanum in uoce *ἰπώνιον*.

μόλις

μόλις. nulla eam ab alijs nota discernens. βόσ τοι. quod uacca ænea Syracusis ab agresti tauro qui pecore aberrasset inita esset, tanquam prodigium Romæ nuntiatum. βάλλουσι με λίθοις. ut domium agant cum cæteris. παρακάτθανε. frustra eius ubera sugens. χαλκόν. æream uaccam. οὐκ ἔφθασε. ut animam immitteres cum funderetur. ἤπαφε. decepit. νύσσειν. percutere. pungere. καὶ τόδ᾽ ἐδίωκον. ut ambularē. κεντρός, λαγωός. κορύνην. clauam. baculū. τέχνη. ars tua. ἄπνοον ἔργον. non uiuum, quod stimulis excites. τέχνη aut τέχνην. κυρίαν. οὐ γὰρ φύσιν εὗρεν τέχνη. sed natura artem inuenit. Aristides. οὐ χαλκευτικὴ χαλκευτικὴν εὗρεν, οὐδ᾽ ἰατρικὴ ἰατρικήν, οὐδ᾽ ἁπλῶς εἰπεῖν, οὐδεμί᾽ εὗρε τέχνη τέχνην, ἀλλὰ πάσας τὰς τέχνας ὅπερ εἶπον, ἡ φύσις εὗρε. ἐφαπτομένοις. nō enim facile tactus decipit, certissimus sensus. μύωπα. lusciosam. ἀντιτύποιο. resistentis, æneæ. τόδον. hoc est, ἄλλον. aliam uaccam. ἀρόσει. nam altera arabit. χάλκεος ὥς. bucula ærea. ὥς τινα βοῦν. οὔ τινα, cō modius. τένοντος. è collo meo. καὶ σίδαρον. ferrum. uomerem. χαλκόν. æneā uaccam. ὄψιν. uisu. εἰς ἔργα. mihi ut ararem non concessit. κορωνίδα. contumax. intra stabilis. διὰ ἀνεμωμένας. à uentis commotas. οὐριώσειν ὁ δρόμον. translatio à nauibus quæ οὐριοδρομοῦσι, aut οὐριοῦσι, uento secundo feruntur. Euripidis scholiastes. ὁ γὰρ οὔριος ἄνεμος ὄπισθεν πνέων συντονός ἐστι ὁ σωτήριος τοῖς ναυτιλλομένοις ταραχῆς αὐτοὺς ἀπαλλάσσων. grammatici. ἡ οὐρὰ καὶ ἡ πρύμνα τῆς νεώς. ὅθεν οὔριος, ὁ οὔριος ἄνεμος. δοκέω. ita existimo. ἡνιοστρόφος. equorū gubernator. eques, auriga. ὁ σὸς πόνος. tuus hic equus est. θύμπρασαι. τὸ γὰρ πρᾶσαι. φύλακος. Priapi. cuius uerba hæc sunt. ποῖος ὁ κύων, claudicat uersus. scribe. ποῖος ἐών. ὃν ὁρᾷς. σύκινος. sum inquit Priapus ficulnus. οὐ ῥίνη. lima. οὐδ᾽ ἀπὸ μίλτου. nec amussi, id est funiculo, quē rubrica aut alio colore obliniunt fabri materiarij. Græci στάθμην, Gellius lineam uocat. ξοίδιος. ξοῖς μεταλλικὸν σκεῦος καὶ λιθουργικόν. ἀγρεῖος. Cachinnatur uiator. γέλασον. ride ait Priapus. μετὰ δ᾽ ἐκλέεσ. cū hac superbia tua. σαρδόνιον. γέλωτα subaudi.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΑΡΧΑΙΩΝ ΚΑΙ ΗΡΩΩΝ ΤΙΝΩΝ.

Εἰς Προμηθέα. Ἰουλιανοῦ.

Τέχνης πυρσὸν ὅπασσα φερέσβιον. ἐκ δ᾽ ἄρα τέχνης
καὶ πυρὸς, ἀλλήκτου πήματος ὄψιν ἔχω.
ἆ μερόπων ἀχάριστον ἀεὶ γένος, εἴγε Προμηθεὺς
ἀντ᾽ εὐεργεσίης τοῦθ᾽ ὑπὸ χαλκοτύπων.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Χαλκὸν μὲν καλέουσιν ἀτειρέα βίβλος ὁμήρου,
ἀλλ᾽ ἐμὲ ὁ πλάστης δεῖξεν ἐλεγχομένην.
δεῦρ᾽ ἴδε γὰρ στενάχοντα Προμηθέα. δεῦρ᾽ ἴδε χαλκοῦ
τειρομένου, σπλάγχνων ἐκ μυχάτων ὀδύνας.
Ἡρακλέος, νεμέσηθεν. ἐπεὶ μετὰ σεῖο φαρέτρην,
ἰαπετιονίδης ἄλγος ἄπαυστον ἔχει.

Γάλλου εἰς Τάνταλον.

Οὗτος ὁ πρὶν μακάρεσσι συνέστιος, οὗτος ὁ νηδὺν
πολλάκι νεκταρέου πλησάμενος πόματος,
νῦν λιβάδος θνητῆς ἱμείρεται. ἡ φθονερὴ δὲ
κρᾶσις, ἀεὶ χείλευς ἐστὶ ταπεινοτέρη.

πῖνε λέγει τὸ τόρευμα. καὶ ὄργια μάνθανε σιγῆς.
οἱ γλώσσῃ προπετεῖς ταῦτα κολαζόμεθα.

Εἰς ἄγαλμα Ἡρακλέους νηπίου ὄντος ἔτι, καὶ ταῖς χερσὶ θλίβοντος δράκοντας δύο.

Θλῖβε δρακοντείους περιμήκεας ὄβριμε χεῖρας
ἥρακλεν, δακετῶν ἀγχιβαθεῖς φάρυγας.
ὄφρ᾽ ἔτι νηπιάχοιο, χόλον ζηλήμονος ἥρης
ἄμπαυσον, μοχθεῖν γνῶθι καὶ ἐκ βρέφεος.
οὐ γάρ σοι κρατὴρ χαλκήλατος, οὐδὲ λέβητες,
ἀλλ᾽ ὅδιος εἰς αὐλὴν ζωὸς ἔπαθλον ἔφυ.

Εἰς τοὺς δώδεκα ἄθλους τοῦ Ἡρακλέους.

Δέρκεο μυριόμοχθε τεοὺς ἡρακλέων ἀγῶνας.
οὓς τλὰς, ἀθανάτων οἶκον ὄλυμπον ἔβης.
γηρυόνην, κλυτὰ μῆλα. μέγαν πόνον αὐγείαο,
πώλους. ἱππολύτην. πολυκάρηνον ὄφιν.
κάπρον θωὐκτῆρα. χέους κῶα. θῆρα νεμέης.
οἰωνούς. ταῦρον. μαιναλίην ἔλαφον.
νῦν δὲ κατ᾽ ἄκρα πόληος ἀερβάτοιο βεβηκὼς
περγαμίης, μεγάλους ῥύεο τηλεφίδας.

Εἰς τὸ αὐτό. Ἀδήλου.

Πρῶτα μὲν, ἐν νεμέῃ βριαρὸν κατέπεφνε λέοντα.
δεύτερον, ἐν λέρνῃ πολυαύχενον ὤλεσεν ὕδραν.
τὸ τρίτον αὖτ᾽ ἐπὶ τοῖς, ἐρυμάνθιον ἔκτανε κάπρον
χρυσόκερων δ᾽ ἔλαφον μετὰ ταῦτ᾽ ἤγρευσε τέταρτον.
πέμπτον δ᾽ ὄρνιθας συμφηλίδας ἐξεδίωξεν.
ἕκτον, ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
ἕβδομον, αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
ὄγδοον, ἐκ κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
ἔνατον, ἐκ θρήκης διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου δέκατον βόας ἤγαγεν ἐξ ἐρυθείης.
κέρβερον ἑνδέκατον κῦν᾽ ἀνήγαγεν ἐξ ἀίδαο.
δωδέκατον δ᾽ ἐκόμισσεν ἐς ἑλλάδα χρύσεα μῆλα.
τὸ τρισκαιδέκατον, κοῖον λυγρὸν ἔσχεν ἄεθλον.
μουνονυχὶ πεντήκοντα ξυνελέξατο κούρας.

Φιλίππου εἰς τὸ αὐτό.

Ὤλεσα τὸν νεμέας θῆρ᾽ ἄπλετον, ὤλεσα δ᾽ ὕδραν,
καὶ ταῦρον. κάπρου δ᾽ ἀμφετίναξα γένυν.
ζωστῆρ᾽ ἑλκύσας, πώλους Διομήδεος εἷλον.
χρύσεα μῆλα κλάσας, γηρυόνην ἔλαβον.
αὐγείαν ἐδάην, κεμὰς οὐ φύγεν. ἔκτανον ὄρνις,
κέρβερον ἠγαγόμην. αὐτὸς ὄλυμπον ἔχω.

Εἰς τὸν αὐτὸν φονεύσαντα τὸν ἐν νεμέᾳ λέοντα. Ἀρχίου.

Μηκέτι ταυροβόροιο βαρὺ βρύχημα λέοντος
πτήσσετε ληϊνόμοι γειαρόται νεμέης.

ἦ γὰρ ὑφ' Ἡρακλῆος ἀριστάθλοιο δέδουπεν,
αὐχένα θηροφόνοις ἀγχόμενος παλάμαις.
ποίμνας ἐξελάσασθε. πάλιν μυκηθμὸν ἀκούει
ἠχὼ, βριμαίης ἐνναέτειρα νάπης.
καὶ σὺ λεοντόχλαινε πάλιν θωρήσσεο ῥινῷ,
ἥρως πρηνώσας Μαινάλιοιο χόλον.

Εἰς τὸ αὐτό. Δαμαγήτου.

Ἐκ Νεμέης ὁ λέων, ἀτὰρ ὁ ξένος, Ἀργόθεν ἅμα.
πολλὸν ὁ μὲν, θηρῶν μεῖζον, ὁ δ' ἡμιθέων.
ἔρχονται δ' ἐς ἀγῶνα κατάντιον ὄμμα βαλόντες
λοξὸν ὑπὲρ ζωᾶς, καὶ βιοτᾶς σφετέρας.
Ζεῦ πάτερ, ἀλλ' εἴη τὸν ἀπ' Ἄργεος ἄνδρα νικᾶν.
ἐμβατὸς ὡς ἂν ᾖ καὶ Νεμέα τελέθοι.

Εἰς τὸν αὐτὸν, καὶ τὴν ἔλαφον.

Τί πρῶτον, τί δ' ἔπειτα φράσω; τί δὲ λοίσθιον ὅσσοις;
θαυμάσσω τέχνης ἀνδρὸς, ἢ δ' ἐλάφου.
ὧν ὁ μὲν, ἰξύϊ θηρὸς ἐπεμβεβαὼς, γόνυ βρίθει,
ἀντιπόρθων παλάμαις δραξάμενος κεράων.
ἡ δ' ὑπὸ χάσματι πολλὰ, καὶ ἄσθματι φυσιόωσα,
γλώσσῃ σημαίνει θλιβομένην κραδίην.
Ἡρακλεῦ γήθησον. ὅλη κεμὰς ἥδε τέθηλεν.
οὐ κεράσιν μόνοις, ἀλλὰ τέχνῃ χρυσέῃ.

Εἰς τὸν αὐτὸν, καὶ τὸν Ἀνταῖον.

Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας
καὶ πόνον ἐκ μορφᾶς, καὶ θράσος εἰργάσατο;
ἔμψυχον τὸ πλάσμα. καὶ οἰκτείρω μογέοντα.
καὶ φρίσσω κρατεροῦντα τὸν θρασὺν Ἡρακλέα.
Ἀνταῖον γὰρ ἔχει πεπονημένον ἐκ παλαμάων.
ἰδνωθεὶς δὲ, δοκεῖ καὶ στοναχὰν ἱέναι.

Εἰς τὸν αὐτὸν μεθύοντα.

Οὗτος ὁ νῦν ὕπνῳ βεβαρημένος, ἠδὲ κυπέλλῳ,
κενταύρους νήφων οἰνοβαρεῖς ὄλεσεν.

Εἰς τὸ αὐτό.

Οὗτος ὁ πανδαμάτωρ, ὁ παρ' ἀνδράσι δωδεκάεθλος
μελπόμενος, κρατερῆς εἵνεκεν ἠνορέης.
οἰνοβαρὴς μετὰ δαῖτα, μεθυσφαλὲς ἴχνος ἑλίσσει,
νικηθεὶς ἁπαλῷ λυσιμελεῖ βρομίῳ.

Εἰς ἕτερον ἀγῶνα τοῦ αὐτοῦ.

Χαίτην, καὶ ῥόπαλον, καὶ γ' ἐν ὀφθαλμοῖσιν ἀταρβῆ
θυμὸν ὁρῶν, βλοσυρόν τ' ἀνδρὸς ἐπισκύνιον,
ζήτει δέρμα λέοντος ἐπ' εἰκόνι. κἂν μὲν ἐφεύρῃς,
Ἡρακλέης. εἰ δ' οὖν, Λυσιμάχοιο πίναξ.

Εἰς ἕτερον ἄγαλμα τοῦ αὐτοῦ.

Οἷα Θειοδάμας πεινῶντι Ἡρακλῆϊ,
πῖον ὁ τεχνίτης τὸν δ' ὡς εἰργάσατο,

βοῦν ἀρότην ἕλκοντα, καὶ αὐτίκα νύσσοντα κορώνην.
ἀλλ' οὐ τὴν ὅλην γράψε βοοσφαγίην.
ναὶ τάχα Θειοδάμαντι γονήμονα χείλεσι φωνὴν
ἥρμοσεν. ἧς ἀΐων φείδεται ἡρακλέης.

Εἰς εἰκόνα ἑτέραν τοῦ αὐτοῦ.

Οἷον καὶ κρονίδης ἔσπειρέ σε τῇ τρισελήνῳ
νυκτὶ, ὅτ' εὐρυσθεὺς αὐδὴν ἀεθλοφόρον,
κὴκ πυρὸς εἰς ὄλυμπον ἐκώμασας ὦ βαρύμοχθε
ἀλκείδη, τοίην εἰκόνα σου βλέπομεν.
ἀλκμήνης δ' ὠδῖνας ἔχει λίθος. αἱ δὲ μεγαυχεῖς
θῆβαι, νῦν μύθων εἰσὶν ἀπιστότεραι.

Εἰς ἄγαλμα τοῦ αὐτοῦ.
Γεμίνου.

Ηρακλεῦ, ποῦ σοι πόρθος μέγας, ἥτε νέμειος
χλαῖνα, καὶ ἡ τόξων ἔμπλεος ἰοδόκη;
ποῦ σοβαρὸν μίμημα; τίς ἔπλασεν ὧδε κατηφῆ
Λύσιππος, χαλκῷ δ' ἐγκατέμιξ' ὀδύνην.
ἄχθῃ γυμνωθεὶς ὅπλων σέο; τίς δέ σ' ἐπόρθησεν;
ὁ πτερόεις. ὄντως εἷς βαρὺς ἆθλος, ἔρως.

Εἰς τὸ αὐτό. Φιλίππου.

Ηὖν τοῦτ' ἄρα λοιπὸν ἐβούλετο πᾶσιν ἐπ' ἄθλοις
ὅπλων γυμνὸν ἰδεῖν τὸν θρασὺν ἡρακλέα.
ποῦ χλαίνωμα λέοντος, ὅ,τ' εὐροίζητος ἐπ' ὤμοις
ἰός, καὶ βαρύπους ὄζος ὁ θηρολέτης;
πάντα σ' ἔρως ἀπέδυσε. καὶ οὐ ξένον, εἰ διὰ κύκνον
ποιήσας, ὅπλων νοσφίσαθ' ἡρακλέα.

Εἰς ἀνδριάντα Θησέως, καὶ τοῦ μα-
ραθωνίου ταύρου.

Θαῦμα τέχνης ταύρου τε, καὶ ἀνδρός. ὧν ὁ μὲν, ἀλκαῖ
θῆρα βίῃ βρίθει, γυῖα τιταινόμενος.
ἶνας δ' αὐχενίου γναμπτῶν, παλάμῃσιν ἔμαρψε
λαιῇ μυκτῆρας. δεξιτερῇ δὲ κέρας.
ἀστραγάλους δ' ἐλέλιξε. καὶ αὐχένα θὴρ ὑπὸ χερσὶν
δαμνάμενος κρατεραῖς, ὤκλασεν εἰς ὀπίσω.
ἔστι δ' οἴεσθαι τέχνης ὕπο. τὸν δ' ἐνὶ χαλκῷ
θῆρα μὲν ἐμπνείειν, ἄνδρα δ' ἱδρῶτι ῥέειν.

Εἰς ἀνδριάντα Καπανέως.

Εἰ τοῖος θήβης Καπανεὺς ἐπεμήνατο πύργοις
ἄμμασιν ἠερίην κλίμακα μνησάμενος,
εἷλεν ἂν ἄστυ βίῃ, καὶ ὑπὲρ μόρον. ἄδεε γὰρ ῥᾶ
καὶ σκηπτὸς Κρονίδου τοῖον ἑλεῖν πρόμαχον.

Εἰς Ἴκαρον χαλκοῦν ἐν λυχνῷ ἱστά-
μενον. Ἰουλιανοῦ.

Ἴκαρε, κηρὸς μέν σε διώλεσε. νῦν δέ σε κηρῷ
ἤγαγεν εἰς μορφὴν αὖθις ὁ χαλκοτύπος.

ἀλλ' ἃ

ἀλλ' ἄγε μὴ πτερὰ πάλλε κατ' ἠέρα, μὴ τὸ λυγρὸν
ὑψόθεν πίπτων, ἰκάριον τελέσῃς.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἴκαρε, χάλκεος ἐὼν, μιμνήσκεο, μὴ δέ σε τέχνη,
μὴ δ' ἀπατᾷ πτερύγων ζεῦγος ἐπωμάδιον·
εἰ γὰρ ζωὸς ἐὼν πέσες ἐν πελαγίεσι θαλάσσης,
πῶς ἐθέλεις πτῶσαι χάλκεον εἶδος ἔχων;

Εἰς Ἱππόλυτον διαλεγόμενον τῇ τροφῷ τῆς Φαίδρας. Ἀγαθίου σχολαστικοῦ.

Ἱππόλυτος δὲ γρηὸς ἐπ' οὔατι νηλέα μῦθον
φθέγγεται. ἀλλ' ἡμεῖς, οὐ δυνάμεσθα κλύειν.
ὅσσον δ' ἐκ βλεφάροιο μεμηνότος ἔστι νοῆσαι,
ὅττι παρεγγυάω μηκέτ' ἄθεσμα λέγειν.

Εἰς εἰκόνα Τηλέφου τετρωμένου. Φιλοστράτου.

Οὗτος ὁ Τευθρανίας πρόμος ἀρχὸς, οὗτος ὁ πρὶν
Τήλεφος αἱμάξας φρικτὸν Ἄρη Δαναῶν.
μυσὸν ὅτε πλήθοντα φόνῳ ἐκόρασε Κάϊκον.
οὗτος ὁ πηλιακοῦ δούρατος ἀντίπαλος,
νῦν ὀλοὸν μηροῦ κεύθων βάρος, οἷα λιπόπνους
τήκεται, ἐμψύχῳ σαρκὶ συνελκόμενος.
οὗ καὶ τειρομένοιο ποδὶ πτώσσοντες ἀχαιοὶ,
φύρδην τευθρανίας νεῦνται ἀπ' ἠιόνος·

Εἰς εἰκόνα Φιλοκτήτου. Γλαύκου.

Καὶ τὸν ἀπὸ τρηχῖνος ἰδὼν πολυώδυνον ἥρω,
τόνδε Φιλοκτήτην ἔγραφε Παῤῥάσιος.
ἔν τε γὰρ ὀφθαλμοῖς ἐσκληκόσι κωφὸν ἐνοικεῖ
δάκρυ, καὶ ὁ τρύχων ἐντὸς ἔνεστι πόνος.
ζωογράφων ὦ λῷστε, σὺ μὲν σοφός. ἀλλ' ἀναπαῦσαι
ἄνδρα πόνων ἤδη τὸν πολύμοχθον ἔδει.

Εἰς τὸν αὐτόν.

Ἐχθρὸς ὑπὲρ Δαναοὺς πλάσας ἐμὸς ἄλλος Ὀδυσσεὺς,
ὅς μ' ἔμνησε κακῆς οὐλομένης τε νόσου.
οὐκ ἤρκει πέτρη, τρῦχος, λύθρον, ἕλκος, ἀνίη,
ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

Εἰς τὸν αὐτόν. Ἰουλιανοῦ Αἰγυπτίου.

Οἶδα Φιλοκτήτην ὁρόων, ὅτι πᾶσι φαείνει
ἄλγος ἑὸν καὶ τοῖς τηλόθι δερκομένοις.
ἄγρια μὲν κομόωσαν ἔχει τρίχα. δεῦρ' ἴδε κόρσης
χαίτην, τρηχαλέοις χρώμασιν αὐαλέην.
δέρμα κατεσκληκὸς δὲ φέρει, καὶ ῥικνὸν ἰδέσθαι,
καὶ τάχα καρφαλέον χροιῇ ἐφαπτομένας.
δάκρυα δὲ ξηροῖσιν ὑπὸ βλεφάροισι παγέντα
ἵσταται, ἀγρύπνου σῆμα δυηπαθίης.

Εἰς

Εἰς Πύῤῥον μέλλοντα σφάξαι τὴν Πολυξένην Κοσμᾶ μηχανικοῦ.

Πύῤῥος ἐγώ, προδίδω δὲ πατρὸς χάριν. ἡ δὲ κυνῶπις
παλλάδια μ' ἐκλήσκει, γνωτὸν ἔχουσα Πάριν.

Εἰς Χείρωνα τὸν ἱπποκένταυρον.

Ἀνδρόθεν ἐκκέχυθ' ἵππος, ἀνέδραμε δ' ἱππόθεν ἀνήρ.

Εἰς τὸν αὐτόν. Ἄδηλα.

Ἀνὴρ νόσφι ποδῶν, κεφαλῆς δ' ἄτερ, αἰόλος ἵππος.

Εἰς τὸν αὐτόν.

Ἵππος ἐκβλύζεται ἄνδρα, ἀνὴρ δ' ἀποφύεται ἵππου.

Εἰς τὸν αὐτόν. Εὐόδου.

Ἵππος ἔην ἀκάρηνος. ἀνὴρ δ' ἀτέλεστος ἔκειτο;
ὅν γε φύσις παίζουσα, θοῷ ἐνεκέντρισεν ἵππῳ.

Εἰς κυνέγειρον. Κορνηλίου.

Οὔ σε μάκαρ Κυνέγειρε τὸν ὡς κυνέγειρον ἔγραψε
φάσις, ἐπεὶ βριαρὰς ἄνθετο σὰς παλάμας.
ἀλλὰ σοφός τις ἔην ὁ ζωγράφος. οὐδέ σε χειρῶν
νόσφισε, τὸν χειρῶν οὕνεκεν ἀθάνατον.

Εἰς τὸν αὐτόν. Παύλου Σιλεντιαρίου.

Μηδοφόνους μὲν χεῖρας ὑπὲρ γαμψοῖο κορύμβου
ναὸς ἀρνυμένης ἐξέταμον κοπίδων,
ἁνίκα που Κυνέγειρε φυγᾶς ποτὲ φορτὶς ἐκείνα,
ὥσπερ ἀπ' ἠϊόνας εἴχετο σᾶς παλάμας.
ἀλλὰ καὶ ὥς, ἀπρὶξ δόρυ νήϊον ἀμφιλαβοῦσαι,
ἄπνοον ὠμάρτευν τάρβος ἀχαιμενίοις.
καὶ τὰς μέν, τις ἀνὴρ ἕλε βάρβαρος. ἁ δέ γε χειρῶν
νίκα, μονοψίοις μίμνε παρ' ἀειναέταις.

Εἰς στήλην Ἀλεξάνδρου τοῦ μακεδόνος.
Ποσειδίππου.

Λύσιππε πλάστα σικυώνιε, θαρσαλέη χείρ,
δάϊε τεχνῖτα, πῦρ τοι ὁ χαλκὸς ὁρῇ.
ὃν κατ' ἀλεξάνδρου μορφᾶς χέες. οὐκέτι μεμπτοὶ
πέρσαι. συγγνώμη βουσὶ λέοντα φυγεῖν.

Εἰς τὸν αὐτόν. Ἀρχελάου, οἱ δέ,
Ἀσκληπιάδου.

Τόλμαν ἀλεξάνδρου, καὶ ὅλαν ἀπεμάξατο μορφὰν
Λύσιππος, τίν' ὅδε χαλκὸς ἔχει δύναμιν;
αὐδάσοντι δ' ἔοικεν ὁ χάλκεος, ἐς Δία λεύσσων.
γᾶν ὑπ' ἐμοὶ τίθεμαι. Ζεῦ, σὺ δ' ὄλυμπον ἔχε.

Εἰς τὸν αὐτόν. Ἄδηλα.

Αὐτὸν ἀλέξανδρον τεκμαίρεο. ὧδε τὰ κείνου
ὄμματα, καὶ ζωὸν θάρσος ὁ χαλκὸς ἔχει.
ὃς μόνος ὃν ἐφορῶσιν ἀπ' αἰθέρος αἱ Διὸς αὐγαί,
πᾶσαν Πελλαίῳ γῆν ὑπέταξε θρόνῳ.

Εἰς τὸν αὐτόν. Ἄδηλον.

Τοῦτον Ἀλέξανδρον μεγαλήτορα υἷα Φιλίππου
δέρκεαι, ἀρτιλόχευτον, Ὀλυμπιὰς ὅν ποτε μήτηρ
καρτερόθυμον ἔτικτεν. ἀπ' ὠδίνων δὲ μιν Ἄρης
ἔργα μόθων ἐδίδασκε. τύχη δ' ἐκέλευσεν ἀνάσσειν.

Ἄδηλα.

Μὰ τὸν Βουθοίναν Ἡρακλέα πάνδαν ἀγρῶται,
οὐκέτι κερδαλέοις ἔμβατα ταῦτα λύκοις.
φῶρές τε σταχύων κλοπίην ὁδὸν ἀρνήσονται,
εἰ καὶ κωμήτας ἄκριτος ὕπνος ἔχει.
ἦ γάρ μ' ἱδρύνατο Διονύσιος οὐκ ἄτερ εὐχῆς.
χώρης δ' ἀγαθὸν σύμμαχον Ἡρακλέα.

Μὴ τρέσσης ὅτι τόξον ὁδοιπόρε, καὶ νεοθηγεῖς
ἰοὺς γυμνώσας, πρόσθε ποδῶν ἔθεμεν,
μηδ' ὅτι βαστάζω ῥόπαλον χερί, μηδ' ὅτι δέρμα
ἀμφ' ὤμοις χαροποῦ τοῦ λέοντος ἔχω.
σημαίνειν οὐ πάντας ἐπίσταμαι, ἀλλὰ κακούργους.
καὶ σώζειν ἀγαθοὺς ἐξ ἀχέων δύναμαι.

Εἰς τὸν Ὀδυσσέα. Ἄδηλον.

Αἰὲν Λαερτιάδη πόντος βαρύς. εἰκόνα χεῦμα
ἔκλυσεν, κἀκ δελτῶν τὸν τύπον ἠφάνισεν.
τί πλέον; ἐν ἐπέεσιν Ὁμηρείοις γὰρ ἐκείνου
εἰκὼν ἀφθάρτοις ἐγγράφεται σελίσιν.

Εἰς τὸν μινώταυρον.
Ἄδηλον.

Ὁ παῖς ὁ ταῦρος, ὁ κατὰ μηδὲν ἐντελής,
ὁ τῆς τεκούσης τοῦ πάθους κατήγορος,
ὁ μιξόθηρ ἄνθρωπος, ἡ διπλῆ φύσις,
ὁ ταυροκράνος, ἡ πλάνη τῶν σωμάτων,
ὃς οὔτε βοῦς πέφυκεν, οὔτ' ἀνὴρ ὅλως.

Εἰς Ὀρέστην. Ἄδηλον.

Τίς τὸν Θρηΐκα τόνδε μονοκρήπιδα Λυκοῦργον
χάλκεον ἠδωνῶν ταγὸν ἀνεπλάσατο;
βακχιακὸν παρὰ πρέμνον ἴδ' ὡς ἀγέρωχα μεμηνὼς
βριθὺν ὑπὲρ κεφαλᾶς ἀντέτακεν χάλυβα.
μανύει μορφὰ τὸ πάλαι θράσος. ἁ δ' ἀγέρωχος
λύσσα, καὶ ἐν χαλκῷ κεῖνο τὸ πικρὸν ἔχει.

Εἰς Ἰφιγένειαν.
Ἄδηλον.

Μαίνεται Ἰφιγένεια. πάλιν δέ μιν εἶδος Ὀρέστου
εἰς γλυκερὴν ἀνάγει μνῆστιν ὁμαιμοσύνης.
τῆς δὲ, χολωμένης, καὶ ἀδελφὸν εἰσορώσης,
οἴκτῳ, καὶ μανίῃ βλέμμα συνεξάγεται.

Καλλ-

Καλλιμάχου εἰς Ἠετίωνα.

Ηρως ἠετίωνος ἐπὶ σαθμὸν ἀμφιπολίτεω
ἵδρυμαι μακρῷ μικρὸς ἐπὶ προθύρῳ,
λοξὸν ὄφιν, καὶ μοῦνον ἔχων ξίφος. ἀνδρὶ δὲ ἱππεῖ
θυμωθεὶς, πεζὸν κἀμὲ παρῳκίσατο.

ὄπασσα. Ego Prometheus. πυρσὸν. ignem. τέχνης. τῆς χαλκευτικῆς. ærariæ artis, æris fundendi. ἐκ τέχνης. ex ea arte. Aeschylus. ἀφ' οὗ (πυρὸς) πολλὰς ἐκμαθήσονται τέχνας. Aristoteles. αἱ τέχναι πυρὶ χρῶνται ὥσπερ ὀργάνῳ. hinc poetis Vulcanus ignis deus faber est, eius inuentor si credimus Diodoro. notissimus est autem ex Hesiodo Promethei ignis. ἦ. sane. ἀντ' εὐεργεσίης. quod ignem è cœlo ad homines detulerim. τανῦθ' ὑπὸ χαλκοτύπων. subaudi πάσχω, se ab excussoribus figurari non æquo animo fert Prometheus, quasi uehementer crucietur ab Aquila, non talem eum imago reddat. in hunc modum illa. σπλάγχνων ἐκμυχάτων, & ἄλγος ἄπαυστον, enucleanda. ἀτειρέα βίβλος ὁμήρου. χαλκὸς ἀτειρὴς Homero dicitur Iliad. ξ. (ἄτρωτος οὐ τειρόμενος ait interpres.) ε. τ. & Odyss. ν. ἐλεγχομένην. βίβλον, ὁδηλώσας. Diodorus primo & quinto. Philostratus lib. in uita Apoll. 2. secus ac Theocriti commentator Idyl. 7. Aquilæ Promethei fibras depascentis historiam texuit. cum utroque litigant Hesiodi Theogoniæ scholia. ἰαπετιονίδης. Iapeti filius Prometheus. Hesiodus. ἰαπετιονίδη πάντων πέρι μήδεα εἰδώς. μετὰ σφαγὴν ὀρνέων. post aquilæ cædem, quam peremit Hercules. Lucianus in Dialogis, Arrianus lib. 5. Aeschylus in Prometheo. & Aphrodiseus in Problema. ubi Herculem Astrologum fuisse apparet (licet Festo in uoce Hercules non ualde assentiar) quem καὶ τῇ φιλοσοφίᾳ καὶ τῇ δικαιοσύνῃ πλέον διενεγκόντα πάντων τῶν γεγονότων, ἢ τῇ ῥώμῃ τῇ τοῦ σώματος narrant Isocrates & Suidas. μακαρίζουσι συνέσιος. Euripides in Oreste. ὅτι θεοῖς ἄνθρωπος ὤν, κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον. κρᾶσις. aqua. λιβάδος θνητῆς. aquæ. humani potus. πεπαυνότων. Tantali labia suffugiēs. quem ea pœna torqueri apud inferos canit Homerus Odyss. λ. à quo recedit dicta fabula Euripides. διὸς πεφυκὼς ὡς λέγουσι τάνταλος, κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον, ἀέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην. & Pindarus primo Olymp. hymno. πέρω δ' ἕλεν ἄταν ὑπέροπλον. τάν οἱ πατὴρ ὑπερκρέμασε καρτερὸν αὐτῷ λίθον, ἀεὶ μενοινῶν κεφαλᾶς βαλεῖν. consule cōmentarium. Philostratus lib. uitæ Apoll. 3. noua quędam de Tantalo cōminiscitur, ex ea tamen pagina quid sit Tātali Phiala non te latebit. τὸ τόρευμα. Tantalus in Cratere cælatus. στυγῆς. nam is ἀκόλαστον ἔχει γλῶσσαν αἰσχίστην νόσον. κολαζόμεθα. nos futiles & loquaces. τοῦτο. hoc modo. δρακόντων. draconum. serpentium. ἐξ ἔτι νηπιάχοιο. ab incunabulis, à puero. elegātius Euripides. ἔτι ἐν γάλακτι τ' ὄντι. λέβητα. uictorū præmia. Diotimus. οὐ χαλκείου ἀντὶ λέβητος. λέβητα γὰρ ἐτιμῶντο ἐν πολλοῖς τῶν ἀγώνων καὶ ἀσπίδας χαλκᾶς. Pindari glossulæ τὸ ἀρχαῖον δύο γλύντεχ πόδων ἦσαν, οἳ καὶ λέβητες ἐκαλοῦντο, ἐμπυριβῆται καὶ ὁ λουτροχόος. ὁ δὲ ἕτερος κρατὴρ καλούμενος. grammatici. ἔφυ est. εἰς τοὺς δώδεκα ἄθλους τοῦ ἡρακλέους. de ijs scriptores altercātur. lege Boccacium in genealogijs, & Diodorum in quinto. duodecim signa ab Hercule agnita autumat Seruius. Pythagorici solē esse per ea transeuntē affirmāt, quæ undecim (etsi ob calculi difficultatē intercedūt Astronomi) sunt tantū. nam scorpio magnitudine sui corporis duorum locum occupat signorū, è quibus prior pars Chelæ, reliqua Scorpio uocatur. Chaldæi quoque Scorpionem & Libram pro uno acceperunt. Chelæ enim Scorpij faciunt Libram. At Hephestion: ὃν μὲν παλαιότεροι πάντες ζυγὸν ὠνόμασαν, ὁ δὲ πτολεμαῖος χηλὰς. οὓς τελάς. quibus exantlatis

tis. μῆλα. Hesperidum. πώλους, Diomedis. Lucretio ignem spirantes. ἱππολύτην aut Menalippam. Amazonem. ὄφιν. hydram. quam Latini excetrã uocant 90. capitum serpentem ut Simonides. ut Alcæus 50. ut alij 7. uel 5. quorũ unum immortale credebatur. χάους κύνα. Cerberum. Pausanias in Laconicis. Phurnutus in Cerbero. & Hesiodus in Theogonia. θῆρα νεμέας. leonem. οἰωνούς. Stymphalidas. περγαμίης. Pergameni Herculem ut tutelarem deum forte uenerabãtur quod Telephus ex eo matre Auge natus esset. τηλεφίδας. Pergamenos. à Telepho qui Mysiæ in qua Pergamum imperauit. πρῶτα μὲν. Tzetzes in historico, Quinti Smyrnæi carmina hæc esse ostendit. πολυάιχμην. πολυκέρωον. ἔλαφον. Mænaliam. ἀμαζονίδος. Hyppolytæ. ἐξ ἐρυθείης. Ex Erythia insula (cuius Plinio Melæ & Stephano in dictionibus ἀφροδισιὰς καὶ ἐρύθεια mẽtio est) Geryonis armenta abduxit Hercules. Hesiodus in Theogonia commentum aliud recitat, Pausan. in Att. & Palæphatus. Arrianus lib. 2. ex Hecatæo uanum id omne esse arbitratur, & Aristoteles περὶ θαυμασίων ἀκουσμάτων. Strabo Gades Erythiam appellasse priscos perhibet. μουνονυχί. una nocte. Aratus πολλάκις αὐτονυχὶ θησόμεθα. κατὰ τὴν αὐτὴν νύκτα. Homerus. αὐτονυχὶ νεαὰς ὑπεβήσατο μὲν πεντήκοντα κούραις. Greg. Nazianzenus. καὶ ἆθλον ποιησάμενος τρισκαιδέκατον, ἐν μιᾷ νυκτὶ τὰς θεσίου (alij θεσπίου) πεντήκοντα θυγατέρας. Theon Sophista. καὶ παρὰ ἐφόρῳ τὸ περὶ πεντήκοντα θεσίου θυγατέρων, ἃς ἁπάσας παρθένους οὔσας φασὶν ἅμα μιγῆναι τὸν ἡρακλέα. Herodotus non una nocte sed septẽ diebus quinquaginta uirgines Thespiæ filias mulieres reddidisse tradit. Adi libro 5. Diodorũ, Tzetzen in historico, & Pausan. in Bœot. ζωστῆρα. Amazonis. κεμάς. Ceruæ. ἔλαφος. ταυροβόροιο. tauros uorantis. γεαρόται. agricolæ. δέδμηται. cecidit. domitus est. αὐχένα. ceruice. παλάμαις. Herculis. ἐξελάσατε. iam tuto, cæso leone. πάλιν. rursum. νάπαις. saltus. rupium. alijs νάπαι εἰσὶν αἱ παραθαλάσσιοι πέτραι, αἱ ὑπὸ τοῦ αἰγιαλοῦ ὑπὸ τῶν κυμάτων πληττόμεναι. ῥινῷ. leonis pelle. μὲν νόθοισι. spurijs mariti filijs infensæ, pellicibus suis molestę. ὁ ξεῖνος. Hercules Argiuus. ὁ μὲν. leo. λοξὸν ὑπὲρ ζωᾶς. limis oculis leonem intueri inficias it Plinius. εἴη. contingat. τὸν ἀπ' ἄργεος. Argiuum. ὡς αὐτός. ut ipse, tibi sacram Nemeam tuto adeas. ἀνέρος. Herculis. τί πρῶτον. ex Theocrito. γήθησον. gaude. χάλκεον. æneum Antæũ. ἰλυωθείς. reuolutus & inflexus. ἵεσαι. mittere. κενταύρους. Ouidius Metamor. 11. Nec mihi centauri potuere resistere. fabulam recitat Tzetzes in Lycophronem. οἰνοβαρής. gulæ & Veneri ultra quàm par est Herculem indulsisse multorum monumenta testantur, ut mirum sit eum quemadmodum ferunt semel iurasse. μεθυσφαλής. mero uacillans. ἐπισκύνιον. supercilium. ἐφεύροις. inueneris. εἰ δ' οὖν. sin minus. λυσιμάχοιο πίναξ. Lysimachi tabula est, qui simul inclusum leonem strangulauit. Plinius lib. 8. cap. 16. Paus. in Att. Seneca philosophus. Tacent hoc Plutarchus & Arrianus, Quod leonem cum uenaretur excepisset ac uno uulnere occidisset, fabulam quæ obiectum leoni ab Alexandro Lysimachum uulgauit ab eo casu ortam putat Curtius. Valer. Max. ipsum à leone cæsum credidit lib. 9. οἷον θειοδάμας. Theodamantem depingit Philostratus, è quo in Artemide Callimachus aperietur. ἀντιβόλησεν. obuius fuit. τὸν διός. Herculem. βουσφαγίην. Herculis. ἁρμοσύνη. ὁ τεχνίτης. ὡς αἴνων. quam audiens Hercules, bouem non interfecit. τῇ τριεσπέρῳ νυκτί. Lycophron. τριεσπέρου λέοντος. Hæc alibi. ἐκ πυρός. καὶ ἐκ πυρός. ex igne Oetæo. βαβαί. quæ Herculem apud uos natum asseritis. νῦν μύθων. in hoc enim lapide procreatus est Hercules, non Thebis. πρόρθος. claua. νέμειος. Nemæi leonis. τόξων. sagittarum. ἰοδόκη. Pharetra. σύ. tuis. ὁ πόθος. amor. ἥρη. Iuno. ἰός. arcus. ὄζος. claua. θηρολέτης, θηροκτόνος. θεὸς ἀπέδυσε. Ompha

les amor, aut Iole. id declarat Ouidiana Deianiræ ad Herculem epiſtola. καὶ οὐ ξένον, nouum atque incredibile. κύκνον. olorem, poſito fulmine. νοσφισθ'. priuauit. ταύρου. Tauri Marathonij. καὶ ἀνδρός. Theſei, qui taurum ut ait Iſocrates à Neptuno immiſſum ſolus domuit. Plutarchus in uita Theſei hiſtoricos rem perſequitur. adi Pauſaniam in Att. ἄλκαν θῆρα. Alcibus feris gallicis ferocitate non cædentem, quas mutilas eſſe cornibus perhibet Cæſar libro de bello Gallico ſexto. contra Pauſanias. ἄλκαι μὲν γὰρ καὶ κέρατα ὑπὲρ τοῖς ὀφρύσιν ἔχουσιν οἱ ἄρρενες. ego Cæſarem audio. nam Pauſanias & hic Philippus (niſi fallor) ἄλκαν pro uro qui eſt ſpecie colore & figura tauri accipiunt. ego tamen ἄλκαν ἀντὶ τοῦ ἀλκήεντα, aut robore & uirtute libentius explicarem. γυῖα. tauri. ἀστραγάλους. ſpinæ uertebras, quibus collum incumbit. ἐλέλιξε. διέσεισεν, ἐκίνησεν, συστραφῆναι ἐποίησεν. θήβης. Thebarum. ἐπεμβαίνων πύργοις. Aeſchylus in tragœdia, cui ἑπτὰ ἐπὶ θήβαις titulus. πύργοις δ' ἀπειλεῖ. ex qua nonnulla in ſuas Phœniſſas tranſtulit Euripides. ἠρίπιον, excelſam. κλίμακα. ἣν προσβαλὼν πύλαισι, ὤμοσεν πόλιν πέρσειν, θεοῦ θέλοντος, κἂν τι μὴ θέλῃ. Euripides. Vegetius. ſed qui ſcalis nituntur frequenter periculum ſuſtinent exemplo Capanei à quo primum hæc ſcalarum oppugnatio perhibetur inuenta, qui tanta ui occiſus eſt à Thebanis, ut extinctus fulmine diceretur. Vegetio fauet Diodorus in 5. ipſe Euripides. ἐκεῖνος. (Capaneus) ἑπτὰ πρὸς βαθμοῖς τεκμαίρεται πύργον, ἄνω δὲ καὶ κάτω τείχη μετρῶν. & infra ubi de eius interitu. ἅμμασι. funibus. ἄστυ. Thebas. καὶ ὑπὲρ μόρον. obſtante fato. κρονίδου. Iouis fulmen. Σαλμωνεύς. Virgilius Aeneidos ſexto. hoc ſupra. porro labrum illud æneum in quod claui lapillique coniecti circumactique tonitrui ſonitum in ſcena imitantur, βροντεῖον nominant Græci. τύπον. imaginem. κηρὸς μὲν σε διώλεσε. Cera calore ſolis liquefacta. Ouid. transformat. octauo. νῦν δὲ σε κηρῷ Ceram pro cerea imagine poſuit Martialis libro ſeptimo, Iuuenalis ſatyra 8. & Statius. Cicero fingere è cera appellat. Suidas. κηροπλάσται οἱ τοὺς κόρους πλάττοντες κηρῷ ἢ γύψῳ ἢ πηλῷ τινι. Ceras uero coloribus pingi ad eas picturas quæ inuruntur auctor eſt Plinius. Ceris pingere ac picturam inurere, quis primus excogitauerit non conſtare prodit ipſe Plinius, eius præterea duo fuiſſe antiquitus genera, Cera & in ebore ceſtro, id eſt uiriculo, tum acceſſiſſe tertium, reſolutis igne ceris, penicillo utendi. id genus picturæ κηρογραφίαν ἐγκαύστην ἢ ἐγκαυστικὴν uocant. ὁ χαλκοτύπος. ὁ κηροπλάστης. πάλλε. moue. κατ' ἠέρα. uti olim. ἰκάριον. quemadmodum mare Icarium. μέμνησο. te æreum eſſe memineris. τέχνη. fallat. πορφύρων ζεῦγος. quod cum aliis ſis conflatus. ἱππόλυτος. Hippolytus filius fuit Theſei & Hippolytæ aut Antiopæ Amazonis, cuius omnibus in ſcholis continentia decantatur ex Senecæ & Euripidis Hippolyto, atque Ouidio transformat. ultimo. τῆς γραός. anus. κλύειν. audire. μεμηνότος. iram & inſaniam ex dolore præ ſe ferentis ὅτι. certum eſt, credibile eſt ſupple. παρεγγυᾷ. τῇ τροφῷ τῆς φαίδρας. λέγειν. ipſi Phædræ. τευθρανίας πρόμος. Plinius. ſupra Aeolida & partem Troadis in mediterraneo eſt quæ uocatur Teuthrania quam Myſi antiquitus tenuere, apud quos Telephum regnaſſe ſcimus. id quo caſu euenerit, Strabo libro decimotertio, Dares Phrygius, & Vlyſſes Alcidamantis contra Palamedem enarrant. Pauſanias. χρόνῳ δὲ ὕστερον οἱ πέργαμον ἔχοντες, πάλαι δὲ τευθρανίαν καλουμένην. Pindari gloſſulæ. τεύθραντος δὲ πεδίον τὴν μυσίαν λέγει. ὁ γὰρ τεύθρας ἐβασίλευσε τῆς μυσίας. μυσῶν καΐκον. flumen Caicum ex Myſia ueniens, cuius ad ripas Cygnum & Telephum cum exercitu contra Græcos pugnaſſe, Terſandrumque Polynicis filium occubuiſſe ferunt, quod etiam Q. Calaber libro tertio guſtauit. πηλιακοῦ. Achilleæ haſtæ. κοίθων

βάρος

βάθρῳ. Saucium Telephum siderite herba quæ Achilleos dicitur ( Apuleius Myriophyllum & Stratioticem appellat) uel Achilleæ hastæ rubigine tãquam diapasmate inspersa sanatum fama spargit. Secunda plaga auxilium priori malo allatum anile somnium est. λιπόπνους. quem spiritus & uita deficit. οὔ κεν ταρμύσσοιο. quo etiam ab Achille uulnerato. πεφρικώσοντες. formidantes, fugientes. νεῶνται. discedunt. τὴν ἀπὸ τρηχῖνος. Heraclea, Trachin dicta Thessaliæ est oppidum Stephano. ἥρω. Heroem. ἀζαλέοισι. aridis. ἀναπαῦσαι. cessasse quieuisse. ἤδη. post tot labores. ἀνδρὸς πόνων. quos à natrice percussus multos annos in Lemno insula perpessus est. Homerus Iliados β. δαναοὺς. qui me prodiderunt. πλεῖστος. forte Parrhasius. ἄλλος ὀδυσσεύς. meus alter Vlysses, id est aduersarius. Agamemnon Menelaus & Vlysses Philoctetem à uipera morsum in Lemno reliquerunt. Tzetzes in Lycophronem, & Sophocles in Philoctete, ubi & hunc Vlyssi maxime infensum ostendit. Aiax apud Q. Calabrum lib. 5. Vlyssem obiurgans. σὺς γὰρ ὑπὸ φρεσὶ παγκλυτὸν ποιάντιον υἷα λήμνῳ ἐν ἠγαθέῃ λίπομεν μεγάλα στενάχοντα. οὐκ ἤρκει πέτρος. specus erat in quandam laxitatem excauatus rupem suspendens, duosq; habens aditus, quorum unus ad meridiem patens hyeme solem recipiebat, alter ad septentrionem conuersus æstate frigidiores uentos admisit, in hoc uitam trahebat Philoctetes. Sophocles dicta tragœdia, & Q. Calaber libro nono. ἄλγος ἑόν. dolorem suum. ἄγρια. horride. ἰδέ. aspice. τρηχαλέοις. asperis. sordibus & eluuie plenis. χροΐ. tactu. δυσπαθείας. τοῦ πόνου ἢ ταλαιπωρίας. αὐσύδω. ad Polyxenen iugulandam. πάλλαδα κικλήσκω. Cum spreta Minerua Veneri suffragatus sit frater Paris: uerum in poemate quodam de tribus deabus ab eo adolescente composito. Dares Phrygius Paridi in Ida sylua cũ illuc uenatũ abijsset in somnijs ea uisa numina prodit. alia Platonici. lege Suidam in uocabulo πάρειον. γνωτόν. fratrem. ἱππόθεν. ex equo. ποδῶν. hominis. κεφαλῆς. equinæ. ἀπεσφράγισται. Tzetzes. καὶ δὴ καὶ ἰουλιανὸς ὁ αὐτοκράτωρ γράφει ἡρώων μέτρῳ. ἀνθρώπου δ' ἀπεσφράγισται ἵππου. cuius postrema pars equi est. ἐνεκέντρισεν. inseruit. φάσις. Phasis pictor. anxie sic. οὔσε. non te pictor ἔγραψε. ὡς φάσις. ut fama te pingit. ἀνδρῶν. cum manibus posuit. μυδοφόνους. tuas. ἀγρωμένης. incitatæ. agitatæ. κοπίδων. Persarum gladij. φορτίς. nauis. ὥσπερ ἀπ' ἀγκύρας. tanquam ab anchora retinebatur. Qui κυνήγειρος sed κυναίγειρος à poetis scribi negant, ualde hallucinantur. Cornelius. οὔσε μάκαρ κυνήγειρε. Paulus Silentiarius. αἰνίκα που κυνήγειρε. Crinagoras. ὀθρυάδην ἀπάρτης μέγα κλέος, ἢ κυνήγειρον. & alius. ὦ τλῆμον κυνήγειρε. ἀλλὰ καὶ ὡς. abscissæ manus. ἀμφιδακοῦσαι quæ momorderant. ὠμάρτουν. insequebantur. τάρβος. recto casu, per appositionem. ἀχαιμενίοις. Persis ab Achæmene Persei uel Aegei filio. Lucanus. Miles Achæmenium Marathonis in æquore Persen. μοψοπίοις. Atheniensibus. Stephanus ibi. μοψοπία. Strabo à Mopso non uate nec Lapitha, sed alio quodam. Complures à Mopsopia Oceani filia Athenienses Mopsopios denominatos malunt. λύσιππε πλάστα. Crinitus libro decimosexto cap. septimo Alexandrum scribit tantum permisisse ut effigiem suam ære duceret Polycletus, Apelles coloribus deliniaret, Pyrgoteles celamine exsculperet. Horatium itaq; lib. epistolarum secũdo, Lysippum pro Polycleto adiecisse, desipit proculdubio non tam Crinitus Flaccum carpens quam Apuleius Floridorum primo qui hunc errorem uulgauit. Plinius libro septimo cap. trigesimo septimo. idem hic imperator (Alexãder) edixit ne quis ipsum alius quam Apelles pingeret, quã Pyrgoteles sculperet, quam Lysippus ex ære duceret. Plutarchus in Alexandro. τὴν μὲν οὖν ἰδέαν τοῦ

σώματος, οἱ λυσίππειοι μάλιστα τὴν ἀνδριάντων ἐμφαίνουσιν. ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι. idem in commentario de uirtute aut fortuna Alexandri. διὸ καὶ μόνον ἀλέξανδρος ἐκέλευε λύσιππον εἰκόνας αὐτοῦ δημιουργεῖν. M. Tull. libro epistol. famil. 5. neq; enim Alexander ille gratiæ causa ab Apelle potissimum pingi & à Lysippo fingi uolebat. eadem Academ. quæst. 4. Stat etiam à nobis in equo Domitiani Papinius, Paterculus, & Valer. Maximus lib. octauo, nec Polycletus si uera est Pliniana temporum supputatio Alexandrũ regem cum ille centum prope annis ante fuerit, unquam uidere potuit. δαΐως. bone. ingeniose. πυρσὸς ὁ χαλκὸς ὁρᾷ. Homerus Odyss. τ. πυρσὸν ὀφθαλμοῖσι δεδορκώς. Hesiodus. πῦρ δ' ὡς ὀφθαλμῶν ἐπελάμπετο. Alexander ut ferũt πυρῶδες καὶ φοβερὸν minitantibus & igneis oculis toruo & truculento uultu intuebatur. at Plutarchus ἀῤῥενωπὸν καὶ λεοντῶδες, quæ eodem tendunt. βουσί. Persis. λέοντα. Alexandrum. αὐδάοντι δ' ἔοικεν. Plutarchus. λύσιππον δὲ τὸν πρῶτον ἀλέξανδρον πλάσαντος, ἄνω βλέποντα τῷ προσώπῳ πρὸς τὸν οὐρανόν, ὥσπερ αὐτὸς εἰώθει βλέπειν ἀλέξανδρος ἡσυχῇ παρεγκλίνων τὸν τράχηλον, ἐπέγραψέ τις οὐκ ἀπιθάνως. sequitur distichum. Tzetzes. ἦν δὲ καὶ σιμοτράχηλος (Alexander) καὶ παρατραχήλως δέ, ὥστε δοκεῖν πρὸς οὐρανὸν ἐνατενίζειν ἀεί. τοῦτον καὶ ὁ λύσιππος ἐκεῖνον ἐχαλκούργει. ὑπ' ἐμοὶ τίθεμαι. mihi assero. ὡς μόνος πᾶσαν γῆν ἣν ἐφορῶσι. παλαιῷ θρόνῳ. Macedonum imperio. μὰ τὸν βουβοίναν. per semet iurat Hercules. ταῦτα. agri isti. κωμήτας. rusticos & uicinos. χαίρω. repone χώρῳ τῷδε. infra. μέλοι δ' αὐτοῖσιν ὁ χῶρος. καὶ σώζειν ἀγαθούς. hinc ἀλεξίκακος dictus Hercules. λαερτιάδη. Vlyssi. καὶ δέλτον. e tabula Vlyssis effigiem deleuit. τί πλέον. quid hoc Vlyssi obest. εἰς τὸν μινώταυρον. Plutarchus in Theseo. Isocrates in Helenes encomio. Seruius Aeneid. sexto, & Tzetzes in Lycophronem. κατὰ μέσον φυτλῆς. partim homo, partim taurus. τῆς τεκούσης Pasiphaes. Palæphatus in Pasiphae. ὁ ταυρόκρανος. Taurino capite. εἰς ὀρέστην, emenda εἰς λυκοῦργον. μονοκρήπιδα. uineas enim incidens sibi alterum crus amputauit. Cognominatus est etiam Mercurius μονοκρήπις. Artemidorus. φασὶ γὰρ τὸν θεὸν περσεῖ τὴν γοργοῦς τομὴν ἀπιόντι, τὸ ἕτερον μόνον ἔχειν τῶν ὑποδημάτων. Et Iason. Pindarus in Pythijs. ubi hoc adijcit expositor. εἰσὶ δὲ καὶ αἰτωλοὶ πάντες μονοκρήπιδες, διὰ τὸ πολεμικώτατοι εἶναι. leuo pede nudo pugnantes. ἠδωνῶν. Edonum. Tzetzes. ἠδωνοὶ καὶ ἠδωνὲς θρακῶν ἔθνη. ἀλλ' οἱ μὲν ἠδωνὲς περὶ θάλασσαν οἰκοῦσιν, ἠδωνοὶ δὲ τὴν μεσογαίαν. ἀγέρωχα. insolenter. ἀντέταχεν. composuit. βεβαίω κάλυβα. galeam. cassidem. μανύει. indicat. μορφά. Lycurgi effigies. θρασύς. siquidem liberum patrem fugauit. τὸ πικρὸν ἔχει. insaniam & acerbitatem illam manifestat. ὁμαιμοσύνης. fraternitatis. καὶ ἀδελφόν. lege metri causa ἀδελφεόν. Orestes in Tauricam terram cũ Pylade amico profectus ut ex Apollinis oraculo Dianæ simulachrum in Græciam importaret, sororem Iphigeniam templi huius deæ antistitem repperit, à qua est post multum sermonem agnitus, Cætera continet Euripidis Iphigenia Taurica. Solinus. Hoc in loco (est autem Aritia) Orestes oraculo monitus simulachrum Scythicæ Dianæ, quod de Taurica extulerat, priusquã Argos peteret consecrauit. Lampridius sic ait. Et Orestem quidem ferunt non unum simulachrum Dianæ nec uno in loco posuisse, sed multa in multis. Id corroborat Pausanias in Laconicis. de Iphigenia consule Lycophronis commentarios. ἰκτίωνος. scribe ἰκτίων. τὸ. θυμώδεις. Amphipolites. παρῳκίσατο. hic ut habitarem effecit.

## ΕΙΣ ΗΡΩΙΔΑΣ.

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον. ἐκ δὲ λίθοιο
ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

Ἰουλιανοῦ αἰγυπτίου εἰς τὸ αὐτό.

Αὐτὴν Νιόβης ὁράας πανάληθέα μορφήν,
ὡς ἔτι μυρομένης πότμον ἑῶν τεκέων.
εἰ δ' ἄρα καὶ ψυχὴν οὐκ ἔλαχε, μὴ τόδε τέχνης
μέμφεο. θηλυτέρην εἴκασε λαϊνέην.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Ταντάλις ἅδε ποχ' ἅδε, δὶς ἑπτὰ τέκνα τεκοῦσα
γαστρὶ μιῇ, φοίβῳ θῦμα, καὶ ἀρτέμιδι.
κούρα γὰρ προὔπεμψε κούραις φόνον, ἄρσεσι δ' ἄρσην.
δισσοὶ γὰρ δισσὰς ἔκτανον ἑβδομάδας.
ἁ δὲ τόσας ἀγέλας μάτηρ πάρος, ἁ πάρος εὔπαις
οὐδ' ἐφ' ἑνὶ τλάμων λείπεται γηροκόμῳ.
μάτηρ δ' οὐχ ὑπὸ παισίν, ὅπερ θέμις, ἀλλ' ὑπὸ ματρὸς
παῖδες ἐς ἀλγεινοὺς πάντες ἄγοντο τάφους.
τάνταλε, καὶ δέ σε γλῶσσα διώλεσε, καὶ σέο κούραν.
χὰ μὲν, ἐπετρώθη, σοὶ δ' ἔπι, δεῖμα λίθος.

Θεοδωρίδου εἰς τὸ αὐτό.

Στᾶθι πέλας. δάκρυσον ἰδὼν ξένε μυρία πένθη
τᾶς ἀθυρογλώσσου ταντάλιδος Νιόβας.
ἃς ὑπὲρ γᾶς ἔτρωσε δυωδεκάπαιδα λοχείην
ἄρτι, τὰ μὲν φοίβου τόξα, τὰ δ' ἀρτέμιδος.
ἁ δὲ, λίθῳ, καὶ σαρκὶ μεμιγμένον εἶδος ἔχουσα,
πετροῦται. στενάχει δ' ὑψιπαγὴς σίπυλος.
θνατοῖς ἐν γλώσσα, δειλία νόσος. ἁ ἀχάλινος
ἀφροσύνα, τίκτει πολλάκι δυστυχίαν.

Ἀντιπάτρου εἰς τὸ αὐτό.

Τίπτε γύναι πρὸς ὄλυμπον ἀναιδέα χεῖρα νεκοῦνας
ἔνθεον ἐξ ἀθέου κρατὸς ἀφεῖσα κόμαν,
λατοῦς παπταίνουσα πολὺν χόλον, ὦ πολύτεκνε;
νῦν στένε τὰν πικρὰν, καὶ φιλάβουλον ἔριν.
ἁ μὲν, γὰρ παίδων σπαίρει πέλας. ἁ δὲ, λιπόπνους
κέκλιται. ἁ δὲ, βαρὺς πότμος ἐπικρέμαται.
κοὐ μόχθων οὔπω τόδε σοι τέλος, ἀλλὰ καὶ ἄρσην
ἔρρωται τέκνων ἑσμὸς ἀποφθιμένων.
ὦ βαρὺ δακρύσασα γενέθλιον, ἄπνοος αὐτὰ
πέτρος ἔσῃ Νιόβα, καὶ δίδι τειρομένα.

Μελεάγρου εἰς τὸ αὐτό.

Ταντάλι παῖ Νιόβα, κλῦ' ἐμὰν φάτιν, ἄγγελον ἄτας,
δέξαι σῶν ἀχέων οἰκτροτάταν λαλιάν.
λῦε κόμας ἀνάδεσμον. ἰὼ βαρυπενθέσι φοίβου
γειναμένα τόξοις ἀρσενόπαιδα χορόν.

εὕδει παῖς δ' ὅδ' ἔτ' ἐστίν. ἀτὰρ τί τόδ' ἄλλο τι λεύσσω;
αἲ, αἲ, πλημμυρεῖ πρὸ χθονὶ καῖσι φόνος.
ἁ μὲν, γὰρ ματρὸς ποτὶ γούνασιν, ἁ δ' ἐνὶ κόλποις
κέκλιται, ἁ δ' ἐπὶ γᾶς, ἁ δ' ἐπιμαστίδιος.
ἄλλα δ' ἀντωπὸν θαμβεῖ βέλος. ἁ δ' ἐπ' ὀϊστοῖς
πτώσσει. τᾶς δ' ἔμπνουν ὄμμ' ἔτι φῶς ὁράᾳ.
ἁ δὲ, λάλον στέρξασα πάλαι στόμα, νῦν ὑπὸ θάμβευς
μάτηρ σαρκοπαγὴς οἷα πέπηγε λίθος.

Εἰς εἰκόνα Μηδείας ἐν ῥώμῃ, ἄδηλον.

Τέχνη Τιμομάχου στοργὴν, καὶ ζῆλον ἔδειξε
Μηδείης. τέκνων εἰς μόρον ἑλκομένων.
τῇ μὲν γὰρ συνένευσεν ἐπὶ ξίφος. ἣ δ' ἀνανεύει,
σώζειν, καὶ κτείνειν βουλομένη τέκεα.

Ἀντιφίλου Βυζαντίου εἰς τὸ αὐτό.

Τὰν ὀλοὰν Μήδειαν ὅτ' ἔγραφε Τιμομάχου χεὶρ,
ζάλῳ, καὶ τέκνοις ἀντιμεθελκομέναν,
μυρίον ἄρατο μόχθον, ἵν' ἤθεα δισσὰ χαράξῃ.
ὧν τὸ μὲν, εἰς ὀργὰν νεῦε, τὸ δ' εἰς ἔλεον.
ἄμφω δ' ἐπλήρωσεν. ὅρα τύπον. ἐν γὰρ ἀπειλᾷ,
δάκρυον. ἐν δ' ἐλέῳ, θυμὸς ἀναστρέφεται.
ἀρκεῖ δ' ἁ μέλλησις ἔφα σοφός. αἷμα δὲ τέκνων,
ἔπρεπε Μηδείῃ, κοὐ χερὶ Τιμομάχου.

Εἰς τὸ αὐτό. Φιλίππου.

Τίς σου Κολχὶς ἄθεσμε συνέγραφεν εἰκόνι θυμόν,
τίς καὶ ἐν εἰδώλῳ βάρβαρον εἰργάσατο;
αἰεὶ γὰρ διψᾷς βρεφέων φόνον. ἤ τις Ἰήσων
δεύτερος, ἢ Γλαύκη; τίς πάλι σοι πρόφασις;
ἔῤῥε καὶ ἐν κηρῷ παιδοκτόνε. σῶν γὰρ ἀμέτρων
ζήλων εἰς ἃ θέλεις, καὶ γραφὶς αἰσθάνεται.

Ἀδεσπότου εἰς τὸ αὐτό.

Δέρξ ἴδε παιδολέτειραν ἐν εἰκόνι. δέρξ ἴδ' ἄγαλμα
Κολχίδα Τιμομάχου χειρὶ τυπωσάμενον.
φάσγανον ἐν παλάμᾳ. θυμὸς μέγας. ἄγριον ὄμμα
παισὶν ἐπ' οἰκτίστοις, δάκρυ κατερχόμενον.
πάντα δ' ὁμοῦ συνέχευεν. ἀμείλικτά τε εἰς ἐν ἀγείρας
αἵματι μὴ χρῶσαι φεισάμενος παλάμαν.

Ἰουλιανοῦ Αἰγυπτίου εἰς τὸ αὐτό.

Τιμόμαχος Μήδειαν ὅτ' ἔγραφεν, εἰκόνι μορφᾶς
ἀψύχῳ, ψυχᾶς θήκατο δεξιάδας.
ζᾶλον γὰρ λεχέων, τεκέων θ' ἅμα φίλτρα συνάψας
δεῖξεν ἐν ὀφθαλμοῖς ἀντιμεθελκομέναν.

Ἀδήλου εἰς τὸ αὐτό.

Δέρξ ἴδε καὶ θάμβησον ὑπ' ὀφρύσι κείμενον οἶκτον,
καὶ θυμὸν βλεφάρων, καὶ πυρόεσσαν ἴτυν,

καὶ ματρὸς παλάμαν, ἀλόχοιό τε πικρὰ παθούσης
ὁρμῇ φειδομένης πρὸς φόνον ἑλκομένην.
ζωγράφος εὖ δ᾽ ἔκρυψε φόνου τέλος, οὐκ ἐθελήσας
θάμβος ἀπαμβλῦναι τῶν δεῖ δερκομένων.

Φιλίππου εἰς τὸ αὐτό.

Κολχίδα τὴν ἐπὶ παισὶν ἀλάστορα βαιὰ χελιδὼν
πῶς ἔτλης τεκέων μαῖαν ἔχειν ἰδίων;
ἧς ἔτι λευκαθὸς ὕφαιμος ἐπαστράπτει φόνιον πῦρ,
καὶ πολιὸς γενύων ἀφρὸς ἀποσταλάει.
ἀρτιβρεχὴς δὲ σίδηρος ἐφ᾽ αἵματι. φεῦγε πανώλη
μητέρα, κἂν κηρῷ τεκνοφονοῦσαν ἔτι.

Εἰς ἄγαλμα τῆς αὐτῆς.

Μαίνῃ λίθος οὐδέν. καὶ ἐκ καρδίης σέο θυμὸς
ὄμματα κοιλήνας, ὧν χόλον αὐγὴ πίσσει.
ἔμπης οὐδὲ βάσις σε καθέξεται. ἀλλ᾽ ἄρα θυμῷ
πεδήσεις, τεκέων εἵνεκα μαινομένη.
ὦ, τίς ὁ τεχνίτης τόδ᾽ ἔπλασεν, ἢ τίς ὁ γλύπτης,
ὃς λίθον εἰς μανίην ἤγαγεν εὐτεχνίῃ.

Ἀντιπάτρου μακεδόνος εἰς τὸ αὐτό.

Μηδείης τύπος οὗτος. ἴδ᾽ ὡς τὸ μὲν, εἰς χόλον αἴρει
ὄμμα, τὸ δ᾽ εἰς παίδων ἔκλασε συμπαθίην.

Εἰς τὸ αὐτό.

Οἶκτον ὁμοῦ, καὶ λύσσαν ἐπήτυμον ἔνθεος ἀνὴρ
μαρμαίρῳ ἐγκατέμιξε. βιαζομένην δ᾽ ὑπὸ τέχνης
λαϊνέην Μήδειαν ὅλης ἐμνήσατο ἀνίης.

Ἀραβίου σχολαστικοῦ εἰς Ἀταλάντην,
καὶ Ἱππομένην.

Ἕδνα γάμων ἔρριψεν, ἣν ἀμβολίην ταχυτῆτος,
ἔσχε γέρας κούρη χρυσέων ἱππομένης.
ἄμφω μῆλον ἄνυσσεν, ἐπεὶ καὶ παρθένον ὁρμῆς
εἶρξεν, καὶ ζυγίης σύμβολον ἦν Παφίης.

Εἰς ἄγαλμα Ἀριάδνης.

Οὐ βροτὸς ὁ γλύπτας. οἷαν δέ σε Βάκχος ἐρασθεὶς
εἶδεν, ὑπὲρ πέτρας ἔξεσε κεκλιμένην.

Εἰς τὸ αὐτό.

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας,
μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη.

Ἀντιφίλου εἰς Ἀνδρομέδαν.

Αἰθιόπων ἁ βῶλος. ὁ δὲ πτερόεις τὰ πέδιλα,
Περσεύς. ἁ δὲ λίθῳ πρόσδετος, Ἀνδρομέδα.
ἁ δὲ τομά, Γοργοῦς λιθοδερκέος. ἆθλον ἔρωτος,
κῆτος. Κασσιόπας, ἁ λάλος εὐτεκνίη.
χἀ μὲν, ἀπὸ σκοπέλοιο χαλᾷ πόδας ἠθάδι νάρκᾳ
νωθρόν. ὁ δὲ μναστήρ, νυμφοκομεῖ τὸ γέρας.

Εἰς τὴν αὐτὴν Ἀραβίου σχολαστικοῦ.

Κηφεὺς Ἀνδρομέδην, ἢ ζωγράφος αὐθὶ πέτραις.
καὶ γὰρ ἀπ' ὀφθαλμῶν ἡ κρίσις ἀμφίβολος.
κῆτος δὲ ἀπιλαδόκωσιν ἐπὶ γναμπτῇσι χαράδρης,
ἢ ἀπὸ Νηρῆος γείτονος ἀξανέδυ.
ἔγνων ταῦτα. σοφός τις ἀνὴρ κάμε. δεινὸς ἀληθῶς
τεῦξαι καὶ βλεφάρων, καὶ πραπίδων ἀπάτην.

Εἰς εἰκόνα Ἑλένης τοῦ αὐτοῦ.

Ἀργείης Ἑλένης ὅσιος τύπος. ἥν ποτε βούτης
ἥρπασε, τὸν ξένιον ζῶα προσωσάμενος.

Εἰς στήλην Πολυξένης. Ῥωμανοῦ.

Αὕτη πολυκλείτοιο Πολυξένα. οὐδέ τις ἄλλα
χεὶρ ἔθιγεν τούτου δαιμονίου πίνακος.
ἆρες ἔργον, ἀδελφόν. ἴδ' ὡς πέπλοιο ῥαγέντος,
τὰν αἰδῶ γυμνὰν σώφρονι κρύπτε πέπλῳ.
λίσσεται ἁ τλάμων ψυχᾶς ὕπερ. ἐν βλεφάροις δὲ
παρθενικᾶς, ὁ Φρυγῶν κεῖται ὅλος πόλεμος.

Εἰς εἰκόνα Διδοῦς. Ἀδεσπότον.

Ἀρχέτυπον Διδοῦς ἐρικυδέος ὦ ξένε λεύσσεις,
εἰκόνα θεσπεσίῳ κάλλεϊ λαμπομένην.
τοίη καὶ γενόμην. ἀλλ' οὐ νόον, οἷον ἀκούεις,
ἔσχον ἐπ' εὐφήμοις δόξαν ἐνεγκαμένη.
οὐδὲ γὰρ Αἰνείαν ποτ' ἐσέδρακον, οὐδὲ χρόνοισι
Τροίης πορθομένης, ἤλυθον ἐς Λιβύην.
ἀλλὰ βίας φεύγουσα ἰαρβάων ὑμεναίων,
πῆξα κατὰ κραδίης φάσγανον ἀμφίτομον.
Πιερίδες, τί μοι ἁγνὸν ἐφωπλίσατε Μάρωνα;
οἷα καθ' ἡμετέρης ψεύσατο σωφροσύνης.

ζωὴν. ut uiua appaream. πότμον necem. λαϊνέην. iam in lapidē uersam. ταντάλις. Niobe. πόκα, aliquādo. κοῦρα γάρ. Artemis. κόραις. filiabus. ἄρσεσιν. Apollo. δισσὰς ἑβδομάδας. 14. liberos. τόσσας ἀγέλας. tam copiosæ multitudinis matri. ἑνὶ. filio. ὅπερ θέμις. ac natura quodam modo postulat. οὐχ ὑπὸ παισίν. sepulta est. ὑπὸ κούραν. Niobē. λίθος. tibi quasi iamiam lapsurus imminens lapis. σίπυλος. Quæ de hoc Plinius narrat, friuola esse censet Plutarchus. ὁ ἀχάλινος ἀφροσύνας. Erasmus in Adagio os infrene. γύναι. mulier. ἔνθεον. insanū. ἀθέα. se Latonæ anteponentis. παπταίνουσα. circūspiciens. ἢ φιλάδελφον. scribo καὶ φιλάδελφον. & inconsultam. ἔριν. certauit enim cum Latona. ἁ παίδων. filiarum una. ἀσπαίρει. moribunda palpitat. κέκλιται. iacet. ᾇ δέ. huic mors impendet. καὶ ἀρσένων ἀριθμός. mares filij. ἄπνοος. post mortem. καὶ ἀΐδη. & apud ditē id est defuncta. παρθενικαῖσι. filiabus. ἁ μέν. una quidem. ὑπομάσδιος. Lactans. βέλος. Dianæ. ἔτι φάος ὁρᾷ. hæc adhuc uiuit. στέρξασα. Niobe. τέχνη τιμομάχου. Plutarchus. γράφουσι δὲ καὶ γραφὰς ἀτόπους ἔνιοι καθάπερ τιμόμαχος τὴν μηδείας τεκνοκτονίαν. Plinius. Timomachus Byzātius Cæsaris Dictatoris ętate Aiacem pinxit & Medeam. Idem eas tabulas 80. talentis licitatū Cæsarem refert. de quibus Ouidiū locutum Tristium 2. reor. Vtq; sedet uultu fassus Telamonius irā. Inq; oculis facinus Barbara mater habet. στοργὴν καὶ ζῆλον. Pietatē erga liberos, & Zelotypiam. nam Iasoni Medea

Medea ab eo repudiata, Creon Glaucen filiam desponderat. nos ex Euripidis in Medea uersibus Timomachum archetypum inuenisse credimus, ubi ad teterrimum facinus se accingens adhuc mater, ὢ ὢ τί δράσω inquit. quod explicuit Simplicius περὶ ποιοῦ καὶ ποιότητος & Galenus περὶ τῶν καθ' ἱπποκράτην καὶ πλάτωνα δογμάτων lib. 3. & 4. Adi si placet Callistratum in Ecphrasibus. εἰς τὸ μηδείας ἄγαλμα. illud non omiserim, pictores & statuarios in quorum operibus mores & sensus expressi cernebantur, Ethicos & Ethographos esse dictos. τὸ ξίφος. ut filios trucidet. ἀναιρεῖν. iugulare. ζάλῳ. Zelotypia. τέκνοις. materna erga filios pietate. ἤθεα δισσά. duo eademque sibi repugnantia. θυμός. iracundia. ἀμέλλησις. cunctatio. futura liberorum cædes. σοφός. Timomachus. κόλχις. Medea. βάρβαρον. feram & immanem. δίψος. sitis. ἰήσων δεύτερος. an te alius Iason, id est impostor decepit. id ex Ouidiana Medeæ ad Iasonẽ epistola & Metamorph. 7. enodabis. ἡ γλαύκη. altera Iasonis uxor. Glauce Creõtis filia. alij Creusam uocãt. τίς πάλι σοι πρόφασις; quasi Medea uiua sit, ac natos in tabula de medio tollat. καὶ ἐν κηρῷ. cerea imagine. εἰς ἃ θέλεις. filiorum sanguinem. δάκρυ. Medeæ matris, filios lugentis. ἄμικτα. matris & interfectricis uultum. γραψάμενος. Timomachus. αἵματι, liberorum. παλάμαν. Medeæ matris. ψυχὰς διχθαδίας. naturam in eo superans. ζᾶλον. Zelotypiam. ὑπ' ὀφρύσιν οἶκτον. oculos plorantes. καὶ πυρόεσσαν ἴτυν. eosdem micantes & infestos. πικρὰ παθοῦσης. repudiatæ. φαλομένην. Medeam. θάμβος. admirationem. πρόφθει. Si Medea natos male mulctet. δερκομένων. hæc respiciẽtium hominum. κολχίδα. Medeæ Colchorum regis filiæ imaginem. κανθός. oculus. πῦρ. iracundiam. ἀφρὸς γυνῶν. furiosæ mulieris. ἐφ' αἵματι. liberorum. κἂν κηρῷ. etiam in imagine. μανίη. insanies. κοιλάνας. cauis oculis. βάσις. basis statuæ. τεκέων. quos iugules. τὸ μὲν. partim. λύσσαν. furorem & iracundiam. ἢ ἀμβολίην. aut ἐς ἀμβολίην. ἀναβολήν. ἕδνα γάμων. mala aurea. ἱππομένην. Hippomenis & Atalantæ fabulam percurrit Seruius Aeneid. 3. Sabinus in 6. Virgilij. & Theocriti scholiastes Idyll. 3. Hippomanes legendum non est, qua in uoce lapsum existimamus Theocritum in pharmaceutria, ἱππομανὲς φυτόν ἐστι. non Hesiodum, ut scribit Hermolaus Barbarus. Quid sit Hippomanes pete ex Plinio & Columella. κούρη. Atalantæ. μῆλον. profectum. σύμβολον ἦν παθέος. Cum quis ad amandum lacessitur malis peti dici post. Virgil. malo me Galatæa petit. Plato. τῷ μήλῳ βάλλω σε. Theocritus. Idyl. 6. βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ κλεαρίστα. cõmentarius. παρέσται μ' εἰς ἔρωτα ἐπαγαγέσθαι. τὸ γὰρ μήλοις βάλλειν ἦθος τούτοις ἔτασσον. Aristophanes. μηλοβλαβεῖς ὑπὸ πορνιδίου. glossema. μηλοβολεῖν ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν, ἐπεὶ καὶ τὸ μῆλον ἀφροδίτης ἐστὶν ἱερόν. Artemidorus. μῆλα μὲν ἐαρινὰ γλυκέα καὶ πέπονα, καὶ ἰδεῖν καὶ φαγεῖν ἐστὶν ἀγαθόν. πολλὴν γὰρ ἐπαφροδισίαν σημαίνει. ταῦτα γὰρ ἀνάκειται τῇ ἀφροδίτῃ. unde etiam in certamine formarum premium malum erat aureũ idque Veneri contigit, cui etiam ob pulchritudinẽ nonnulli attribuunt. εἶδεν. in Dia insula uidit. ἔξεσε. perpoliuit. τὰς ἀριάδνας. Higinius lib. 2. Ouid. Metamorph. 8. est in Heroidibus Ariadne ad Theseum epistola. περσέως πορθμούς. Persei gesta Andromedam seruantis, ex Aspide Herculis Hesiodiani, Nasonis transformationũ libris, Higinij uolumine 2. Diodori 4. Lycophronis, Apollonij, Pindari cõmentarijs perspicua sunt. ἁ πέλωρα. Gorgonis caput. λιθοδόρκος. quæ quicquid aspiceret in lapidẽ conuertebat. κῆτος. cetus. deuictus. ἔδνον. Andromeda. κασσιέπης. Huius crimine, quæ se forma Iunonem aut Nereidas anteire gloriabatur Andromeda filia nil delinquens balenæ exposita est. ἁ λάλος. placet ἄλαλος. nihil enim temere effutiuerat filia, significat & ἄλαλος infantem.

χάριν

χάμάν. Andromeda. ἠθάδι. consueta. νάρκα. torpedine. diu enim illic steterat. νωθρόν. castigo νωθρὸς aut δέμας non πόδας emendandum. ὁ δὲ μνηστήρ. Perseus. τὸ γέρας. Andromedam. κηφεὺς. Huius pater. ἀπ' ὀφθαλμῶν. oculorum iudicio. νηρῆος γείτονος. è uicino mari emersit. ἐκάμε. hoc fecit. βλεφάρων καὶ πραπίδων. oculorũ & mentis. ἦν ποτε βούτης. Paris. pastor. ξείνιον ζῶα. quippe quẽ Menelaus domi susceperat. ἥρας ἔργον ἀδελφόν. Iunonis statuæ à Polycleto excusæ infra meminit Parmeno, & libro decimo Martialis. fuit etiam Argis Iuno Polycleti opus. τὰν αἰδῶ γυμνῶν. pudendas partes, quæ honeste oculis aspici nequeunt. λίσσεται ἄτλαμων. elatioris spiritus inducitur à tragœdis, quàm ut pro capite suo supplicet. Philostratus eam sponte in ferrum incubuisse credit. ὅλος πόλεμος. omnes Græcorum copiæ. uel omnis totius belli tristitia. in quo nihil magis lamentabile contigerit. ἀλλ' οὐ νόον. τοίη. eo animo, sed pudico & casto. ἐπ' εὐφήμοις. πραάγμασι. malam ex uirtute opinionem consecuta. οὐδὲ γὰρ αἰνείαν. qui Africam nunquam adijt ut ex Dionysio Halicarnasseo pater. ἐσέδρακον. uidi. οὐδὲ χρόνοισι. sed multũ post tempus. anno 143. aut 137. post Troianum excidium à Carchedone Tyrio uel ab Elissa eius filia quam pleriq; Dido nominant Carthaginis facta sunt fundamenta regnante apud Latinos Syluio quinto. Quid Appianus. Carthaginem in Libya Phœnices condidere annos 50. ante Ilij captiuitatem. conditores fuere Porus & Carchedon. Philistus scribit à Zaro & Carchedone Tyrijs quo tempore Theseus Helenam rapuit Carthaginem conditam. ἰαρβάων ὑμεναίων. Iarbas rex Libyæ secundum historicos Didonem petijt, & illa cum recusaret Carthagini intulit bellum. cuius timore cum cogeretur, à ciuibus petijt ut ante placaret manes mariti, & ædificata pyra se in eam præcipitauit. Seruius. eã ne secundas nuptias experiretur maluisse uri quam nubere scribit Tertullianus Monogamiæ patronus. βίας. uim fugiens. πῆξα. πήγνυμι. ψεύσατο. Virgilius Aeneidos 4.

## ΕΙΣ ΑΓΑΛΜΑ ΗΧΟΥΣ

πρὸς τοῦ Πανός. Γαυράδα.

Αχὼ φίλαμοι, συγκατάινεσον τι. τί;
ἐρῶ κορίσκας. ἁ δ' ἐμὲ οὐ φιλεῖ. φιλεῖ.
πρᾶξαι δ' ὁ καιρὸς καιρὸν οὐ φέρει. φέρει.
τὺ τοίνυν αὐτᾷ λέξον ὡς ἐρῶ. ἐρῶ.
καὶ πίστιν αὐτᾷ κέρματων τὺ δὸς. τὺ δὸς.
ἀχώ, τί λοιπόν, ἢ πόθου τυχεῖν; τυχεῖν.

Σατύρου εἰς τὸ αὐτό.

Ποιμενίαν ἄγλωσσον ἀν' ὀργάδα μέλπεται ἀχὼ,
ἀντίθροον, πτανοῖς ὑστερόφωνον ὄπα.

Εἰς τὸ αὐτὸ Λουκιανοῦ.
οἱ δὲ, Αρχίου.

Ηχὼ πετρήεσσαν ὁρᾷς φίλε, Πανὸς ἑταίρην,
ἀντίτυπον φθογγὴν ἔμπαλιν ἀδομένην,
παντοίων στομάτων λάλον εἰκόνα, ποιμέσιν ἡδὺ
παίγνιον. ὅσσα λέγεις, ταῦτα κλύων, ἄπιθι.

Εὐόδου εἰς τὸ αὐτό.

Ηχὼ μιμολόγον, φωνῆς τρύγα, ῥήματος οὐρήν.

Εἰς τὸ αὐτό.

Ἀρκαδικὰ θεός εἰμι, παρὰ προθύροις δὲ λυκαίου
ναίω, φθεγγόμενον μῦθον ἀμειβομένα.
οὐκ ἔτι γὰρ συνέω βάκχου φίλε τὸν βιασῶταν
τὸν τεόν. ὄρχεο Πάν. ξυνὰ λέγωμεν ἔπη.

ἄχω φίλα μοι. Martialis. de hoc carminum genere, Nusquam græcula quod recãtat Echo. φιλᾶ. Echus sonus est, & illa. ἐρῶ. amo. τειόδες. trida. πρᾶξαι. rem habere. ἀγλωσσον. arridet, εὔγλωσσος. αὐ ὀργάδα. pascua. per catachresim. Sophocles. ὦ ζεῦ τὸν οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις. glossulæ. ἀφιερωμένον τοῖς θεοῖς τόπον καὶ ἀγεώργητον, ὃν οὐδὲ βοτὰ κατὰ βόσκουσι. τὰ δὲ τοιαῦτα χωρία ὀργάδας ἐκάλουν. Demosthenis enarrator. ὀργὰς δὲ ἐκαλεῖτο ἡ χώρα, ἢ διὰ τὰ ὄργια τῶν θεῶν, ἢ διὰ τὸ ἀργὴν εἶναι, καὶ ὀργᾶν ἐν αὐτῇ. uide Hesychium. πτανοῖς. uolucribus. ὄπα. uocem. πετρήεσσαν. in scopulis enascentẽ. οὐρὰν. caudam. postremũ quid. λυκαίου. repono λυκαίου. Lycæi montis. παρὰ προθύροις. in uestibulo & limine. Aristides. ἐτεθνήκεις ἂν αὐτόθι νῆσον ἀντὶ νήσου μεταλαβών, ἐν προθύροις τῆς πατρίδος οὐκ ἐν οἰκείᾳ. Et. οὐδ' ἐν μεθορίοις τῆς ἀττικῆς καὶ τῆς βοιωτίας, ἀλλ' ἐν μεθορίοις τῆς φωκίδος καὶ τῆς ὑμετέρας, ἐν προθύροις οὑτωσὶ τῶν θηβῶν. τὸν βιασῶταν. pana combibonem & collusorem tuum. ὄρχεο. accede.

## ΕΙΣ ΘΑΛΑΣΣΑΝ.

Φιλίππου μακεδόνος.

Ἐζεύξ' ἑλλήσποντον ὁ βάρβαρος ἄφρονι τόλμῃ,
σοῦ δὲ πόσους καμάτους πάντας ἔλυσε χρόνος.
ἀλλὰ δικαιαρχεία δ' ἠπείρωσε θάλασσαν,
καὶ βυθὸν εἰς χέρσον σχῆμα μετεπλάσατο.
λᾶα βαθυσκήριγγα κατερρίζωσε πέλωρον,
χερσὶ γιγαντείαις δ' ἔστασε νέρθεν ὕδωρ.
ἦν δ' ἀεὶ πλώειν. διοδευομένη δ' ὑπὸ ναύταις
ἄστατος, εἰς πεζοὺς ὡμολόγησε μένειν.

Εἰς σκύλλαν χαλκῆν.

Εἰ μὴ χαλκὸς ἔλαμπεν, ἐμίμνε δ' ἔργον ἄνακτος
ἔμμεναι ἡφαίστου δαιδαλέοιο τέχνης,
αὐτὴν ἄν τις σκύλλαν ὀΐσατο τηλόθε λεύσσων
ἑστάμεν ἐκ πόντου γαῖαν ἀμειψαμένην.
τόσσον ὑποσσείει, τόσσον κότον ἀντία φαίνει,
οἷον ἀπὸ πελάγευς συγκλονέουσα νέας.

Εἰς τὸν καλυδώνιον κάπρον.

Χάλκεος. ἀλλ' ἄθρησον ὅσον θράσος ὤπασε κάπρῳ
ὁ πλάστας, ἔμπνουν θῆρα τυπωσάμενος,
χαίτας αὐχενίους πεφρικότα, θηκτὸν ὀδόντα
βρύχοντα, γλήναις φρικτὸν ἰέντα σέλας,
ἀφρῷ χείλεα πάντα δεδευμένα. οὐκ ἔτι θάμβος,
εἰ λογάδα στρατιὴν ὤλεσεν ἡμιθέων.

ὁ βάρβαρος. Xerxes. Plin. lib. 14. cap. 12. ἔλυσε χρόνος. immo non multos post dies pons ille nõ rescissus, sed procellis & aquæ magnitudine interruptus est. Hero-

Herodotus in Polymnia, & Iustinus. ἀλλὰ δικαιαρχέα. Iosephus lib. ἰουδαϊ. ἀρχαιολο. ιθ. καὶ τἄλλα ἔπρασσε (Cæsar Caligula) μανίας οὐδὲν ἀπολελυμένος, ἐπεὶ καὶ ἀπὸ δικαιαρχείας τῆς πόλεως ἐν καμπανίᾳ κειμένης εἰς μισηνοὺς ἑτέραν πόλιν ἐπιθαλάσσιον, καὶ τὴν διάβασιν δεινὸν ἡγούμενος τριήρει περαιοῦν, καὶ ἄλλως ἐπιβάλλειν ἡγούμενος αὑτῷ δεσπότῃ ὄντι τῆς θαλάσσης ταῦτα καὶ ὁποῖα καὶ παρὰ γῆς ἀπαιτεῖν, ἐπ' ἄκρων ἐπ' ἄκρα σταδίους τριάκοντα μέτρον τῆς θαλάσσης, καὶ εἴσω τοῦ κόλπου ἀπολαβὼν πάντα, ἤλαυνεν ἐπὶ τῇ γεφύρᾳ τὸ ἅρμα. Tranquillus in Caligula. Scio plerosque existimasse talem à Caio pontem excogitatum æmulatione Xerxis, qui nō sine admiratione aliquanto angustiorem Hellespontum cōtabulauerat. consule Dionem lib. 58. Puteoli autem à puteis aut putore sulphureo dicti & Dicæarchia idem est oppidum. Dicæarchia quoque arena, puluis est puteolanus Sidonio. καὶ βυθόν. mare. λᾶα βαθυσκέπαρνα in ponte faciendo. κατεβρίζωσε. Caligula. δοῦλον θάλασσα. ἐς πεζούς. pedes euntibus. δόξεν. putasset ἔμμεναι. ἐπὶ νῆας. naues. πεφευκότα. θῆρα. γλήναις. oculis. ἡμιθέων. Meleagri, Thesei, Iasonis. Ouid. trāsf. 8.

## ΕΙΣ ΑΓΑΛΜΑΤΑ ΘΕΩΝ ΚΑΙ ΘΕΑΙΝΩΝ.

Εἰς τὴν ἐν ἀθήναις ἔνοπλον ἀθηνᾶν.
Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Τίπτε Τριτογένεια κορύσσεαι ἄστεϊ μέσσῳ;
εἶξε Ποσειδάων, φείδεο κεκροπίης.

Εἰς ἄγαλμα ἡφαίστου, ἀθηνᾶς,
καὶ ἐριχθέως.

Ἡ τέχνη συνάγειρεν, ἃ μὴ φύσις. εἶπεν ὁ πλάστης,
μητρὸς νόσφι τόκων, νυμφίε νόσφι γάμων.

Εἰς στήλην ἄρεος κεκοσμημένην ἐν θρᾴκῃ.

Εἰσόκε θούριος οὗτος ἐπὶ χθονὶ κέκλιται ἄρης,
οὔποτε θρηΐκίης ἐπιβήσεται ἔθνεα γότθων.

Εἰς ἄγαλμα ἀφροδίτης, καὶ ἄρεος.

Ἄρεα, καὶ παφίην ὁ ζωγράφος ἐν μέσον οἴκου
ἀμφιπόδην πλέγδην γέγραφεν ἀμφοτέρους.
ἐκ θυρίδος δὲ μολὼν φαέθων, πολυπάμφαος αἴγλη,
ἔστη ἀμηχανέων ἀμφοτέρους σκοπιέων.
ἥλιος βαρύμηνις ἕως τίνος; οὐδ' ἐπὶ κηροῦ
ἤθελεν ἀψύχου τὸν χόλον ἐξελάσαι.

Εἰς ἀρτέμιδος. Διοτίμου.

Ὡς πρέπει ἀρτεμίς εἰμ'. εἰδ' ἄρτεμιν αὐτὸς ὁ χαλκεὺς
μανύει ζηνός, κοὐχ ἑτέρου θύγατρα,
τεκμαίρου τὸ θράσος τᾶς παρθένου. ἦ ῥά κεν εἴποις,
πᾶσα χθὼν, ὀλίγον τᾷδε κυναγέσιον.

Εἰς ἀπόλλωνα. Ἀντιπάτρου.

Βούπαις ὦ 'πόλλων τόδε χάλκεον ἔργον ὀνατᾶ,
ἀγλαΐης Λητοῖ, καὶ Διὶ μαρτυρίη.
εὖθ' ὅτι τῆσδε μάτην ζεὺς ἤρατο, χὤτι κατ' αἶνον,
ὄμματα, καὶ κεφαλὴν ἀγλαὸς ὁ κρονίδης.

οὐδ' ἄρα νεμεσσητὸν ἐχεύατο χαλκὸν ἐνατᾶς;
ὃν μετ' ἐλαθείης τοῖον ἀπεπλάσατο.

Εἰς ἄγαλμα ἀφροδίτης τῆς ἐν κνίδῳ.

Τίς λίθον ἐψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν;
ἵμερον ἐν πέτρῃ τίς τόσον εἰργάσατο;
πραξιτέλους χειρῶν ὅδε που πόνος. ἢ τάχ' ὄλυμπος
χηρεύει, Παφίης ἐς κνίδον ἐρχομένης.

Πλάτωνος εἰς τὸ αὐτό.

Ἡ Παφίη κυθέρεια, δι' οἴδματος ἐς κνίδιον ἦλθε,
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην.
πάντη δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ,
φθέγξατο, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;
πραξιτέλης οὐκ εἶδεν, ἃ μὴ θέμις. ἀλλ' ὁ σίδηρος
ἔξεσ' οἵαν ἄρης ἤθελε, τὴν Παφίην.

Εἰς τὸ αὐτό.

Ἁ κύπρις, τὰν Κύπριν ἐνὶ κνίδῳ εἶπεν ἰδοῦσα,
φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

Εἰς τὸ αὐτὸ Πλάτωνος.

Οὔτε σε Πραξιτέλης τεχνάσατο, οὔθ' ὁ σίδηρος,
ἀλλ' οὕτως ἔστης, ὥς ποτε κρινομένη.

Λουκιανοῦ εἰς τὸ αὐτό.

Τὴν Παφίην γυμνὴν οὐδεὶς ἴδεν. εἰ δέ τις εἶδεν,
οὗτος ὁ τὴν γυμνὴν στησάμενος Παφίην.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Σοὶ μορφῆς ἀνέθηκα τεῆς περικαλλὲς ἄγαλμα
Κύπρι, τεῆς μορφῆς φέρτερον οὐδὲν ἔχων.

Εὐήνου εἰς τὸ αὐτό.

Παλλὰς, καὶ κρονίδαο συνευνέτις, εἶπον ἰδοῦσαι
τὴν Κνιδίην, ἀδίκως τὸν φρύγα μεμφόμεθα.

Εἰς τὸ αὐτό.

Γυμνὴν εἶδε Πάρις με, καὶ ἀγχίσης, καὶ ἄδωνις.
τοὺς τρεῖς οἶδα μόνους. Πραξιτέλης δὲ, πόθεν;

Εἰς τὸ αὐτὸ, καὶ εἰς τὴν ἐν ἀθή-
ναις ἀθηνᾶν.

Ἀφρογενοῦς Παφίης ζάθεον περιδέρκεο κάλλος.
καὶ λέξεις, αἰνῶ τὸν Πάριν τῆς κρίσεως.
ἀτθίδα δερκόμενος πάλι Παλλάδα, τοῦτο βοήσεις
ὡς βούτης ὁ Πάρις τήνδε παρετρόχασεν.

Ἑρμοδώρου εἰς τὸ αὐτό.

Τὰν κνιδίαν Κυθέρειαν ἰδὼν ξένε, τοῦτό κεν εἴποις.
αὐτὰ καὶ θνατῶν ἄρχε, καὶ ἀθανάτων.
τὰν δ' ἐνὶ κεκροπίδαις δορυθαρσέα Παλλάδα λεύσσων,
αὐδάσεις, οὕτως βουκόλος ἦν ὁ Πάρις.

Εἰς τὴν αὐτὴν ἀφροδίτην ὡπλισμένην.
Λεωνίδου.

Ἄρεως ἔντεα ταῦτα, τίνος χάριν ὦ Κυθέρεια
ἐνδέδυσαι, κενεὸν τοῦτο φέρουσα βάρος;
αὐτὸν ἄρη γυμνὴ γὰρ ἀφώπλισας. εἰ δὲ λέλειπται
καὶ θεὸς, ἀνθρώποις ὅπλα μάτην ἐπάγεις.

Ἀλεξάνδρου αἰτωλοῦ εἰς τὸ αὐτό.

Αὐτάν που τὰν Κύπριν ἀπηκριβώσατο Παλλὰς,
τᾶς ἐπ' ἀλεξάνδρου λαθομένα κρίσεως.

Εἰς τὴν ἐν σπάρτῃ ἔνοπλον ἀφροδίτην.
Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Αἰεὶ μὲν κυθέρεια φέρειν δεδάηκε φαρέτρην,
τόξα τε, καὶ δολιχῆς ἔργον ἑκηβολίης.
αἰδομένη δ' ἄρα θεσμὰ μενεπτολέμοιο Λυκούργου,
φίλτρα φέρει σπάρτῃ τεύχεσιν ἀγχεμάχοις.
ὑμεῖς δ' ἐν θαλάμοισι λακωνίδες, ὅπλα Κυθήρης
ἀζόμεναι, παῖδας τίκτετε θαρσαλέους.

Εἰς τὴν αὐτήν. Ἀδέσποτον.

Παλλὰς τὰν Κυθέρειαν ἔνοπλον εἶπεν ἰδοῦσα,
Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα;
ἡ δ' ἁπαλὸν γελάσασα, τί μοι σάκος ἀντίον αἴρειν;
εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

Ἄλλο εἰς τὴν ἐν κνίδῳ. Ἀντιπάτρου σιδωνίου.

Φάσεις τὰν μὲν Κύπριν ἀνὰ κραναὰν κνίδον ἀθρῶν
ἅδε που ὡς φλέξει καὶ θεὸς εὖσα λίθον.
τὸν δ' ἐν θεσπιάδαις γλυκὺν ἵμερον, οὐχ ὅτι πέτρον
ἀλλ' ὅτι κἂν ψυχρῷ πῦρ ἀδάμαντι βαλεῖ.
τοίους Πραξιτέλης κάμε δαίμονας, ἄλλον ἐπ' ἄλλας
γᾶς, ἵνα μὴ δισσῷ πάντα θέροιτο πυρί.

Τοῦ αὐτοῦ εἰς τὴν αὐτὴν ἀνερχομένην
ἀπὸ θαλάσσης.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάσσας
Κύπριν ἀπελλείου μόχθον ὅρα γραφίδος,
ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν,
ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων.
αὐταὶ νῦν ἐρέουσιν, ἀθηναίη τε, καὶ ἥρη,
οὐκ ἔτι σοι μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

Ἀρχίου εἰς τὴν αὐτήν.

Αὐτὰν ἐκ πόντοιο τιθηνητῆρας ἀπελλῆς
τὰν Κύπριν γυμνὰν εἶδε λοχευομέναν.
καὶ τοίαν ἐτύπωσε διάβροχον ὕδατος ἀφρῷ,
θλίβουσαν θαλεραῖς χερσὶν ἔτι πλόκαμον.

Δημοκρίτου εἰς τὴν αὐτήν.

Κύπρις ὅτε σαλάσουσα κόμας ἁλιμυρέος ἀφροῦ,
γυμνὴ πορφυρέου κύματος ἐξανέδυ.

οὕτω που κατὰ λευκὰ παρήια χερσὶν ἑλοῦσα
βόστρυχον, αἰγιαλῷ ἐξεπίεζεν ἅλα,
στέρνα μόνον φαίνουσα τὰ καὶ θέμις. εἰ δὲ τοιάδε
κείνη, συγχείσθω θυμὸς ἐνυαλίου.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων εἰς
τὴν αὐτήν.

Ἄρτι θαλασσαίης παφίη προὔκυψε λοχείης
μαῖαν ἀπειλαίην εὑραμένη παλάμην.
ἀλλὰ τάχος γραφίδων ἀπεχάζεο, μή σε διήνη
ἀφρὸς ἀποστάζων, θλιβομένων πλοκάμων.
εἰ τοίη ποτὲ Κύπρις ἐγυμνώθη διὰ μῆλον.
τὴν Τροίην ἀδίκως Παλλὰς ἐληΐσατο.

Εἰς τὴν αὐτὴν Λεωνίδου ταραντίνου.

Τὰν ἐκφυγοῦσαν ματρὸς ἐκ κόλπων ἔτι,
ἀφρῷ τε μορμύρουσαν εὐλεχῆ Κύπριν,
ἰδὼν Ἀπελλῆς κάλλος ἱμερότατον,
οὐ γραπτόν, ἀλλ' ἔμψυχον ἐξεμάξατο.
εὖ μὲν γὰρ ἄκραις χερσὶν ἐκθλίβει κόμαν,
εὖ δ' ὀμμάτων γαληνὸς ἐκλάμπει πόθος,
καὶ μαζὸς ἀκμῆς ἄγγελος κυδώνιος.
αὐτὰ δ' Ἀθάνα, καὶ Διὸς συνευνέτις,
φάσουσιν, ὦ Ζεῦ, λειπόμεσθα τῇ κρίσει.

Ἔτι εἰς τὴν ἐν Κνίδῳ. Εὐήνου.

Πρόσθε μὲν Ἰδαίοισιν ἐν οὔρεσιν αὐτὸς ὁ βούτας
δέρξατο τὰν καλλεῦς πρῶτ' ἀπενεγκαμέναν.
πραξιτέλης κνιδίοις δὲ πανωπήεσσαν ἔθηκεν,
μάρτυρα τῆς τέχνης ψῆφον ἔχων πάριδος.

Εἰς τὸ ἐν Σπάρτῃ. Ἀντιπάτρου.

Καὶ λίθος ὡς Παφίη θωρήξατο ἢ τάχα μᾶλλον
εἶδε λίθον Παφίη. καὶ ὤμοσεν, ἤθελον εἶναι.

Εἰς τὸ ἐν Σπάρτῃ. Ἀντιπάτρου.

Καὶ Κύπρις Σπαρτας, οὐχ ἄστεσιν οἷα τ' ἐν ἄλλοις
ἵδρυται, μαλακὰς ἑσσαμένα στολίδας,
ἀλλὰ ἐπὶ κρατὸς μὲν ἔχει κόρυν ἀντὶ καλύπτρας.
ἀντὶ δὲ χρυσέων ἀκρεμόνων, κάμακα.
οὐ γὰρ χρὴ τευχέων εἶναι δίχα τὰν παράκοιτιν
Θρηκὸς ἐνυαλίου, καὶ Λακεδαιμονίαν.

Φιλίππου εἰς τὸ αὐτό.

Κύπρι φιλομειδής, θαλαμηπόλε, τίς σε μελιχρὴν
δαίμονα τοῖς πολέμων ἐστεφάνωσεν ὅπλοις;
σοὶ παιὰν φίλος ἦν, καὶ ὁ χρυσοκόμης ὑμέναιος,
καὶ λιγυρῶν αὐλῶν ἡδυμελεῖς χάριτες.
ὧν τί δὲ ταῦτ' ἐνέδυς ἀνδροκτόνα; μὴ θρασὺν ἄρη
συλήσασ' αὐχεῖς; Κύπρις ὅσον δύναται.

Εἰς ἄγαλμα Διονύσου πλησίον
ἀθηνᾶς ἑστώς.

Εἰπὲ τί σοι ξόανον, καὶ παλλάδι. τῇ γὰρ ἄκοντες,
καὶ πόλεμοι. παρὰ σοὶ δ' εὔιαδον εἰλαπίναι.
μὴ προπετῶς ὦ ξεῖνε, θεῶν πέρι, τοῖα μετάλλα.
ἴσθι δ' ὅσοις ἴκελος δαίμονι τῇδε πέλω.
καὶ γάρ ἐμοὶ πολέμων φίλιον κλέος. οἶδεν ἅπας μοι
ἠῷος δμηθεὶς ἰνδὸς ἀπ' ὠκεανοῦ.
καὶ μερόπων δὲ φυλὴν ἐγεγήραμεν. ἡ μὲν, ἐλαίῃ.
αὐτὰρ ἐγὼ, γλυκεροῖς βότρυσιν ἡμερίδος.
καὶ μὴν οὐδ' ἐπ' ἐμοὶ μήτηρ ὠδῖνας ὑπέτλη.
λῦσα δ' ἐγὼ μηρὸν πάτριον, ἥδε, κάρη.

Εἰς ἕτερον ἄγαλμα τοῦ αὐτοῦ.
Ἀντιπάτρου σιδωνίου.

Αὐσονίῳ Πείσωνι συνασπιστὴς Διόνυσος
ἵδρυμαι, μεγάρων φρουρὸς ἐπ' εὐτυχίῃ.
ἄξιον ὦ Διόνυσ' εὐέβης δόμον. ἔπρεπεν ἄμφω,
καὶ μέγαρον Βάκχῳ, καὶ Βρόμιος μεγάρῳ.

Εἰς ἄγαλμα Διονύσου, καὶ
ἡρακλέους.

Ἀμφότεροι θήβηθε, καὶ ἀμφότεροι πολεμισταὶ,
κὴκ ζηνός. θύρσῳ δεινός. ὁ δὲ, ῥοπάλῳ.
ἀμφοῖν δὲ στῆλαι συντέρμονες, εἴκελα δ' ὅπλα.
νεβρὸς, λεοντῆ. κύμβαλα δὲ, πλαταγή.
ἥρη δ' ἀμφοτέροις χαλεπὴ θεός. οἳ δ' ἀπὸ γαίης
ἦλθον ἐς ἀθανάτους, ἐκ πυρὸς ἀμφότεροι.

Εἰς ἄγαλμα ἑρμοῦ.
Ξενοκράτους.

Ερμῆς ὠκὺς ἐγὼ κικλήσκομαι. ἀλλὰ παλαίστρῃ
μὴ κολοβὸν χειρῶν, ἵστατε, μηδ' ἄποδα.
ἢ πῶς ὠκὺς ἐγὼ, πῶς δ' ὄρθια χειρονομήσω,
ἐς βάσιν ἀμφοτέρων ὀρφανὸς ἱστάμενος;

Εἰς τὸ αὐτό.

Ερμέῃ ξυλίνῳ τις ἐπεύχετο, καὶ ξύλον ἦεν.
εἶτα μὲν ἀέρας, χαμάδις βάλε. τοῦ δ' ἄπο χρυσὸς
ἐρρευσεν κατεαγότος. ὕβρις πόρε πολλάκι κέρδος.

Εἰς ἕτερον τοῦ αὐτοῦ.
Νικίου.

Εἰνοσίφυλλον ὄρος κυλλήνιον αἰπὺ λελογχὼς,
τῇδ' ἕστηκ' ἐρατοῦ γυμνασίου μεδέων
ἑρμῆς. ᾧ ἔπι, παῖδες ἀμάρακον, ἠδ' ὑάκινθον.
πολλάκι, καὶ θαλεροὺς θῆκαν ἴων στεφάνους.

Εἰς ἕτερον τοῦ αὐτοῦ.

Φρουρὸς ὁρῶ σμήνεσσι Τρισπέτου εἵνεκα μίμνω
ἐνθάδε, μαιναλίαν κλιτὺν ἀποπρολιπών,

κλῶπα

κλῶπα μελισσάων δεδοκημένος· ἀλλ' ἀλέασθε
 χεῖρα, καὶ ἀγροτέρου κύφου ὄρεγμα ποδός.

Εἰς ἕτερον τοῦ αὐτοῦ.
Λεωνίδου.

Τὸν ἀγρῶν ὁ νομεὺς Μόριχος τὸν ἐπίσκοπον ἑρμᾶν
 ἔστασ' αἰπολίων εὐθήνιμον φύλακα.
ἀλλά μοι ἀεὶ ἀνόρη χλωρᾶς κεκορθυμέναι ὕλας,
 τοῦ γ' ἁρπακτῆρος μήτι μέλεσθαι λύκου.

Εἰς ἕτερον τοῦ αὐτοῦ.
Νικαινέτου.

Αὐτόθεν ὀστράκινόν με, καὶ ἐν ποσὶ γήινον ἑρμῆν
 ἔπλασεν ἀψίδι κύκλος ἑλισσόμενος.
πηλὸς ἐφυράθην. οὐ ψεύσομαι. ἀλλ' ἐφίλησα,
 ὦ ξένε, ὀστρακέων δύσμορον ἐργασίην.

Εἰς ἕτερον τοῦ αὐτοῦ.
Ἀδεσπότου.

Ὦ λῷστε, μὴ νόμιζε τῶν πολλῶν ἕνα
ἑρμᾶν θεωρεῖν. εἰμὶ γὰρ τέχνα Σκόπα.

Εἰς ἕτερον τοῦ αὐτοῦ ἐν κήπῳ.
Φιλίππου.

Κράμβης ἅψωμαι κυλλήνιε; μὴ, παροδῖτα.
 τίς φθόνος ἐκ λαχάνων; οὐ φθόνος, ἀλλὰ νόμος
ἀλλοτρίων ἀπέχειν κλοπίμους χέρας. ὢ παραδόξου
 μὴ κλέπτειν ἑρμῆς καινὸν ἔθηκε νόμον.

Εἰς ἑρμαφρόδιτον ἐν λου-
τρῷ ἱσταμένον.

Ἀνδράσιν ἑρμῆς εἰμί, γυναιξὶ δὲ Κύπρις ὁρῶμαι.
 ἀμφοτέρων δὲ φέρω σύμβολα μοι τοκέων.
τοὔνεκεν οὐκ ἀλόγως με τὸν ἑρμαφρόδιτον ἔθεντο
 ἀνδρογύνοις λουτροῖς, παῖδα τὸν ἀμφίβολον.

Εἰς ἄγαλμα ἔρωτος.

Χάλκεον τίς ἔρωτα μετήγαγεν ἐκ πυρὸς εἰς πῦρ,
 τήγανον ἁρμόζων τῇ κολάσει κόλασιν.

Εἰς ἄγαλμα τὸ αὐτοῦ δεδεμένον.
Σατύρου.

Τὸν πτερόεντα τίς ὧδε; τίς ἐν δεσμοῖσι θοὸν πῦρ
 ᾔχμασεν; αἰθομένης ἥψατο τίς φαρέτρης;
καὶ τὰς ὠκυβόλους περιηγέας ἐσφήκωσε
 χεῖρας, ὑπὸ στιβαρῷ κίονι δησάμενος;
ψυχρὰ τάδ' ἀνθρώποις παραμύθια. μή ποτ' ἐκεῖνος
 αὐτὸς ὁ δεσμώτης αὐτὸς ἔδησε φρένας;

Αλκαίου εἰς τὸν αὐτόν.

Τίς σε τὸν οὐχ ὁσίως ἠγρευμένον ὧδε πεδήσας
θήκατο; τίς πλεκτὴν σὰς ἐνέδησε χέρας;
καὶ πιναρὰν ὄψιν τετέχνατο; ποῦ θοὰ τόξα;
νήπιε, ποῦ πικρὴ πυρφόρος ἰοδόκη;
ἦ ῥα μάτην ἐπόνησε λιθοξόος, ὅς σε τὸν οἴστρῳ
κινήσαντα θεούς, τῇδ' ἐνέδησε πάγῃ.

Αντιπάτρου εἰς τὸν αὐτόν.

Τίς δισσὰς παλάμας πρὸς κίονα δῆσεν ἀφύκτοις
ἅμμασι; τίς πυρὶ πῦρ, καὶ δόλον εἷλε δόλῳ;
νήπιε, μὴ δὴ δάκρυ κατὰ γλυκεροῖο προσώπου
βάλλε. σὺ γὰρ τέρπῃ δάκρυσιν ἠϊθέων.

Μαικίου εἰς τὸν αὐτόν.

Κλαῖε δυσεκφύκτως σφιχθεὶς χέρας ἄκριτε δαῖμον,
κλαῖε μάλα, στάζων ψυχοτακὲς δάκρυα,
σωφροσύνας ὑβριστά, φρενοκλόπε, ληστὰ λογισμῶν,
πτανὸν ψυχᾶς πῦρ, τραῦμ' ἀόρατον ἔρως.
θνατοῖς μὲν λύσις ἐστὶ γόων ὁ σὸς ἄκριτε δεσμός.
ὦ σφιγχθεὶς, κωφοῖς πέμπε λιτὰς ἀνέμοις.
ὃν δὲ βροτοῖς ἀφύλακτος ἀνέφλεγες ἐν φρεσὶ πυρσόν
ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.

Κριναγόρου εἰς τὸν αὐτόν.

Καὶ κλαῖε, καὶ στέναζε, συσφίγγων χέροιν
τρίζοντας. ὦ 'πίβουλε, τοιά τοι πρέπει.
οὐκ ἔσθ' ὁ λύσων, μὴ 'λεεὶν' ὑποβλέπε.
αὐτὸς γὰρ ἄλλων, ἐκ μὲν ὀμμάτων, δάκρυ
ἔθλιψας. ἐν δὲ πικρὰ καρδίᾳ βέλη
πήξας, ἀφύκτων ἰὸν ἔσταξας πόθων
ἔρως. τὰ θνητῶν δ' ἐστί σοι γέλως ἄχη.
πέπονθας, οἷ' ἔρεξας. ἐσθλὸν ἡ δίκη.

Μόσχου εἰς ἔρωτα ἀροτριόντα.

Λαμπάδα θεὶς, καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
οὖλος ἔρως. πήρην δ' εἶχε κατωμαδίην.
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων,
ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διί, πλῆσον ἀρούρας,
μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

Εἰς ἔρωτα ἐστεφανωμένον.
Μαριανοῦ σχολαστικοῦ.

Ποῦ σοι τόξον ἐκεῖνο παλίντονον, οἵτ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην ἐν κραδίην δόνακες;
ποῦ πτέρα; ποῦ λαμπὰς πολυώδυνος; ἐν τί δὲ τρισσὰ
στέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἐπ' ἄλλο φέρεις.

οὐκ

οὐκ ἀπὸ πανδήμου ξόανε Κύπριδος, οὐκ ἀπὸ γαίης
εἰμὶ, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.
ἀλλ' ἐγὼ ἐν καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
συμμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω.
ἐκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω. ὧν ἀφ' ἑκάστης
τούσδε φορῶν, πρώτῳ τῷ σοφίης στέφομαι.

Εἰς τὸν Πραξιτέλους ἔρωτα. Ἰουλιανοῦ
ἀπὸ ὑπάρχων αἰγυπτίου.

Κλίνας αὐχένα γαῦρον ὑφ' ἡμετέροισι πεδίλοις
χερσί με ληϊδίαις ἔπλασε Πραξιτέλης.
αὐτὸν γὰρ τὸν ἔρωτα τὸν ἔνδοθι κευθόμενόν με,
χαλκώσας, Φρύνῃ δῶκε γέρας φιλίης.
ἡ δέ μιν αὖθις ἔρωτι προσήγαγε. καὶ γὰρ ἐρῶντας
δῶρον ἔρωτι φέρειν αὐτὸν ἔρωτα θέμις.

Εἰς τὸ αὐτό. Σιμωνίδου.

Πραξιτέλης, ὃν ἔπασχε, διηκρίβωσεν ἔρωτα,
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ. φίλτρα δὲ τίκτω,
οὐκέτι τοξεύων, ἀλλ' ἀτενιζόμενος.

Εἰς τὸν αὐτόν. Τυλλίου γεμίνου.

Ἀντί μ' ἔρωτος ἔρωτα, βροτῷ θεὸν ὤπασε Φρύνῃ
Πραξιτέλης, μισθὸν καὶ θεὸν εὑρόμενος.
ἡ δ' οὐκ ἠρνήθη τὸν τέκτονα. δεῖσε γὰρ οἱ φρὴν,
μὴ θεὸς ἀντὶ τέχνης σύμμαχα τόξα λάβῃ.
ταρβεῖ δ' οὐκέτι που τὸν Κύπριδος, ἀλλὰ τὸν ἐκ σοῦ
Πραξιτέλευ, τέχνην μητέρ' ἐπισταμένη.

Εἰς τὸν αὐτόν. Λεωνίδου.

Θεσπιέες τὸν ἔρωτα μόνον θεὸν ἐν Κυθερείας
ἄζοντ' οὐχ ἑτέρου γραπτὸν ἀπ' ἀρχετύπου,
ἀλλ' ὃν Πραξιτέλης ἔγνω θεόν. ὃν περὶ Φρύνῃ
δερκόμενος, σφετέρων λύτρον ἔδωκε πόθων.

Εἰς ἔρωτα γυμνόν. Παλλαδᾶ.

Γυμνὸς ἔρως διὰ τοῦτο γελᾷ, καὶ μείλιχός ἐστιν.
οὐ γὰρ ἔχει τόξον, καὶ πυρόεντα βέλη.
οὐδὲ μάτην παλάμαις κατέχει δελφῖνα, καὶ ἄνθος.
τῷ μὲν γὰρ, γαῖαν, τῷ δὲ, θάλασσαν ἔχει.

Εἰς ἔρωτα καθεύδοντα ἐν πινοφροπέσῃ.
Γαβεινλίου ὑπάρχου.

Οὐδὲ καταυκνώσσων, οὐδ' ἄπνοος, οὐδ' ἐνὶ δαιτὶ
νόσφι πυρισπαρέων δείγματός ἐστιν ἔρως.

Εἰς τὸν αὐτόν.

Οὗτος ὁ τὸν δειλὸν φυσῶν ἵνα λύχνον ἀνάψῃς,
δεῦρ' ἀπ' ἐμᾶς ψυχᾶς ἅψον. ὅλος φλέγομαι.

Εἰς ἔρωτα ἐν ἄλσει κοιμώμενον.
εὑρέθη δὲ ὑπὸ ὑλατῶν.
Πλάτωνος.

Ἄλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
πορφυρέοις μήλοισιν ἐοικότα, παῖδα Κυθήρης.
οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα.
ἀλλὰ τὰ μὲν, δένδρεσιν ὑπ' εὐπετάλοισι κρέμαντο.
αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ,
εὗδεν μειδιόων. ξουθαὶ δ' ἐφύπερθε μέλισσαι,
κηροχύτοις ἐντὸς λαγαροῖς ἐπὶ χείλεσι βαῖνον.

Στατυλλίου φλάκκου εἰς ἔρωτα
κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
εὕδεις ἀτηρὲς, ἆ, τέκος ἀφρογενοῦς,
οὐ πεύκην πυρόεσσαν ἐπηρμένος, οὐδ' ἀφύλακτον
ἐκ κέρατος ψάλλων ἀντιτόνοιο βέλος.
ἄλλοι θαρσείτωσαν. ἐγὼ δ' ἀγέρωχε δέδοικα,
μή μοι καὶ κνώσσων, πικρὸν ὄνειρον ἴδῃς.

Εἰς τὸ αὐτό. Ἀλφειοῦ.

Ἁρπάζομαι πυρόεσσαν ἔρως          ἐκ σέο πεύκην.
συλήσω δ' ὤμων ἀμφικρεμῆ φαρέτρην,
εἴγ' ἐτύμως εὕδεις πυρὸς ἔγγονε. καὶ σέο φῶτες
πρὸς βαιὸν, τόξων δύναμιν ἄγομεν.
ἀλλὰ καὶ ὥς σε δέδοικα δολοπλόκε μήτινα κεύθῃς
εἰς ἐμὲ, κἂν ὕπνῳ πικρὸν ὄνειρον ἴδῃς.

Μελεάγρου. οἱ δὲ, Στράτωνος.
Εἰς ἔρωτα.

Εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα τέτανται,
καὶ σκυθικῶν τόξων ἀκροβολεῖς ἀκίδες,
φεύξομ' ἔρως ὑπὸ γῆν σε. τί γὰρ πλέον; οὐδὲ γὰρ αὐτὸς
σὰν ἔφυγεν ῥώμαν πανδαμάτωρ ἀΐδας.

Σεκούνδου εἰς ἀγάλματα ἐρώτων.

Σκυλοχαρεῖς ἴδ' ἔρωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενα,
τύμπανα, καὶ θύρσον Βρομίου. ζηνὸς δὲ κεραυνὸν,
ἀσπίδ' ἐνυαλίου, καὶ κόρυν εὔκομον,
Φοίβου δ' εὔτοξον φαρέτρην, ἁλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν ἡρακλέους ῥόπαλον.
τί πλέον ἀνθρώποισιν, ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

Εἰς τὸ αὐτό. Φιλίππου.

Συλήσαντες ὄλυμπον ἴδ' ὡς ὅπλοισιν ἔρωτες
κοσμοῦντ' ἀθανάτων σκῦλα φρυασσόμενοι.

Φοίβου

φοίβου τόξα φέρουσι, διὸς δὲ κεραυνόν, ἄρηος
ὅπλον, καὶ κυνέην, ἡρακλέους ῥόπαλον,
ἐναλίου τε θεοῦ τριβελὲς δόρυ, θύρσον τε βάκχου.
πτηνὰ πέδιλ' ἑρμοῦ, λαμπάδα ἀρτέμιδος.
οὐκ ἄχθος θνητοῖς εἴκειν βελέεσσιν ἐρώτων,
δαίμοσιν οἷς ὅπλων κόσμον ἔδωκαν ἔχειν.

Εἰς ἄγαλμα Ἥρας.
Παρμενίωνος.

Ἀργεῖος Πολύκλειτος, ὁ καὶ μόνος ὄμμασιν Ἥρην
ἀθρήσας, καὶ ὅσην εἶδε τυπωσάμενος.
θνητοῖς κάλλος ἔδειξεν ὅσον θέμις. αἱ δ' ὑπὸ κόλποις
ἄγνωστοι μορφαὶ, Ζηνὶ φυλασσόμεθα.

Εἰς ἄγαλμα Ἥρας θηλαζούσης Ἡρακλέα.

Αὐτὴν μητρυιὴν τεχνήσατο. τοὔνεκα μαζὸν
ἐς νόθον ὁ πλάστης οὐ προσέθηκε γάλα.

Εἰς ἄγαλμα Καλλιόπης.

Καλλιόπη μὲν ἐγώ. κούρῳ δ' ἐμὸν ὤπασα μαζὸν,
ὃς ῥέφε θεῖον ὅμηρον, ὅθεν πίε νήδυμος ὀρφεύς.

Εἰς εἰκόνα τῆς αὐτῆς. Ἰωάννου ποιητοῦ
τοῦ Βαρβουκάλλου.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι.
ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

Εἰς εἰκόνα Πολυμνίας.
Τοῦ αὐτοῦ.

Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δὲ μούσης.
τῶν γὰρ ἐπ' ἀμφοτέροις οὔνομα, καὶ τύπος εἷς.

Εἰς εἰκόνα μουσῶν. Ἀντιπάτρου.

Τρείζυγες αἱ μοῦσαι τᾷδ' ἕσταμεν. ἁ μία, λωτὸς.
ἁ δὲ, φέρει παλάμαις βάρβιτον. ἁ δὲ, χέλυν.
ἁ μὲν, ἀριστοκλῆος ἔχει χέλυν. ἁ δ' ἀγελάδα
βάρβιτον. ἁ κανάχα δ' ὑμνοπόλους δόνακας.
ἀλλ' ἁ μὲν, κραντῆρα τόνου τελεῖ. ἁ δὲ, μελῳδὸς
χρώματος. ἁ δὲ, σοφᾶς εὑρέτις ἁρμονίας.

Εἰς τὴν ἀθηναίων νέμεσιν.
Θεαιτήτου σχολαστικοῦ.

Χιονέην με λίθον παλιναυξέος ἐκ προθεωπεῦς
λαοτύπος τμήξας πετροτόμοις ἀκίσι
μῆδος ἐποντοπόρευσεν, ὅπως ἀνδρείκελα τεύξῃ,
τῆς κατ' ἀθηναίων σύμβολα καμμονίης.
ὡς δὲ δαϊζομένοις μαραθὼν ἀντέκτυπε πέρσαις,
καὶ νέες ὑγροπόρων χεύμασιν αἱμαλέοις,
ἔξυσαν ἀθρήσασαι ἀριστώδινες ἀθῆναι,
δαίμον' ὑπερφιάλοις ἀντίπαλον μερόπων.

ἀντιταλαντεύω τὰς ἐλπίδας. εἰμὶ δὲ καὶ νῦν
νίκη ὀρεχθείσαις. ἀσυνέτοις νέμεσις.

Παρμενίωνος εἰς τὸ αὐτό.

Μήδοις ἐλπισθεῖσα τροπαιοφόρος λίθος εἶναι,
ἠλλάχθην μορφὴν καίριον εἰς νέμεσιν.
ἔνδικος ἱδρυνθεῖσα θεὰ, Ῥαμνοῦντος ἐπ' ὄχθαις,
νίκης, καὶ σοφίης, Ἀτθίδι μαρτύριον.

Εἰς στήλην νεμέσεως.

Ἡ νέμεσις προλέγει τῷ πήχει, τῷ τε χαλινῷ,
μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

Εἰς τὸ αὐτό.

Ἡ νέμεσις πῆχυν κατέχω. τίνος οὕνεκα λέξεις;
πᾶσι παραγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον.

Εἰς ἄγαλμα Πανὸς συρίζον. Πλάτωνος.

Σιγάτω λάσιον δρυάδων λέπας, οἵ τ' ἀπὸ πέτρας
κρουνοί, καὶ βληχὴ πουλυμιγὴς τοκάδων,
αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πὰν,
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων.
αἱ δὲ, πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
ὑδριάδες νύμφαι, νύμφαι ἁμαδρυάδες.

Ἀραβίου σχολαστικοῦ εἰς τὸ αὐτό.

Ἦν τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν.
πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.
ἀλλ' ἐρόων φθέγγουσαν ἀμήχανος ἄστατον ἠχὼ,
τεχνίτης ἀρνήθη φθόγγον ἀνωφελέα.

Ἀλκαίου εἰς τὸ αὐτό.

Ἔμπνει Πὰν λαροῖσιν ὀρειβάτα χείλεσι μοῦσαν,
ἔμπνει, ποιμενίῳ τερπόμενος δόνακι,
εὐκελάδῳ σύριγγι χέων μέλος. ἐκ δὲ συνῳδοῦ
κλάζε κατὰ πνοιῶν ῥήματος ἁρμονίην.
ἀμφὶ σὲ ῥυθμοῖο κατὰ κρότον ἔνθεον ἴχνος
ῥησσέσθω νύμφαις ταῖσδε μεθυδριάσιν.

Εἰς ἄγαλμα Πανὸς ἱστάμενον ἐπὶ ὁλκῷ
ὕδατος ἀψοφητὶ ῥέοντος.

Πανά με τὸν δυσέρωτα, καὶ ἐξ ὑδάτων φύγεν ἠχώ.

Εἰς τὸ αὐτό.

Τᾷδε ἐπὶ χλοεροῖο ῥιφεὶς λειμῶνος ὁδῖτα,
ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα μόθου.
ἧχί σε ζεφύροιο τινασσομένη πίτυς αὔραις
θέλξει, τεττίγων εἰσαΐοντα μέλος,
χὠ ποιμὴν ἐν ὄρεσσι μεσαμβρινὸν ἄγχοθι παγᾶς
συρίσδων λασίας θάμνῳ ὑπὸ πλατάνου,
καύματ' ὀπωρινοῖο φυγὼν κυνός. ἄλμα δ' ἀμείψεις
αὔριον, εὖ τόδε σοι Πανὶ λέγοντι πιθοῦ.

Αὐ.

Ἀνύτης εἰς τὸ αὐτό.

Ξεῖν', ὑπὸ τὰν πέτραν τετρυμένα γυῖ' ἀνάπαυσον.
ἁδύ τοι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις.
πίδακά τ' ἐκ παγᾶς ψυχρὸν πίε. δὴ γὰρ ὁδίταις
ἄμπαυμ' ἐν θερμῷ καύματι τοῦτο φίλον.

Εἰς τὸ αὐτό.

Ἐξ αὐτοῦ Διὸς ὕδωρ ὁ φίλτατος ἔκχυτος οὗτος,
μαρτυρέω δὲ φορὴν τὴν ἐπάνω νεφέλην.
ἑρμείαν γὰρ ἄνακτα τέκεν νεφεληγερέτα Ζεύς,
αὐτὰρ ὅγ' ἑρμείας, πᾶνα τὸν αἰγελάτην.

Εἰς ἕτερον Πᾶνα. Λεωνίδου.

Μὴ σύ γ' ἐπ' οἰονόμοιο περίπλεον ἰλύος ὧδε
τοῦ χαραδραίης θερμὸν ὁδῖτα πίης.
ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλήβοτον ἄκρην
κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ,
εὑρήσεις κελαρύζον εὐκρήνου διὰ πέτρης
νᾶμα, Βορειαίης ψυχρότερον νιφάδος.

Εἰς ἕτερον Πᾶνα. Ἀνύτης.

Τίπτε κατ' οἰόβατον Πὰν ἀγρότα δάσκιον ὕλαν
ἥμενος, ἁδυβόᾳ τῷδε κρέκεις δόνακι;
ὄφρα μοι ἑρσήεντα κατ' οὔρεα ταῦτα νέμοιντο
πόρτιες, ἠϋκόμων δρυπτόμεναι σταχύων.

Εἰς ἕτερον Πᾶνα. Ἐρυκίου.

Εὔστοχα θηροβολεῖτε κυναγέται, οἵ ποτὶ ταύταν
Πανὸς ὀρειβάτεω νισσόμενοι σκοπιάν,
οἵ τε λίνοις βαίνοιτε πεποιθότες, οἵ τε σιδάρῳ,
οἵ τε καὶ ἰξευτᾷ λαθροβόλῳ δόνακι.
κἀμέ τις ὑμείων ἐπιβωστέτω. οἶδα ποτ' ἄγραν
κοσμεῖν, καὶ λόγχαν, καὶ λίνα, καὶ καλάμους.

Εἰς ἕτερον Πᾶνα. Σιμωνίδου.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν ἀρκάδα, τὸν κατὰ μήδων,
τὸν μετ' ἀθηναίων, στήσατο Μιλτιάδης.

Θεαιτήτου εἰς τὸν αὐτόν.

Ὑλοβάτας, φιλόδενδρος, ὀρειαύλου πόσις ἀχοῦς
πάνσκοπος, εὐκεράου μαλοφύλαξ ἀγέλας,
πὰν ὁ δασυκνάμων, ὁ πολύσπορος, ὃς μετανάστας
ἔδραμον αἰχματὰν ἐς δάϊν ἀστυνείων,
μιλτιάδου στήσαντος ὁμάσπιδα περσοδιώκταν,
ἵσταμαι, ἀκλήτου ξείνια συμμαχίης.
ἄλλοις ἀκροπόληες. ὁ μηδοφόνος δὲ δέδασται
ξυνός, ἐμὶν μαραθών, καὶ μαραθωνομάχοις.

Φιλοδήμου εἰς ἕτερον ἄγαλμα Πανός.

Τρισσοὺς ἀθανάτους χωρεῖ λίθος. ἁ κεφαλὰ γὰρ
μανύει κραναῶς Πᾶνα τὸν αἰγόκερων.
στέρνα δὲ, καὶ νηδύς, ἡρακλέα. λοιπὰ δὲ μηρῶν
καὶ κνήμης, ἑρμῆς ὁ πτερόπους ἔλαχεν.

θύειν

θύειν ἀρνήσῃ ξεῖνε μελίττι. τῷ γὰρ ἑνός σοι
θύματος οἱ τρισσοὶ δαίμονες ἁψόμεθα.

Ἀπολλωνίου σμυρναίου εἰς ἕτερον
ἄγαλμα Πανός.

Ἀγροτέρων θεός εἰμι. τί μοι χρυσέοις δεπάεσσι
σπένδετε; τί δ' Ἰταλὸν χεῖτε μέθυ Βρομίου;
καὶ γυροὺς ταύρων πέτρῃ προσδεῖτε τένοντας;
φείδεσθ'. οὐ τοιούτοις θύμασι τερπόμεθα.
Πὰν ὁ κατωρείτης, αὐτόξυλος, ἀρνοθοίνης
εἰμί. καὶ ἐγχθονίου γλεύκεος πότης κύλικος.

Λεωνίδου, οἱ δὲ, Πεισίδου εἰς ἄγαλμα Πριήπου.

Αὐτοῦ ἐφ' αἱμασιαῖσι τὸν ἀγρυπνοῦντα Πρίηπον
ἔστησαν λαχάνων Δεινομένης φύλακα.
ἀλλ' ὡς ἐντέταμαι φὼρ ἔμβλεπε. τοῦτο δ' ἐρωτᾷς,
τῶν ὀλίγων λαχάνων εἵνεκα; τῶν ὀλίγων.

Τύμνεω εἰς τὸν αὐτόν.

Πάντα πριηπίζω. κἂν ᾖ Κρόνος, οὐ διακρίνω
οὐδ' ἴσα φὼρ οὕτω ταῖσδε παρὰ πρασιαῖς.
ἔπρεπε μὴ λαχάνων ἕνεκεν τάδε, καὶ κολοκυντῶν
φάσει τίς με λέγειν. ἔπρεπεν. ἀλλὰ λέγω.

Λουκιανοῦ εἰς ἕτερον Πρίηπον.

Εἰς τὸ κενόν με τέθηκε νόμου χάριν ὧδε Πρίηπον
Εὐτυχίδης, ξηρῶν κλημάτιδων φύλακα.
καὶ περιβέβλημαι κρημνὸν βαθύν. ὃς δ' ἂν ἐπέλθῃ,
οὐδὲν ἔχοι κλέψαι, πλὴν ἐμὲ τὸν φύλακα.

Ἀπολλωνίδου εἰς ἕτερον.

Ἀνθετ' Ἀναξαγόρης με τὸν οὐκ ἰθὺ ποσσὶ Πρίηπον,
ἐν χθονὶ δ' ἀμφοτέρῳ γούνατι κεκλιμένον.
τεῦξε δὲ φυρόμαχος. χαιρέτω δέ μοι ἀγχόθι καλιὴν
ἀθρήσας, δίζου μηκέτι πῶς ἔπεσον.

Ἀργενταρίου εἰς τὸ αὐτό.

Ὡραῖος. οἶδα καὶ αὐτὸς ὁδοιπόρε. μηκέτ' ἐπαίνει
ἰσχάδα, μηδ' ὄγχνα τὸν πέλας ἀκρέμονα.
καὶ λίην ὁ Πρίηπος ἐφίσταμαι ὀξὺ δεδορκώς,
καὶ φυλακὴν σύκων ἣν ἐπέοικεν ἔχων.
ἢν δὲ μόνον σὺ θίγῃς τῆς ἰσχάδος, ἰσχάδα δώσεις.
ὡς ἰσότης πάντων ἐστὶ δικαιοτάτη.

Ἐρυκίου εἰς τὸν αὐτόν.

Ὡς βαρὺ τοῦτο Πρίηπε, καὶ εὖ τετυλωμένον ὅπλον,
πᾶν ἄρ Βουβώνων ἀθρόον ἐκκέχυκας,
εἰς γάμον οὐκ ἀνέτοιμον. ἔχει δέ σε δίψα γυναικῶν
ὦ 'γαθὲ, καὶ σπαργῶς θυμὸν ἅπαντα πόροις.
ἀλλὰ κατὰ πρήϋνε τὸν ἐξῳδηκότα φαλλὸν
τόνδε, καὶ ἀνθηρῇ κρύψον ὑπὸ χλαμύδι.

οὐ

οὐ γὰρ ἐρημαίου ναίεις ὄρος, ἀλλὰ παρ' ἕλλης
ἠόνα, τὴν ἰδίην λάμψακον ἀμφιπολεῖς.

Εἰς τὸν αὐτόν. Ἀντισίου.

Ἀγροφύλαξ ἕστηκα πολυκτεάνοις ἐν ἀρούραις,
φρίκωνος καλύβην, καὶ φυτὰ ῥυόμενος,
τὸν λέγων παρ' ἕκαστον, ἐπὴν γελάσῃς ὁδιτῶν με
τοῦ σκύθους, χώρει τὴν κατὰ σαυτὸν ὁδόν.
ἢν δὲ παρεκβαίνῃς ἐς ἃ μὴ θέμις, οὔτι σ' ὀνήσει
ἡ λάχνη. πρυπᾶν πάντας ὑφιστάμεθα.

Εἰς ἄγαλμα σατύρου ἐν κρήνῃ ἑστῶς, καὶ ὡς
δρῶντα καθεύδοντα. Πλάτωνος.

Τὸν Βρομίου σάτυρον τεχνάσατο δαιδαλέα χείρ,
μούνῃ θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ.
εἰμὶ δὲ ταῖς νύμφαισιν ὁμέστιος. ἀντὶ δὲ τοῦ πρὶν
πορφυρέου μέθυος, λαρὸν ὕδωρ προχέω.
εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ τάχα κοῦρον
κινήσῃς ἁπαλῷ κώματι θελγόμενον.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονύσου.
λείβω δ' ἀργυρέων ὕδατα ναϊάδων.
θέλγω δ' ἠρεμέοντα νέον περὶ κώματι παῖδα,

Εἰς εἰκόνα σατύρου πρὸς τῇ ἀκοῇ τὸν αὐλὸν
ἔχοντος, ὥσπερ ἀκροωμένου.
Ἀγαθίου σχολαστικοῦ.

Αὐτομάτως σατυρίσκε, δόναξ τεὸς ἦχον ἰάλλει.
ἢ τί παρακλίνας, οὔας ἄγεις καλάμῳ;
ὃς δὲ γελῶν, σίγησεν. ἴσως δ' ἂν φθέγξατο μῦθον,
ἀλλ' ὑπὸ τερπωλῆς εἴχετο ληθεδόνι,
οὐ γὰρ κηρὸς ἔρυκεν. ἑκὼν δ' ἠσπάζετο σιγήν,
θυμὸν ὅλον τρέψας πηκτίδος ἀσχολίῃ.

Εἰς ἕτερον σάτυρον. Λεοντίου σχολαστικοῦ.

Τὸν σάτυρον Διόνυσος ἰδὼν πόθῳ ἄλγος ἔχοντα,
καί μιν ἐποικτείρας, θήκατο λαΐνεον.
ἀλλ' οὐδ' ὡς, ἀπέληξε βαρυτλήτων ὀδυνάων.
ἔτι γὰρ μογέει καὶ λίθος ὢν ὁ τάλας.

Εἰς ἕτερον σάτυρον.

Ἡ σάτυρος τὸν χαλκὸν ὑπέδραμεν, ἢ διὰ τέχνης
χαλκὸς ἀναγκασθεὶς, ἀμφεχύθη σατύρῳ.

Εἰς εἰκόνα σατύρου ἀπὸ ψηφίδος ἐν ἀντιο-
χείᾳ. Νείλου σχολαστικοῦ.

Πάντες μὲν σάτυροι φιλοκέρτομοι. εἰπὲ δὲ καὶ σύ,
τί πρὸς ἕκαστον ὁρῶν τόνδε γέλωτα χέεις;
θάμβος ἔχων, γελόω, πῶς ἐκ λίθου ἄλλοθεν ἄλλος
συμφορητὸς, γενόμην ἐξαπίνης σάτυρος.

Πλάτωνος εἰς ἕτερον σάτυρον.

Τὸν σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν.
ἢν νύξῃς, ἐγερεῖς. ἄργυρος ὕπνον ἔχει.

Ἀνύτης.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ,
αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρᾶν πέλαγος,
ὄφρα φίλον ναύτῃσι τελῇ πλόον. ἀμφὶ δὲ πόντος
δειμαίνει, λιπαρὸν δερκόμενος ξόανον.

Εἰς τὸ αὐτό.

Τίπτε μόθων ἄτλητος ἐνυαλίοιο λέλογχας
Κύπρι; τίς ὁ ψεύσας συγνὰ καθαψαμέναν
ἔντεα; σοὶ γὰρ ἔρωτες ἐφίμεροι, αἵ τε κατ' εὐνὰν
τέρψιες, καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι.
δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δίᾳ
ταῦτα. σὺ δ' εὐχαίταν εἰς ὑμέναιον ἴθι.

Εἰς τὸ αὐτό.

Δερκόμενος ξόανον καλὸν τόδε, τὰν ἀφροδίταν
ὦ 'νθρωφ' ἱλάσκευ, πλατίον ἑζόμενος.
αἴνει δὲ γλυφίδαν Διονυσίου. ἅ μ' ἀνέθηκε
πορφυρέας ἁπαλὸν κῦμα παρ' ἠϊόνος.

Εἰς τὸ αὐτό.

Ἐλθοιμεν ποτὶ ναόν. ἰδοίμεθα τᾶς ἀφροδίτας
τὸ βρέτας, ὡς χρυσῷ δαιδάλεον τελέθει.
εἵσατό μιν Πολίαρχις, ἐπαυραμένα μάλα πολλὰν
κτῆσιν ἀπ' οἰκείου σώματος ἀγλαΐας.

Εἰς τὸ αὐτό.

Στῶμεν ἁλιῤῥάντοιο παρὰ χθαμαλὰν χθόνα πόντου
δερκόμενοι τέμενος Κύπριδος εἰναλίας.
κράναν τ' αἰγείροισι κατάσκιον. ἃς ἀπὸ νᾶμα
ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

Εἰς ἔρωτα.

Ὁ πτανὸς τὸν πτανὸν ἰδών, ἄγνυσι κεραυνόν,
δεικνὺς ὡς κρεῖσσον πῦρ πυρός ἐστιν ἔρως.

Εἰς τὸν αὐτόν.

Πτανῷ πτανὸν ἔρωτα τὸν ἀντίον ἔπλασ' ἔρωτι
ἁ νέμεσις, τόξῳ τόξον ἀμυνομένα,
ὥς κε πάθῃ ταπερ ἔρεξεν. ὁ δὲ θρασύς, ὁ πρὶν ἀταρβὴς
δακρύει, πικρῶν γευσάμενος βελέων.
ἐν βαθὺ τρὶς κόλπον ἀπέπτυσεν, ἆ, μέγα θαῦμα,
φλέξει τὶς πυρὶ πῦρ; ἥψατ' ἔρωτος ἔρως.

Εἰς τὸν αὐτόν.

Κἀγὼ Κύπριδος αἷμα. κασιγνήτῳ δέ με μήτηρ
ἔνδυε τόξα φορεῖν ἀντία, καὶ πτέρυγας.

Εἰς ἄρτεμιν.

Ἄρτεμι, ποῦ σοι τόξα, παρ᾽ αὐχένι τε φαρέτρη,
 ποῦ δὲ λυκαστείων ἐνδρομὶς ἀμφυλίδων,
πόρπη τε χρυσοῖο τετυγμένη, ἠδὲ πρὸς ἄκρην
 ἰγνύην φοῖνιξ πέπλος ἑλισσόμενος;
κεῖνα μὲν εἰς ἄγρην ὁπλίζομαι. ἣν δὲ θυηλὰς
 ἐμ᾽ αὔτως, ἱρῶν ἀντομένη θυέων.

Εἰς τὴν αὐτήν.

Ἄρτεμις, ἡ Γόργοιο φύλαξ, κτεάνων τε, καὶ ἀγροῦ,
 τόξῳ μὲν κλῶπας βάλλε, σάου δὲ φίλους.
καὶ σοι ἐπιρρέξει Γόργος χιμάροιο νομαίου
 αἷμα, καὶ ὡραίους ἄρνας ἐπὶ προθύροις.

Ἀνύτης εἰς ἑρμῆν.

Ἑρμᾶς τᾷδ᾽ ἕστακα παρ᾽ ὄρχατον ἠνεμόεντα
 ἐν τριόδοις, πολιᾶς ἐγγύθεν ἀϊόνος,
ἀνδράσι κεκμηῶσιν ἔχων ἄμπαυσιν ὁδοῖο.
 ψυχρὸν δ᾽ ἀχραὲς κράνα ὑποΐαχει.

Εἰς τὸν αὐτόν.

Ἱρὸν ἑρμείῃ με παραστείχοντες ἔχουσιν
 ἄνθρωποι λίθινον σωρόν. ὁ δ᾽ ἀντ᾽ ὀλίγης
οὐ μεγάλην αὐτοῖς ἔγνω χάριν. ἀλλ᾽ ὅτι λοιπὰ
 αἰγὸς ἐπὶ κρήνην ἑπτὰ λέγει στάδια.

Εἰς τὸν αὐτόν.

Ὁδῖτα, μὴ πρόσερπε πρὸς τὰ κλήματα,
 μηδ᾽ αὖ τὰ μῆλα, μηδ᾽ ὅπη τὰ μέσπιλα.
 τὴν δὲ πρὸς τὴν σχοῖνον ἐξαμείβεο,
 ὡς μή τι θράξῃς τῶνδε, μηδ᾽ ἀχθεσθῇς.
 ἃ σὺν πόνῳ φυτουργὸς ἔκτηται Μίδων,
 ὃς κἀμὲ θῆκεν. ἢν δὲ μοῦ παρακλύῃς,
Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἐνθάδ᾽ ἐριδμαίνουσι τίνος πλέον ἔπλετο χῶρος
νύμφαι, νηϊάδων, νηρείδων, ἀδρυάδων.
πᾶσι δὲ θεμιστεύει μεσάτη χάρις. οὐδὲ δικάζειν
οἶδεν, ἐπεὶ ξυνὴν τέρψιν ὁ χῶρος ἔχει.

Ἀγαθίου σχολαστικοῦ εἰς τὸ αὐτό.

Εἶξον ἐμοὶ Δάφνης ἱερὸν κλέτας, ἔκτοθι πόντου
λειμῶνος. ἀγλαΐην κάλλος ἐδημοσιώσας.
ἐνθάδε γὰρ νύμφαι δενδρίτιδες, ἄστ᾽ ἐνὶ πόντῳ
νηρείδων, ξυνὴν θέντο συνηλυσίην.
ἀμφ᾽ ἐμὲ γὰρ μάρναντο. δίκασε δὲ κυανοχαίτης,
καί με παρ᾽ ἀμφοτέρας μέσσον ἔθηκεν ὅρον.

Εἰς κῆπον, ἔρωτα προσαγορευόμενον.

Οὐ μέγας οὐδ᾽ ὁ ἔρως, ἀλλ᾽ εὔχαρις. ὡς καὶ ἐγώ τοι
οὐ μέγας ἐν κήποις, ἀλλὰ γέμω χαρίτων.

Εἰς κῆπον παραθαλάσσιον, ἐν ᾧ ἦν καὶ λουτρὸν ἐν ἀντιοχείᾳ.

Τὰς τρεῖς μοι λεύσσεις χάριτας ξένε. ποντομέδων γὰρ
γείτονος ἐκ πόντου τὴν μίαν εἰργάσατο.
τὴν δ᾽ ἑτέρην, ἐτέλεσσε φυτῶν εὔκαρπος ἀλωή.
τὴν δ᾽ ὑπολειπομένην, τοῦτο τὸ λουτρὸν ἔχει.

χθονὸς ἕδραν, κῆπον παράλιον. νῶτα θαλάσσης. Homero. βυθόν. mare. προχοαῖς. fontibus. χεύματα νηρείδων. mare circūfluum. τίνος πλέον. quarū potissimū est hic locus. ἐριδμαίνουσι contendunt. εἶξον. ego castigandū existimo ξεῖνον ἐμοῦ. & κλίτας non κλέτας. κλιτὺς καὶ ἀκρώρεια. nec κλέτας oblitero. δενδρίτιδες. quæ arboribus præsunt. κυανοχαίτης. Neptunus. συνηλυσίην. conuentionē. pactum. γέμω. refertus sum. τὴν μίαν εἰργάσατο. hic hortus gratissimus est. primum quia eum mare ex omnibus partibus alluit, deinde pulcherrimos fructus producit, postremo quoniam balneū habet. ποντομέδων. Neptunus.

## ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ.

Εἰς ἄγαλμα Εὐνομίου τοῦ κιθαρῳδοῦ ἑστῶτος ἐν Δελφοῖς.

Εὔνομον ὦ πελλόν σὺ μὲν οἶσθά με πῶς ποτ᾽ ἐνίκων
σπάρτιν ὁ Λοκρὸς ἐγώ. πυθομένοις δ᾽ ἐρέω.
αἰόλον ἐν κιθάρᾳ νόμον ἔκρεκον· ἐν δὲ μεσεῦσι
ᾠδᾷ μοι, χορδὰν πλᾶκτρον ἀπεκρέμασεν.

καί μοι φθόγγον ἕτοιμον ὁπανίκα καιρὸς ἀπῄτει
εἰς ἀκοὰς ῥυθμοῦ τῶ τρεκὲς οὐκ ἔμελεν.
καί τις ἀπ' αὐτομάτω κιθάρας ἐπὶ πᾶχυν ἀναστὰς
τέττιξ, ἐπλήρου τῶ τρεκὲς ἁρμονίης.
νεῦρα γὰρ ἐξ ἐτίναχον. ὅθ' ἑβδομάτας δὲ μελοίμαν
χορδᾶς, τὰν τούτω γῆρυν ἐπιχράμεθα.
πρὸς γὰρ ἐμὰν μελέταν ὁ μεσαμβρινὸς οὔρεσιν ᾠδὸς
τῆνο τὸ ποιμενικὸν φθέγμα μεθαρμόσατο.
καὶ μὲν ὅκα φθέγγοιτο, σὺν ἀψύχοις τόκα νευραῖς,
τὰν μεταβαλλομένων συμμετέπιπτε θρόον.
τοῦνεκα συμφώνων μὲν ἐγὼ χάριν. ὃς δὲ τυπωθεὶς
χάλκεος, ἁμετέρας ἕζετ' ὑπὲρ κιθάρας.

Βιάνορος εἰς εἰκόνα Ἀρίονος
τοῦ κιθαρῳδοῦ.

Ἔστησε Περίανδρος Ἀρίονος εἰκόνα ταύτην,
καὶ τὸν ἀπολλυμένῳ σύνδρομα νηξάμενον
εἰνάλιον δελφῖνα. λέγει δ' ὁ ἐπ' Ἀρίονι μῦθος,
κτεινόμεθ' ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

Παύλου σιλεντιαρίου εἰς εἰκόνα κιθα-
ριστρίδος ἐν Βυζαντίῳ.

Σὸν μὲν κάλλος ἔδειξε μόλις γραφίς. αἴθε δὲ τοίχων
ἔσθενε καὶ λιγυρῶν ἡδὺ μέλος στομάτων,
ὡς κεν ἐπ' ὀφθαλμοῖσι, καὶ οὔασιν, ἔκ τε προσώπου
ἔκ τε λυροκτυπίης, ἶσον ἐθελγόμεθα.

Εἰς εἰκόνα Μαρίας τῆς κιθαρῳ-
δοῦ. Τοῦ αὐτοῦ.

Πλῆκτρον ἔχει φόρμιγγος. ἔχει καὶ πλῆκτρον ἔρωτος.
κρούει δ' ἀμφοτέροις καὶ φρένα, καὶ κιθάρην.
τλήμονες, οἷσιν ἄγναμπτον ἔχει νόον. ᾧ δ' ἐπινεύσει
ἄλλος ὅδ' Ἀγχίσης, ἄλλος Ἄδωνις ὅδε.
εἰ δ' ἐθέλεις ὦ ξεῖνε καὶ ἀμφιβόητον ἀκοῦσαι
οὔνομα, καὶ πάτρην, ἐκ Φαρίας, Μαρίη.

ὦ Πολλον. ὁ Apollo. ἐνίκων. uici. σπάρθιν. lego πάρθιν. ὁ Λοκρὸς ἐγώ. Lucianus. συνᾴδουσιν Εὔνομός τε ὁ Λοκρὸς, καὶ ἀείω. ἐρέω. dicam. ἐν δὲ μεσούσᾳ ᾠδᾷ. in medio cantu. ἀπεκρέμασεν. suspendit. fregit. καὶ ὁπανίκα καιρὸς ἀπῄτει. postulabat. φθόγγον ἕτοιμον. sonum paratum & expeditum. εἰς ἀκοάς. auribus. ῥυθμοῦ. citharæ. τῶ τρεκές. τὸ ἀτρεκές, fracto neruo. ἀπ' αὐτομάτω. casu. κιθάρας ἐπὶ πᾶχυν. Strab. libro sexto. ἐδείκνυτο δ' ἀνδριὰς ἐν τοῖς Λοκροῖς Εὐνόμου τοῦ κιθαρῳδοῦ, τέττιγα ἐπὶ τὴν κιθάραν καθήμενον ἔχων &c. νικῆσαι μὲν τοι τὸν Εὔνομον καὶ ἀνατεθῆναι τὴν λεχθεῖσαν εἰκόνα ἐν τῇ πατρίδι. ἐπεὶ κατὰ τὸν ἀγῶνα, μιᾶς τῶν χορδῶν ῥαγείσης, ἐπιστὰς τέττιξ ἐκπληρώσειε τὸν φθόγγον. Iulianus in epistolis. καὶ κιθαρῳδῷ (Eunomo) τὸν ὄρθιον ᾄδοντι πρὸς τὸ ἐλλεῖπον τῆς χορδῆς, ὑπὸ τοῦ τέττιγι, τὸ ἴσον ὁ πύθιος ἀντεφθέγξατο. τὰν τούτω. legendum καὶ τούτῳ. καὶ ἐν τούτῳ. tum. ἑβδομάτας. Netes si septem neruos habet cithara. paranetes si 8. trites. si 9. quam cũ percutere deberem, cicadæ uoce, eius uice utebar. ἐμὰν μελέταν. meditatam cantionem. μεσαμβρινὸς ᾠδός. meridianus cantor. τέττιξ. τῆνο. illud. φθέγμα. sonum suum. ὅκα.

quando

quando. τόκα. tunc. νεύραις. citharæ chordis. συμμετέπιπτε. concordabat. ἔγω χάριν. repono. τἄνικα νῦν σύμφωνον ἔχω uel ἔγνων χάριν. gratiam habeo. Anyte. οὐ μεγάλην αὐτοῖς ἔγνων χάριν. Dion. ἀλλ' οὖν καὶ ὥς τοῖς στρατιώταις τά τε χρήματα ἔδωκε, καὶ χάριν καὶ πλείστην καὶ ἀληθεστάτην ἔγνω. ὃς δέ. uel. ὥστε. itaque. τυπωθείς. formatus. περίανδρος. rex Corinthi. ὀλλυμένῳ. Arioni pereunti. ἀνθρώποις. Piratis. quod ad homines pertinet. ἰχθύσι. Delphino. αἴθε. utinam. φρένα. hominum. ἄγναμπτον. quibus durior est. ἄλλος ἀγχίσης. nam ab altera Venere amabitur. in eum sensum ἄλλος ἄδωνις prolatum est. ἀμφιβόητον. celebre.

## ΕΙΣ ΚΙΟΝΑΣ.

Εἰς τὸν ἐν τῷ ἱπποδρόμῳ τετρα-
πλευρον κίονα.

Κίονα τετράπλευρον, ἀεὶ χθονὶ κείμενον ἄχθος,
μοῦνος ἀναστῆσαι Θευδόσιος βασιλεὺς
τολμήσας, πρόκλῳ ἐπεκέκλετο. καὶ τόσος ἔστη
κίων, ἠελίοις ἐν τριάκοντα δύο.

Εἰς τὰς ἐν μέμφει πυραμίδας.

Ὄσσαν ἐπ' οὐλύμπῳ, καὶ πήλιον ὕψι τεθέντα,
ψευδὴς ἰσοεργὴς ῥῆσις ἀνεπλάσατο.
πυραμίδων δ' ἔτι νῦν, νειλωΐδων, ἄκρα μέτωπα,
κύρουσι χρυσέοις ἄστρασι πληϊάδων.

πρόκλῳ. Proclo Architecto. καὶ τόσος. tam inauditæ magnitudinis & ponderis. ἔστη. erectus est. ἠελίοις. diebus 32. ὄσσαν ἐπ' οὐλύμπῳ. Homerus Odyss. λ. de Oto & Ephialte gigantibus loquens. ὄσσαν ἐπ' οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' ὄσσῃ πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη. hūc passim secuta est uatum turba. ὄσσαν. hanc de ossa fabulam. ὕψι τεθέντα. altum. ἀνεπλάσατο. commenta est. πυραμίδων. Pyramides Niliacæ & Aegyptiæ. κύρουσι. aureas pleiadum stellas pertingunt.

## ΕΙΣ ΛΙΘΟΥΣ.

Εἰς λίθον ἀχάτην.

Ὁρᾷς τὸ κάλλος ὅσον ἐστὶ τῆς λίθου
ἐν ταῖς ἀτάκτοις τῶν φλεβῶν εὐταξίαις;

Εἰς κρύσταλλον ἐν τῇ ὕδωρ ἔχου-
σαν. Κλαυδιανοῦ.

Χιονέη κρύσταλλος ὑπ' ἀνδρὸς ἀσκηθεῖσα,
δεῖξεν ἀκηρασίοιο παναίολον εἰκόνα κόσμου,
οὐρανὸν ἀγκὰς ἔχοντα βαρύκτυπον ἔνδοθι πόντον.

Εἰς τὸ αὐτό, τοῦ αὐτοῦ.

Εἶπ' ἄγε μοι κρύσταλλε, λίθῳ πεπυκασμένον ὕδωρ,
τίς πῆξεν; Βορέης. ἢ τίς ἔλυσε; νότος.

Εἰς κρύσταλλον γεγλυμμένην.
Διοδώρου.

Ζεύξιδος ἡ χροιή τε, καὶ ἡ χάρις. ἐν δέ με μικρῷ
κρυστάλλῳ, τὸ καλὸν δαίδαλον ἀρσινόης

γράψας τοῦτ' ἐπόρευ Σατυρήιος. εἰμὶ δ' ἀνάσσης
εἰκὼν, καὶ μεγάλης λείπομαι οὐδ' ὀλίγον.

Εἰς ἕτερον. Πολέμωνος βασιλέως.

Ἑπτὰ βοῶν σφραγῖδα βραχὺς λίθος εἶχεν ἴασπις,
ὡς μίαν, ὡς πάσας ἔμπνοα δερκομένας.
καὶ τάχα κἂν ἀπόρεψε τὰ βοΐδια. νῦν δὲ κεκλεῖσαι
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

Ὅμοιον Πλάτωνος.

Εἰκόνα πέντε βοῶν μικρὴ λίθος εἶχεν ἴασπις,
ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας.
καὶ τάχα κἂν ἀπέφευγε τὰ βοΐδια. νῦν δὲ κρατεῖται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

Ὅμοιον εἰς δακτύλιον.
Ἀρχίου.

Τὰς βοῦς, καὶ τὸν ἴασπιν ἰδὼν περὶ χειρὶ, δοκήσεις
τὰς μὲν, ἀναπνείειν, τὸν δὲ, χλοηκομέειν.

Εἰς Διόνυσον γεγλυμμένον ἐν ἀμεθύστῳ.
Πλάτωνος νεωτέρου.

Ἁ λίθος ἔστ' ἀμέθυστος. ἐγὼ δ' ὁ πότας Διόνυσος.
ἢ πειθέτω νήφειν, ἢ μαθέτω μεθύειν.

Ἀσκληπιάδου εἰς τὸ αὐτό.

Εἰμὶ μέθη τὸ γλύμμα σοφῆς χερὸς, ἐν δ' ἀμεθύστῳ
γέγλυμμαι. τέχνης δ' ἡ λίθος ἀλλοτρίη.
ἀλλὰ Κλεοπάτρης ἱερὸν κτέαρ. ἐν γὰρ ἀνάσσης
χειρὶ, θεὸν νήφειν καὶ μεθύουσαν ἔδει.

Εἰς ἔρωτα γεγλυμμένον ἐν ὑακίνθῳ.
Οἰνομάου.

Ἐν ὑακίνθῳ τὸν ἔρωτα. τίνος χάριν; ἆρά γε τὸν οἶνον
αἴθεσθαι κραδίην. μὴ πυρὶ πῦρ ἔπαγε.

Εἰς τὸν ἐν μεγάροις κιθαρεί-
σιον λίθον.

Τόν με λίθον μέμνησο τὸν ἠχήεντα παρέρπων,
Νισαίην ὅτε γὰρ τύρσιν ἐτειχοδόμει
Ἀλκάθοος, τότε Φοῖβος ἐπωμάδιον φέρε δμαῖον
λᾶαν, Λυκωρείην ἐνθέμενος κιθάρην.
ἔνθεν ἐγὼ λυραοιδός. ὑποκρούσας δέ με λεπτῇ
χερμάδι, τοῦ κόμπου μαρτυρίην κόμισαι.

Πλάτωνος.

Εἷς λίθος. ἅρμ' ἐλατὴρ, ἵπποι, ζυγὸν, ἡνία, μάστιξ.

Τοῦ αὐτοῦ.

Ἁ σφραγὶς, ὑάκινθος. Ἀπόλλων δ' ἐστὶν ἐν αὐτῇ,
καὶ Δάφνη. ποτέρου μᾶλλον ὁ Λητοΐδας.

ἐστί

ἐκτάκτοις εὐταξίαις. eius generis sunt χαλεὶς ἄχροις. κόσμος ἀκόσμος. φλεβῶν. uenarum. lapillum uero hunc ἀκοίτωνα aut ἄκοιτον appellat non feculentum, nulla substrata nubecula interpollatum sed translucentem. sic Plinius libro 11. cap. 16. mel acœton uocat sine retrimento sedimentoue. οὐρανός. est & Theologis Crystallinum cœlum priscis philosophis ignotum. ἀγκὰς ἔχοντα. placet ἔχουσα. Βορέας. Nam Crystallus glacies est quæ multo frigore induruit. νότος. quo flante liquescunt etiam niues. Ζεύξιδος. uidetur ab antiquo illo Zeuxide picta hæc imago non scalpta. χέρες. hæc est. ἀρσινόη. Hæc fortasse est Arsinoe Ptolemæi soror, quam contra Græcorum leges teste Herodiano libro primo uxorem duxit. μακεδόσιν οὐδαμῶς ποιῶν νομιζόμενα, ait Pausanias in Atticis, quorum in sententiam discedit Plutarchus, Sotadem in uincula coniectum perhibens, quod is cum regem ὡς οὐχ ὁσίην τρυμαλίαν κέντρον ὠθῶν effutiuisset. Diodorus lib. primo. legem quoque Aegyptij præter communem omnium morem sanxere, fas esse sororem à fratre uxorē capi. Euripides in Andromacha. τοιοῦτον πᾶν τὸ βάρβαρον γένος. παῖς μητρὶ μίγνυται κόρη δ' ἀδελφῷ. Aristophanes in Nebul. ἀδελφὸς ὦ λεξίκακε τὴν ὁμομητρίαν ἀδελφήν. Plato Politic. ε. φήσομεν που ἐλευθέρους αὐτοὺς συγγίνεσθαι ᾗ ἂν ἐθέλωσι, πλὴν θυγατρὶ καὶ μητρί. eadem νόμων η. utrius ingenium magis admirer non facile dixerim, Theocriti ne qui Idyllio 17. Ptolemæi incestum laudare potuerit, an Aemilij Probi Cimoni turpe non fuisse commemorantis sororem germanam habere in matrimonio, quippe cum ciues eius eodem uterentur instituto, quod etiam à Plutarcho prolatum non recte censet Lodouicus Cælius. Quod ad Cimonem attinet mihi dubium non est, quorundam fuisse sermonem ipsi sororem Helpinicen nupsisse, id uero Atheniensium Græcorúmue legibus concessum negant superiores, sed imprimis idem Plutarchus in Artaxerxe, Artemidorus libro Onirocrit. quinto. Didymus. πεντήκοντα δὲ τάλαντα ἐπράξαντο οὐχ ὅτι ἐλακώνιζεν, ἀλλ' ὅτι ἐν πυκνὶ τῇ ἀδελφῇ συνῆν. & Tzetzes. ὁ κίμων οὗτος ἀδελφὴν ἰδίαν ἐλπινίκην εἶχεν, ὡς πτολεμαῖος μὲν ὕστερον βερενίκην, καλλίας δὲ πεντήκοντα τάλαντα ζημιοῦται ὅπως ὁ κίμων ὁ πατὴρ μηδὲν δεινόν τι πάθῃ ἕνεκα γάμων τῶν αἰσχρῶν τῆς ἀδελφομιξίας, qui Aemilio Probo, & Alexandro Neapolitano iure contradicunt. nec scio an uerum sit quod ait Aristophanis interpres. παρὰ ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ πατέρων ἀδελφάς. fuit autem is de quo agimus Cimon Miltiadis filius, ne quis ex Suida hæsitet. γράψας. ego γλύψας, aut γράψας ἀντὶ τοῦ γλύψας non enim eam scalpsisse uidetur sed pinxisse. ὅπερ τὸ δαίδαλον. hanc imaginem. καὶ μεγάλης. καὶ τοῦ μεγάλου βασιλέως. regis Persarum. aut, ac si hæc imago maior esset nec Crystallo inclusa. ἐπὶ βοῶν. de Callicratis & Myrmecidis operibus consule Plinium. Aelianus. ταῦτα ἄρα ἐστὶ τὰ θαυμαζόμενα μυρμηκίδου τοῦ μιλησίου (μυρμηκιάδου τοῦ ἀθηναίου Galeno, sed μυρμηκίδου repono) καὶ καλλικράτους τοῦ λακεδαιμονίου, τὰ μικρὰ ἔργα. τέθριππα μὲν ἐποίησαν ὑπὸ μυίας καλυπτόμενα, καὶ ἐν σησάμῳ δίστιχον ἐλεγεῖον χρυσοῖς γράμμασιν ἐπέγραψαν. ὡς μίαν. tanquam unam. ἔμπνοα δορκομένας. uitas. ἀποδρέψε. effugissent, abijssent. χλοηκομέων. herbam uirentem producere. uiret enim Iaspis ac translucet. νήφων. Bacchus. μεθύων. Amethystus. μέθη τὸ γλύμμα. ebrietas insculpta. γᾶ δ' ἐμέθυσε. Causam nominis afferunt quod usque ad uini colorem accedens prius quam eum degustet in uiolam desinit: alteram ab Acrone atque magis scio adduci, cui fere hic cōsentit Asclepiades. nam Amethystum clausam poculis ebrietati resistere credunt, quos Plutarchus symposio. γ. segmento α. reprehendit. τέχνης. ab artifice madido scalptum non est tam

consum

consummatum opus. θεόφ. μέθυ. ebrietatem. ἐν κανκίῳ. uase potorio. ἐν κύαθῳ. τὸν ἔρωτα. celatum uides. ἀρκετὸν. satis sit. μὴ πῦρ πυρί. ne uino amorem, hoc est igni ignem. λίθον ἠχήεντα. Megaris saxum ad ictum pulsus cuiuscunque fidicinat. hæc Capellæ uerba, Ouidium Metamorph. octauo: Regia turris erat uocalibus addita muris, in quibus auratam proles saturnia fertur deposuisse lyram, saxo sonus eius adhæsit: Virgilium in Cyri: sæpe lapis recrepat: atque hoc epigramma exprimit in Atticis Pausanias circa finem. νισαίην. Megara, Ptolemæus. νισαία ἡ καὶ μέγαρα καλουμένη. Megarenses Nisæos dictos à Nisæa quæ est eorum portus autumat Theocriti expositor. νίσου δὲ λόφος μέγαρα sunt Pindaro, à Niso Megarensium rege. Pausanias. τὸ ἐπίνειον καλούμενον καὶ ἐς ἡμᾶς ἔτι νισαία. mox. καὶ ἀκρόπολίς ἐστιν ἐνταῦθα ὀνομαζομένη καὶ αὐτὴ νισαία. ἦν δὲ (ait Thucydides) σταδίων μάλιστα ὀκτὼ, ἀπὸ τῆς πόλεως ἐπὶ τὴν νισαίαν τὸν λιμένα αὐτῶν. Strabo libro nono. ἡ δὲ νισαία ἐστὶν ἐπίνειον τῶν μεγαρέων δέκα καὶ ὀκτὼ σταδίους τῆς πόλεως διέχων. nos ex Plutarchi quoque Phocione illud δέκα καὶ non probamus. uide Suidam & Stephanum in dictione νισαία. Plutarchus in libello περὶ μοναρχίας καὶ δημοκρατίας καὶ ὀλιγαρχίας, refert Megarenses Alexandrum sua ciuitate donasse. Senecam igitur castiga libro de benef. primo, & Corinthij litura delens, Megarenses restitue. apud eundem Senecam libro de beneficijs tertio, excepta Macedonum gente, tutius Persarum leges, ex Xenophontis primo Cyripediæ: δικάζονται δὲ (Persæ) οὐχ ἥκιστα ἀχαριστίας: Themistij commentario de Amicitia: ὁ περσικὸς νόμος δίκας εἰσπράττεται ἀχαριστίας: & Tzetze: νόμος κοινός τις περσικός ἐστι, κατ' ἀχαρίστων τοὺς δυναμένους εὐεργετοῦντας χάριν ἀποδιδόναι, καὶ μὴ διδόντας, ἰσχυρῶς εὐθύνων, καὶ κολάζων. Nam quod ait Luciani abdicatus, καὶ μὴν οἶγε νόμοι καὶ ἀχαριστίας δικάζεσθαι διδόασι, & Valerius Maximus Athenis aduersus ingratos actionem constitutam, id parentibus aduersus ingratos filios concessum intelligo, Xenophontis autoritate nitens cuius uerba hæc sunt ἀπομνημονευμ. β. οὐκ οἶσθα ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας. ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ τούτῳ δίκην τε ἐπιτίθησι καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον. τύρσιν. murum. δομαῖον. δομὴ. οἰκοδομὴ & ædificium est. λυκωρέην. Delphicam. Apollineam. λυρασιδός. λίθος κιθαρῳδὸς. ἀποκρούσας. tu uero si me lapide percusseris. εἷς λίθος, unus hæc omnia continet lapis. ὑάκινθος. Hyacinthus lapis. ποθέων. Hyacinthi pueri & Daphnes amore arsisse Apollinem neminem latet. nunc iocatur in uoce ὑάκινθος.

ΕΙΣ ΛΟΥΤΡΟΝ.

Ἠν ποτ' ἄρος φιλέουσα καὶ ἀμφοτέρως, σκοπίαζε Κυθήρην,
ἐνθάδε λουομένην νάμασι φαιδροτάτοις.
δέρκεο νηχομένην. μὴ δ' ἄλγει. οὐ γὰρ ἀθήνην
ἀθρήσας, αἰδοίας, οἷά τε Τειρεσίας.

Εἰς τὸ αὐτό.

Αἱ χάριτες λούσαντο. ἀμειψάμεναι δὲ λοετρὸν,
δῶκαν ἑῶν ῥεέθρων ὕδασιν ἀγλαΐην.

Εἰς τὸ αὐτό.

Ἡ ποίου κυθέρειαν ὕδωρ τέκεν, ἢ κυθέρεια
ποῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λυσαμένη.

Εἰς

Εἰς τὸ αὐτό.

Τᾶν χαρίτων τόδε λουτρὸν ἀθύρματα. καὶ γὰρ ἐκείνας,
μόνας ἐς τὸ παίσδειν τὰς χάριτας δέχεται.

Εἰς τὸ αὐτό.

Οὕτως δὴ χαρίτων λουτρὸν τόδε. οὐδὲ γὰρ ἄλλους
πλείους χωρῆσαι τῶν τριῶν δύναται.

Εἰς τὸ αὐτό.

Μικρὰ μὲν ἔργα τάδ' ἐστίν. ἔχει δ' ἡδεῖαν ὀπωπὴν,
ὡς ῥόδον ἐν κήποις, ὡς ἴον ἐν ταλάροις.

Εἰς τὸ αὐτό.

Ἐν μικρῷ μεγάλη λουτρῷ χάρις. ἐν δ' ἐλαχίστῳ
νάματι λουομένοις, ἡδὺς ἔπεστιν ἔρως.

Εἰς τὸ αὐτό.

Ὡς δένδρον βραχύφυλλον, ἔχει δ' ἡδεῖαν ὀπωπὴν
οὕτως λουτρὰ τάδε σμικρὰ μὲν, ἀλλὰ φίλα.

Εἰς τὸ λουτρὸν Μαρίας.

Τῆς Μαρίης τὸ λοετρὸν ἰδὼν ὑπεδάκρυε μῶμος,
εἰπὼν, ὡς Μαρίην, καὶ σὲ παρερχόμεθα.

Εἰς λουτρὸν μικρὸν παρακείμενον τῷ τοῦ
Ζευξίππου. Λεοντίου σχολαστικοῦ.

Μὴ νεμέσα Ζεύξιππε παραντέλλοντι λοετρῷ.
καὶ μεγάλην παρ' ἄμαξαν βρωτύλος ἡδὺ φαείνει.

Εἰς ἕτερον ἐν σμύρνῃ.

Ἐνθάδε λουσαμένων χαρίτων ποτὲ, βέοσαλα πέπλα
βαιὸς ἔρως ἔκλεψε, καὶ ᾤχετο. τὰς δ' ἔλιπ' αὐτοῦ
γυμνὰς αἰδομένας θυρέων ἔκτοσθε φανῆναι.

Εἰς βαλανεῖον ψυχρόν.

Τὸν ποταμὸν βαλανεῦ τίς ἐτείχισε; τίς βαλανεῖον
τὴν κρύην ψευδῶς τήνδε μετωνόμασεν;
Αἴολος ἱπποτάδης φίλος ἀθανάτοισι θεοῖσιν
ἐνθάδε μετοικήσας, ἤγαγε τοὺς ἀνέμους.
πῶς τι δὲ καὶ σανίδων δύο τοῖς ποσὶν αἰδ' ὑπόκεινται;
οὐ διὰ τὴν θέρμην, ἀλλὰ χιόνος δ' ἕνεκα.
φρίξον, καὶ νάρκης οὗτος τόπος. ἀλλ' ἐπίγραψον,
τοῦ μηδενὶ λοῦσαι. πνεῖ γὰρ ἔσω Βορέας.

Εἰς ἕτερον ἐν Βυζαντίῳ.

Λωτὸν ἐρεπτομένους, πατέρων οὐ ψεύδεται μῦθος.
πίστιν ἀληθείας τοῦτο τὸ λουτρὸν ἔχει.
εἰ γὰρ ἅπαξ καθαροῖσι λοέσσεται ὕδασιν ἀνὴρ,
οὐ ποθέει πάτρην, οὐκ ἐθέλει γενέτας.

Εἰς ἕτερον ἐν Βυζαντίῳ ἔχον ἀφροδίτην
λουομένην. Ἀγαθίου σχολαστικοῦ.

Νῦν ἔγνων Κυθέρεια πόθων νικῶσα ἀγῶνα,
τὴν πρὶν ἀλεξάνδρου ψῆφον ὑφαρπαμένη.

ἐνθάδε γὰρ τέγγουσα τεὸν δέμας, εὗρεν ἐλέγξαι
 ἥρην, ἰναχίοις χεύμασι λουσαμένην.
νίκησεν τὸ λοετρόν. ἔοικε δὲ τοῦτο βοᾶσαι
 Παλλάς, ἐνικήθην ὕδασιν, οὐ Πάριν.

Εἰς ἕτερον δίδυμον, ἐν ᾧ λούονται γυναῖκες, καὶ ἄνδρες, Παύλου σιλεντιαρίου.

Ἀγχι μὲν ἐλπὶς ἔρωτος. ἑλεῖν δ' οὐκ ἔστι γυναῖκας.
 εἴργει πυλὶς Παφίην τὴν μεγάλην, ὀλίγη.
ἀλλ' ἔμπης, γλυκὺ τοῦτο. ποθοβλήτοις γὰρ ἐπ' ἔργοις
 ἐλπὶς ἀληθείης ἐστὶ μελιχροτέρη.

Εἰς ἕτερον. Ἀδεσπότου.

Ὅσσαις θηλυτέραις ἐστὶν πόθος, ἐστὶ δὲ πάσαις,
 δεῦρ' ἴτε φαιδροτέρης τευξόμεναι χάριτος.
ἡ μὲν ἔχουσα πόσιν, τέρψαι πόσιν. ἡ δ' ἔτι κούρη,
 ὄφρα κε πλείσους ἕδνα πορεῖν λεχέων.
ἡ δὲ φέρουσα πόρους ἀπὸ σώματος, ἐσμὸν ἐραστῶν
 ἕξει ἐπὶ προθύροις, ἐνθάδε λουσαμένη.

Εἰς τὸ αὐτό.

Εἴτε σε κουριδίης ἀλόχου γλυκὺς ἵμερος ἴσχει,
 λοῦσο, φαιδρότερος τῇδε φανησόμενος.
εἴτε σε μισθοφόρους ἐπὶ μαχλάδας οἶστρος ὀρίνει,
 λήψῃ, καὶ δώσεις, ἐνθάδε λουσάμενος.

Κύρου ποιητοῦ εἰς ἕτερον.

Κύπρις σὺν χαρίτεσσι, τῷδ' ἐνὶ χρυσοθελέμνῳ,
 ἐνθάδε λουσαμένη, μισθὸν ἔδωκε χάριν.

Εἰς ἕτερον παρακείμενον τῷ δημοσίῳ ἐν Βυζαντίῳ. Λεοντίου σχολαστικοῦ.

Δείματό με ξυνοῖο παρὰ προθύροισι λοετροῦ
 ἀστὸς ἀνήρ, ἀρετῆς οὕνεκεν, οὐκ ἔριδος.
κεῖνο μέλοι πλεόνεσσιν. ἐγὼ δ' ὀλίγοις τε, φίλοις τε,
 ἐντύνω προχοάς, καὶ μύρα, καὶ χάριτας.

Μακεδονίου ὑπάτου εἰς ἕτερον ἐν Λυκίᾳ.

Πιστότατος μερόπων τις ἔοι πυλαωρὸς ἐμοῖο,
 κρίνων λουομένων καιρὸν ἐπηλυσίης.
μή τινα νηϊάδων τις ἐμοῖς ἐπὶ χεύμασι γυμνὴν,
 ἢ μετὰ καλλικόμων Κύπριν ἴδῃ χαρίτων,
οὐκ ἐθέλων. χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
 τίς γὰρ ὁμηρείοις ἀντιφέροιτο λόγοις;

Μαριανοῦ σχολαστικοῦ εἰς ἕτερον ὀνομαζόμενον ἔρωτα.

Μητέρα Κύπριν ἔλουσεν ἔρως ποτὲ τῷδε λοετρῷ,
 αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ.
ἱδρῶς δ' ἀμβροσίου χυθεὶς χροὸς, ἄμμιγα λευκοῖς
 ὕδασι, φεῦ πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ.
ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμὴν,
 ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

Ἰωάννου γραμματικοῦ εἰς ἕτερον ἔχον Πίνδαρον.
Αἴθε σε Πίνδαρε μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις.
καὶ γὰρ ἄριστον ὕδωρ τὸ μὸν ἔφησθα μόνον.
Δαμοχάρειδος γραμματικοῦ εἰς ἕτερον.
Ἥρα, καὶ Παφίη, καὶ Παλλάδι ἦεν τὸ λουτρόν,
ὡς ποτε τὸ χρυσοῦν ἤρεσε μῆλον ἔχειν.
καὶ τάχα τῆς μορφῆς κρίσις ἔσεται οὐ Πάρις αὐταῖς.
εἰκὼν δ' ἀργυρέοις νάμασι δεικνυμένη.
Εἰς αὐτό.
Ὤμοσαν αἱ χάριτες φθιμαυγέα κοίρανον αἴγλης
ἐνθάδε ναιετάειν, ἢ παρὰ τῇ Παφίῃ.
Εἰς τὸ αὐτό.
Τοῦτο ἰδὼν τὸ λοετρὸν ὁ πάνσοφος εἶπεν Ὅμηρος,
νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.
Εἰς τὸ αὐτό.
Αἱ τρεῖς ὀρχούμεναι χάριτες τὸ λοετρὸν ἔτευξαν.
οὕνεκα χωρῆσαι τέσσαρας οὐ δύναται.
Εἰς τὸ αὐτό.
Ἐνθάδε λουσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις
δέξεν ἀλεξάνδρῳ, καὶ ἄεθλιον ἥρπασε μῆλον.
Εἰς τὸ αὐτό.
Κύπρις, ἔρως, χάριτες, νύμφαι, Διόνυσος, ἀπόλλων
ὤμοσαν ἀλλήλοις ἐνθάδε ναιετάειν.
Εἰς τὸ αὐτό.
Ἀθάνατοι λέγονται, ἀνοιγομένου βαλανείου.
ἔμπης δ' ἡμίθεοι. μετέπειτα δέ, ἤματα πάντα.
Εἰς ἕτερον λουτρὸν μικρόν.
Μὴ νεμέσα βαιοῖσι. χάρις βαιοῖσιν ὀπηδεῖ.
βαιὸς καὶ Παφίης ἔπλετο κοῦρος ἔρως.
Λεοντίου σχολαστικοῦ εἰς τὰ θερμὰ τὰ Βασιλικά.
Θερμὰ τάδ' ἀρχαίως Βασιλήϊα. τίω δὲ γὰρ αὖθις
οἱ πρὶν ἀγασσάμενοι θῆκαν ἐπωνυμίην.
οὐ γὰρ ἀπὸ βροτέου πυρὶ θάλπεται ἀγλαὸν ὕδωρ,
αὐτομάτη δὲ λιβὰς τίκτεται αἰθομένη,
οὐδὲ ῥόου ψυχροῦ ποτιδεύεται ἀμφὶ λοετρά,
ἀλλ' οἷον ποθέεις, τοῖον ὑπεκφέρεται.
Εἰς τὰ θερμὰ τὰ ἀγαμεμνόνεια ἐν σμύρνῃ.
Ἀγαθίου σχολαστικοῦ.
Χῶρος ἐγὼ Δαναοῖς μεμελημένος, ἔνθα μολόντων
τῶν παλαιράγης ἐξελάθοντο τέχνης.
ἕλκεα γὰρ μετὰ δῆριν, ἐμοῖς ἀκέσαντο ῥεέθροις,
βαρβαρικῆς λόγχης ἰὸν ἀπωσάμενοι.
νῦν ἀεξήθην ὀροφηφόρος, ἀντὶ δὲ τιμῆς
τὴν Ἀγαμεμνονέην εὗρον ἐπωνυμίην.
Εἰς ἕτερα θερμά. Ἀδήλου.
Χθὼν μυχίη γυάλων κοιλώμασιν ἄγριον πῦρ
εὖτ' ἂν ἔχῃ, φλοξὶν δὲ πεδίζεται κρυφίοισιν
ἀτμὸς ἄνω βαίνων εἰς αἰθέρα θερμός, ἔνερθεν
θλιβόμενος, πνευμαθὲς ἀλπὲς βλύζεται ἰκμάσιν ὕδωρ.

Ἄδηλον.

Χρήμασι τοῖς ἀγάθων τις ἐδείματο τῆδε λοετρὸν
δῆμος ὁ δ' ἐν τεχνῆς, θαῦμα καὶ ἐσσομένοις.

Εἰς λουτρὸν ἐν πραινέτῳ.

Οὐ βαλανεῖον ἔην τὸ πάροιθε τὸ νῦν βαλανεῖον,
ἀλλὰ τόπος σκυβάλων, χῶρος ἀφηκέσιος.
νῦν δὲ τὰ τερπνὰ τὰ πᾶσι βοώμενα, καὶ χαρίεντα
ἀγλαΐης προφέρει. καὶ γὰρ ἀλεξάνορος
νικαέων ἱερεύς, σοφίης ὀβρικυδὴς ἀστὴρ,
τεῦξε μὲν οἰκείοις χρήμασι, καὶ δαπάναις.

οὐ γὰρ ἀθλίων. nihil eſt periculi, te Venus nõ excæcabit. οἷα τῆ παλλάδος. Callimachus εἰς λουτρὰ τῆς παλλάδος. δαῖκαν. pro precio. ἑῶν. ſuorũ. ἦ θεῖον, ſiquidẽ ex aqua genita eſt Venus. μόνας. tres tantũ. ἔργα. balneũ hoc. ὃ σὲ. λουτρόν. ζεύξιππε. Procopius. τὸ τε βαλανεῖον, ὁ ζεύξιππος, ὅτι τε μεγάλαι στοαί, τούτων δὴ ἔργα τοῦ βασιλέως τυγχάνει ὄντα. Socrates in Eccleſ. hiſt. proceſſit ad Thermas uocabulo Zeuxippi. ἐρωτύλος. puer, infantulus, uox eſt ab ἔρω ὃ τύλον. pudendũ, cõpoſita. amatorculus. πέπλα. ueſtes. αὐτοῦ. hic. θυρέων ἐκέδεθε. ita effectũ eſt ut hic permanerẽt. τὸ ποταμόν. hanc frigidiſſimã aquã. ἐτείχισε. muro cinxit. αἰόλος ἱπποτάδης. Homeri uerſus Odyſſ. κ. Aſtrologũ fuiſſe cẽſet Palæphatus. Heraclidæ annus uidet. ἡγαγετῶν ἀνέμων. ex Aeolijs inſulis ſic dictis quod Aeolus iliacis tẽporib. iſtic regnaret. Tzetzes. ὃ αἰολίδες νῆσοι τῆς φρυγίας ὧν ἦρχεν αἰόλος ὁ ἱππότης ὁ μαθηματικὸς ὃ ναυτικώτατος. ὃν καὶ δεσπότην ἀνέμων ἐμυθεύσαντο. lege Diodorũ lib. 6. Plin. 3. cap. 10. Solinũ 12. & Strab. lib. 1. & 6. qui Dionyſij aliorũq; poetarũ figmẽta aperiũt. τὸ χιόνος. frigidiſſimæ aquæ. φρίξω ὃ νάρκης. in quo qui lauãt frigore horrẽt torpẽtq;. φρίξω ἀντὶ τοῦ φρίκης. alludit interim fortaſſis ad νάρκην torpedinẽ piſcẽ: ad Phrixi certe fabulã qui Helleſpontũ trãsfretatus eſt manifeſte apparet, quo omniue alio mari balneũ iſtud frigidius eſſe iocolariter ſcribit. adde νάρκην pro frigore aliquãdo uſurpari. fuit aũt in balneis Tepidariũ, calidariũ Laconicũ ſeu hypocauſtũ & frigidariũ, uel cella frigidaria, in qua pſicholutrę corpora durarẽt. τοῦ μεσορί. mẽſe Auguſto Aegyptijs. à Meſore Theuth fratre. ἔσω. in balneis. οὐ ψεύδεται μῦθος. Vlyſſis cõmilitones Odyſſ. 9. deguſtato loti fructu, Quintiliano, guſtu cuiuſdã graminis deliniti ad naues redire ęgre ferũt. de loto habes apud Herodot. Theophra. Strab. Athen. Plin. Dioſc. incolarũ erga peregrinos hoſpites humanitatẽ intellexiſſe nobis tantũ Dionyſius in ſitu orbis uidet cũ ait φιλοξεινοι τε λωτοφάγοι, ſuos forte in trãſitu cõmendans homo afer. per lotũ uoluptatẽ deſignaſſe Homerũ cenſet Maximus Tyrius. προτέρων. ueterũ poetarũ. ψῆφον. ſententiã. ἰναχίοις χεύμασι. Argiuis. Amymones fontis aut Lernę. Argis coli Iunonem nemo neſcit, cũ tamẽ hæc ciuitas ἄργος δίψιον ſit nũcupata, aliã ex his quæ Iunoni ſacræ ſunt aptius forte nominaſſet. φυκάδευ ὕδασι. propter aquas iſtas. ἔρωτος. τῆς ἀφροδισίων. τὴν μεγάλην. quã homines plerũq; frenare nequeũt. ὀλίγη. in ianua balnearum proſtãs. μελιχρότερη. ſuauior. homines quoq; aduerſis in rebus plus aliquãdo timor quã ipſe rei euẽtus ſollicitat. Cicero, ſed plane animus qui dubijs reb. forſitã fuerit infirmior, deſperatis cõfirmatus eſt multũ. Xenophõ. λέγεις σύ ἔφη ὡς ὁ φόβος τοῦ ἔργου κακῶς δὴ μᾶλλον κολάζει τοὺς ἀνθρώπους. ἔδνα πορὼν λεχέων. ex Homero. & Virg. Georg. 1. Thetis emat omnib. undis, manifeſtũ eſt matrimonia olim per coemptionẽ quandã fieri ſolita. decipiũtur itaq; qui illud emat pro accipiat ex Feſto ἁπλῶς exponũt. φράζε πόρνας. meretrix. ὄχλον. copiã. μισθοφόρους. meritorias. λύψη. munera à ſcortis. δείματό με. me balneum ædificauit. οὐκ ἐριθος. lauãtium turbæ. ἐγὼ δ' ὀλίγοις. Homer. Iliad. α. ἐγὼ δ' ὀλίγον τε φίλον τε

λουτ. ἐν λυκίῳ forte λυκείῳ. gymnasio. Tria erant Athenis gymnasia. Lyceum, Academia, Cynosarges. Demosthenis aduersus Timocratē commētarij cum Suida. πρόσταγμα, πρόστροφος. signo quodā lauantes e thermis discessisse indicabat pictus ianitor. οὐκ ἐθέλων. ut Callimachi Teiresias. οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θεμις. χαλεποὶ δὲ θεοί. Homerus Iliad. υ. ἐν πολέμῳ, χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς. ἵμερ. iucunditatē, suauitatē. ἀναζέουσιν. ex aquæ ebulliūt, emittūt. εὗδεν. dormiebat amor. ἀλλήλαισι. nymphæ aūt inter se hæc dicebant. τί μέλλομεν. quid cunctamur, quid dubitamus amoris facem hisce in aquis extinguere. ὁμοῦ τούτῳ. simul cū hac face. λαμπάδας δ' ὡς. castigo λαμπὰς δ' ὡς ἔφλεξε. τὸ ὕδατα. balnearum aquam. ἄριστον ὕδωρ. Pindari Olympiorū initium, ἄριστον μὲν ὕδωρ. ἄριστον uocari quod ad multas res aqua expetatur, putauit Aristot. Homeri interpres quod reliquis elementis præstet. Diuersa Pindari cōmentarius. ἤρεσε. placuit. κοίρανον αἴγλης. Apollinē. νηπενθές. extat hic apud Homerū uersus. Odyss. δ. pete Diodorum lib. 2. Theophrastū de plantis 10. & Pliniū lib. 25. cap. 2. Galeno οἶνος ἢ οἰνοπία ῥίζα Nepenthes uidetur. alijs medicamentū uinoq; insita uis. Plutarchus. ἡ γὰρ ἑλένη πίνουσι αὐτοῖς ἐγχέει τι πρὶ τοῦ ὀδυνοσέως. τοῦτο γὰρ ἦν ὡς ἔοικε τὸ νηπενθὲς φάρμακον, καὶ ἀνώδυνον, λόγος ἔχων καιρὸν ἁρμόζοντα τοῖς ὑποκειμένοις πάθεσι, καὶ πράγμασι. Philostratus in Apollonio. δοκῶ μοι τῆς ἑλένης λόγους αἰγυπτίους ἐγχέουσαν ἐπάδειν τοῖς ἀθύμοις ἐν τῷ κρατῆρι ἰωμένην αὐτοὺς λόγῳ τε ἀναμὶξ καὶ οἴνῳ. ὀρχομενίου χάριτες. Pausanias in Bœoticis. πρῶτοι δὲ ἐτεοκλέους τοῦ ὀρχομενίου μαθόντες χάρισιν ἤδη νομίζομεν χάρισιν εὔχεσθαι. reliqua ibidē. Strabonē quoq; lib. 9. & Theocriti scholiastem Idyll. 16. ibi ὦ ἐτεόκλειοι χάριτες euoluat lector. Hinc Orchomenum Pindaro ultimo Pythiorū hymno gratiarū est ciuitas. Dionysius Vticēsis gratias Eteoclis filias fuisse prodit, quæ ad æmulationē dearum saltantes in puteū extra chorū euolutæ, prolapsæ sint. ἄμβροτον. immortale. ἀθάνατοι. dij. Homerus dei & dæmonis nomine promiscue utitur. Primus Hesiodus 4. genera ratiōalis naturæ distinxit, deos, dæmones, Heroes, homines. πέμπτῃ. hora quinta. ἡμίθεοι. semidei. de ijs ac dæmonibus lege Iamblicū. μετέπειτα. nos homines. ἤματα πάντα. reliquo diei tēpore. Βαιοῖσι ὄργοις. πράγμασι. Βασιλεῖα. ex Thermæ Constantinopoli erant. Procopius lib. de ædif. Iustiniani 5. ἐν τῷ δὴ πολυτελῶν ὑποδέδεικται βασιλεῖ πρέπουσαν. Βασίλειά τε γὰρ ᾠκοδομήσατο οὐ πρότερον ὄντα ἐν τῷ λουτρῷ ἐν δημοσίῳ τῶν ἐκεῖ φυομένων θερμῶν ὑδάτων πεποίηται. fuerūt & in Mysia aquæ Basilicæ nuncupatæ. βροτέῳ πνεί. hominis artificio calefacto. ῥοῦ ψυχροῦ. quo calidiorē aquam temperes. οἷον ποθεινά. tepidā. εἰς θερμὰ τὰ ἀγαμεμνόνεια ἐν σμύρνῃ. Philostratus in Protesilao. ἐν ταύτῃ φασὶ τῇ μάχῃ, πολλοὶ τῶν ἀχαιῶν ἐτρώθησαν, καὶ λέγει τοῖς τετρωμένοις μαντεύεται ἐγγύθεν, πηγὰς θερμὰς ἐν ἰωνίᾳ, ἃς ἔτι καὶ νῦν ἀγαμεμνονίους καλοῦσι, οἱ σμύρνην οἰκοῦντες. ἀπέχουσι δὲ τετταράκοντα οἶμαι στάδια τοῦ ἄστεος. τῶν ποδαλειρίους. medicæ. Machaon & Podalirius Aesculapio patre generati sunt. Homerus in Bœotia. τῶν αὖθ' ἡγείσθην ἀσκληπιοῦ δύο παῖδε ἰητῆρ' ἀγαθώ, ποδαλείριος ἠδὲ μαχάων. ὀροφηφόρος. tectum habens. παφλάζει. conferbuerit. κευθμῶσιν. in occultis terræ uiscerib. ἐς αἰθέρα. in aerē. πτύχες. urbis. ἐν πραινέτῳ. Bithyniæ oppido. Moschopulus. πραίνετος ὄνομα τόπου περὶ τὸν ἀστακηνὸν κόλπον. ἀλλὰ τόπος σκυβάλων. cloaca quę urbis purgamēta & sordes accipiebat. νικαίων ἱεροὺς. Strabo. ἡ νίκαια ἡ μητρόπολις τῆς βιθυνίας ἐπὶ τῇ ἀσκανίᾳ λίμνῃ. ea nō procul abest Astaco cui postea Nicomediæ nomē fuit. Pausanias. ἀπὸ τῆς νικομηδείας ἐν τῇ μεγίστῃ ἐν βιθυνίᾳ πόλεων μετέβαλεν τὸ ὄνομα, ἀστακὸς τὰ πρὸ τούτου καλουμένη. Strab. libro duodecimo, Plinius cum Ptolemæo Astaci & Nicomediæ meminit, cum tamen fortassis horum ætate nullum esset Astacum, multis antea seculis à Lysimacho euersum.

## ΕΙΣ ΝΑΟΥΣ.

Εἰς ναὸν τοῦ Διὸς κτισθέντα παρὰ κεκροπιδῶν.

Αὐτοῦ Ζηνὸς ὅδ' οἶκος ἐπάξιος. οὐδέ γ' ὄλυμπος
μέμψεται οὐρανόθεν Ζῆνα κατερχόμενον.

Εἰς τὸ αὐτό.

Κεκροπίδαι δὴ τόνδ' ἔθεσαν δόμον, ὡς ἀπ' ὀλύμπου
νισσόμενος ποτὶ γῆν, ἄλλον ὄλυμπον ἔχῃ,

Ἄδηλον.

Ἱρὰ θεῶν ἀγαθοῖς ἀναπέπταται. οὐδὲ καθαρμῶν
χρειώ, τῆς ἀρετῆς ἥψατο οὐδὲν ἄγος.
ὅστις δ' οὐλοὸς ἦτορ, ἀπόστιχε. οὔποτε γὰρ σὴν
ψυχὴν ἐκνίψει σῶμα μιαινόμενον.

Ἄδηλον.

Τίς πόλις ἀπ' οὐλύμποιο μετήγαγε παρθενεῶνα,
τὸν πάρος οὐρανίοις ἐμβεβαῶτα δόμοις,
ἣν πόλιν ἀνδροκλοιο θοῶν βασίλεια ἰώνων,
τὰν δοκιμὰν, καὶ μούσαις αἰπυτάταν ἔφεσον;
ἦ ῥα σὺ Φιλαμμῆα πιτυοκτόνε μείζον ὀλύμπου
τὰν τροφὸν, ἐνταυθοῖ τὸν σὸν ἔθου θάλαμον.

παρὰ κεκροπιδῶν. mallē ἀθηναίων. ὅδ' οἶκος. illud Telemachi Odyss. δ. respicit. Ζηνός που τοιήδε γ' ὀλυμπίου ἔνδοθεν αὐλή. κατερχόμενον. in hanc ædē. quā ædificauit Adrianus teste Spartiano. ἱρὰ θεῶν. tēpla deorū. οὐλοὸς ἦτορ. ὢ aut ἔχεις subaudiendū. μιαινόμενον. aqua tinctū sed quæ puris uasis cōtinetur. aut cruore uictimæ aspersum. Varinus. λουτήριον τὸ καθάρσιον λέγει ὁ ἀπολλώνιος, ὅ ἐστι χερνίβιον μικρὸν, ὅπου οἱ ἁγνίζοντες, θύσαντες τὰς χεῖρας τῶν ἁγνιζομένων τῷ αἵματι αὐτῶν βρέχουσι. παρθενῶνα. ædē Dianæ uirgini dicatā. fuit etiā Athenis Mineruæ Partheno. πόλιν ἀνδροκλοιο. Androcli urbē Ephesum. Pausanias in Achai. ἄνδροκλος δ' ὁ κόδρου (οὗτος γὰρ δὴ ἀπεδέδεικτο ἰώνων τῶν ἐς ἔφεσον πλευσάντων βασιλεύς) λέλεγας καὶ λυδοὺς τὴν ἄνω πόλιν ἔχοντας ἐξέβαλεν ἐκ τῆς χώρας. Strab. lib. 14. ἄρξαι δέ φησι (Pherecydes) ἄνδροκλον τῆς τῶν ἰώνων ἀποικίας, ὕστερον τῆς αἰολικῆς, υἱὸν γνήσιον κόδρου τοῦ βασιλέως ἀθηνῶν, γενέσθαι τοῦτον ἐφέσου κτίστην. Eusebius. Ephesus condita est ab Andro siue Andronico. castiga Androclo. Suidas in uoce ἰωνία χώρα. εἰσὶ δὲ ἔφεσος ἄνδροκλος. lego. ἀνδρόκλου. μίλητος, μυοῦς, κολοφὼν λέσβος ego ex Strabonis lib. 14. Clio Herodoti, & Vitruuio lib. 4. ubi cum Paterculo Ephesum Ionis opus esse credidit λέβεδος scribendū opinor, tametsi Aelianus lib. ποικίλης ἱστορίας 8. λέσβος habeat. Φιλαμμῆα. Φιλῶ. ἐφίλαμμην. Φιλάμμηνος. πιτυοκτόνε. Tityus terræ filius Latonā amauit, propter quod Apollinis telis cōfixus est. Seruius. quē ad tantū portētum cōficiendū à sorore in cōmuni iniuria ulciscēda adiutū indicat Epigrāmatistes, nec non Pindarus hymno Pythio. 4. καὶ μὰν τιτυὸν βέλος ἀρτέμιδος θήρευσε. & Pauſ. in Lacon. τιτυὸν δ' ἀπόλλων τοξεύει καὶ ἄρτεμις. Theon. τιτυὸς μὲν ἦν πανοπέως δυνάστης, ἀνὴρ παράνομος καὶ βίαιος. eadem Strabo. uolumine 9. μείζον. rectius, nisi fallor, μεῖζον. sic ut Dianam Ephesum cœlo præponere existimes. τὰν τροφόν. Ephesum. Tacitus lib. 3. primi omnium Ephesii adiere, memorantes non ut uulgus credebat Dianam & Apollinem Delo genitos, esse apud se Cenchrium amnem, locum Ortygiam ubi Latonam partu grauidam & oleæ quæ tum etiam maneat adnisam edidisse ea numina. Confirmat Strabo lib. 14. ὀλύμπου. idē Strabo quatuor Olympos nominat, sex Apollonij enarrator. He-

sychius

sychius 14. Xenophon in Aequiuocis. Olympus plura significat nam omnis mons regionis altior Olympus à Græcis dicitur: Idaq; quoq; afferente Eustathio. ἰθὺν. πίθυμῦ. θάλαμον. in quo habitares.

ΕΙΣ ΝΙΚΗΝ.

Νῖκαι πάρεσμεν αἱ γελῶσαι παρθένοι,
νίκας φέρουσαι τῇ φιλοχρίστῳ πόλει.
ἔγραψαν ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν,
πρέποντα νίκαις ἐντυποῦντες σχήματα.

Εἰς ἄγαλμα νίκης ἀπτέρου ἐν ῥώμῃ, ἧς τὰ πτερὰ κεραυνῷ κατεφλέχθη. Πομπηΐου.

Ῥώμη παμβασίλεια, τεὸν κλέος οὔποτ' ὀλεῖται.
νίκη γάρ σε φυγεῖν ἄπτερος οὐ δύναται.

εἰς ἄγαλμα νίκης ἀπτέρου. Hoc pertinet ad ἀπτέρου Atheniēsium uictoriā, de qua in Lacon. & Corinth. Pausanias & Suidas in uoce νίκη. ὀλεῖται. peribit.

ΕΙΣ ΞΕΝΟΔΟΧΕΙΟΝ.

Σωφρονίου πατριάρχου.

Ο πρὶν ἀλώμενος, καὶ ἀνέστιον ἴχνος ἐλαύνων,
εἴτ' ἀφ' ὁδοιπορίης, εἴτ' ἀπὸ ναυτιλίης,
ἐνθάδε νῦν προσιὼν στῆσον ξένε τὴν σέο πόδα,
ναιετάειν ἐθέλων, οἶκον ἑτοῖμον ἔχων.
εἰ δέ με καὶ τίς ἔτευξεν ἀνακρίνεις πολιήτης,
Εὐλόγιος, φαρίης ἀρχιερεὺς ἀγαθός.

Εἰς τὸ αὐτό.

Ἀστὸς ἐμοί, καὶ ξεῖνος, ἀεὶ φίλος. οὐ γὰρ ἐρευνᾷ
τίς; πόθεν; ἢ τίνων; ἐστὶ φιλοξενίης.

τὴν σέο πόδα. legendum. τὸν πόδα σεῖο. φαρίης. Alexandriæ. τίς; πόθεν; ex Homero Odyss. α. τίς πόθεν εἰς ἀνδρῶν.

ΕΙΣ ΟΙΚΟΥΣ.

Εἰς οἶκον ἐν κιβύρᾳ. Μακεδονίου ὑπάτου.

Εὐσεβίῃ τὸ μέλαθρον ἀπὸ πρώτοιο θεμέθλου
ἄχρι καὶ ὑψηλοὺς ἤγαγον εἰς ὀρόφους.
οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων λῃΐστορι χαλκῷ
ὄλβον ἀολλίζων, τεῦξε μακηδόνιος.
οὐδὲ λιπορνήτης κενεῶν, καὶ ἀκερδέϊ μόχθῳ
κλαῦσε, δικαιοτάτου μισθοῦ ἀτεμβόμενος.
ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
ὧδε καὶ εὐσεβέων ἔργα μένοι μερόπων.

Εἰς οἶκον κείμενον μέσον τοῦ Ζευξίππου,
καὶ τοῦ ἱππικοῦ. Λεοντίου.

Ἐν μὲν τῇ, Ζευξίππου ἔχω πέλας, ἡδὺ λοετρόν.
ἐκ δ' ἑτέρης, ἵππων χῶρον ἀεθλοφόρων.
εὖτ' ἄρα θηησάμενος, καὶ τῇδ' ἐνὶ χρῶτα λοέσσας,
δεῦρο καὶ ἄμπνευσον δαιτὶ παρ' ἡμετέρῃ.
καί κε πάλιν σταδίοις ποτὶ δείελον ὥριος ἔλθοις,
ἐγγύθεν ἐγγὺς ἐὼν γείτονος ἐκ θανάτου.

Παύλου σιλεντιαρίου εἰς οἶκον ὑψηλὸν ἐν Βυζαντίῳ.

Τρισσόθεν ἀθρόον πολυτερπέα νῶτα θαλάσσης,
πάντοθεν ἠματίῳ φέγγεϊ βαλλόμενος.
εἰς ἐμὲ γὰρ κροκόπεπλος ὅταν περικίδναται ἠὼς
τερπομένη, σπεύδειν πρὸς δύσιν οὐκ ἐθέλει.

Εἰς οἶκον ἐπίπεδον. Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ὥρῃ ἀναψύχω θέρεος, καὶ χείματι θάλπω,
τοὐλλιπὲς ὡράων ἐξ ἐμέθεν παρέχων.

Εἰς οἶκον ἐν ὕψει κείμενον ἐν Βυζαντίῳ.
Ἀγαθίου σχολαστικοῦ.

Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἔννεπεν ἀσκραῖος δῶμα τόδε προλέγων.
κλίμακα γὰρ ταναὴν προόων κεκαφηότι ταρσῷ,
ἱδρῶτι πλαδαρὴν ἀμφεδίνησα κόμην.
ὑψόθι δ' εἰσορόων θαλασσαίην περιωπήν,
ναὶ τάχα τῆς ἀρετῆς πιότατος θάλαμος.

Εἰς ἀφυλάκτων οἶκον τῷ Θασί. Ἰουλιανοῦ
ἀπὸ ὑπάρχων αἰγυπτίου.

Κερδαλέους δίζεσθε δόμους ληΐστορες ἄλλους.
τοῖσδε γὰρ ἐστὶ φύλαξ ἔμπεδος, ἡ πενίη.

Εἰς τὸν τρίκλινον τῆς μαγναύρας.

Ὀτραλέως κλύπουσαν τόνδε δόμον βασιλήων,
αἰχμὴν ὀλβοδότειραν ἀπὸ σταυροῖο λαχόντων
αὐτὸς ἄναξ ἡρακλῆς, σὺν Κωνσταντίνῳ υἱεῖ.

Εἰς οἶκον τὸν ἐπιλεγόμενον χαλκῆν
ἐν τῷ παλατίῳ.

Οἶκος ἀναστασίοιο τυραννοφόνου βασιλῆος
μοῦνος ὑπερτέλλω πανυπείροχος ἄστεσι γαίης,
θαῦμα φέρων πάντεσσιν, ἐπεὶ κοσμήτορες ἔργων
ὕψος ὁμοῦ, μῆκός τε, καὶ ἄπλετον εὖρος ἰδόντες,
ἀσκεπὲς ἐφράσσαντο πελώριον ἔργον ἐᾶσαι.
ἀλλὰ πολυμήτοιο λαχὼν πρεσβήϊα τέχνης
αἰθέριος πολυΐδρις, ἐμὴν τεχνήσατο μορφήν,
ἀχράντῳ βασιλῆϊ φέρων προτάγρια μόχθων.
ἔνθεν ἀπειρέσιον μέγεθος περὶ παντὶ τιταίνω,
αὐσονίων νίκησα βοώμενα θαύματα γαίης.
εἶξον ἀερσιλόφοισι χάρις καπετωλίδος αὐλῆς.
εἰ καὶ χαλκείων ὀρόφων ἀμαρύγματα πέμπεις.
κρύψον ἀμετρήτων μεγάρων στεινούμενον αἴγλαις
πέργαμε, φαιδρὸν ἄγαλμα τεὸν ῥουφίνιον ἄλσος.
μηδὲ τανυπλεύροισιν ἀγήροτα κύζικε πέτροις,
ἀδριανοῦ βασιλῆος ἀμεμφέα νηὸν ἀείσης.
οὔ μοι πυραμίδων ἰκέλη κρίσις, οὐδὲ κολοσσοῦ,
οὐδὲ φάρου, μεγάλην μοῦνος ὑπερέδραμον αἴγλην.
αὐτὸς ἐμὸς σκηπτοῦχος ἰσαυροφόνον μετὰ νίκην,
χρυσοφαὲς μ' ἐτέλεσσεν ἑδέθλιον ἠριγενείης,
πάντη τετραπόρων ἀνέμων πεπετασμένον αὔραις.

Εἰς τὰ παλάτια Σοφιανῶν. Μαριανοῦ σχολαστικοῦ.

Ὁππόθι τεμνομένης χθονὸς ἄνδιχα πόντον ἀνοίγει
πλαγκτὸς ἁλικλύστων πορθμὸς ἐπ' ἠιόνων,
χρύσεα συλλέκτῳ τάδ' ἀνάκτορα θῆκεν ἀνάσσῃ
τῇ πολυκυδίστῃ θεῖος ἄναξ Σοφίῃ.
ἄξιον ὦ ῥώμη μεγαλοκρατὲς ἀντία σεῖο
κάλλος ἀπ' εὐρώπης δέρκεται εἰς ἀσίην.

Εἰς τὸ μέγα πραιτώριον καλλοπισθέν.
Παύλου σιλεντιαρίου.

Κόσμον ἰουστῖνος βασιλεὺς ῥυπόωντα καθήρας,
καὶ τὰ μέγιστα δίκης ἠγλάϊσεν τεμένη.
Εἰς δὲ πόνους Δομνῖνε, κατηφέα νύκτα διώκεις
ἐκ θέμιδος μεγάρων, ἐκ βιοτῆς μερόπων.

Θεαιτήτου σχολαστικοῦ εἰς τὸ αὐτό.

Ὡς ἀγαθὸν καὶ παῖς ἐπὶ γήραϊ. φαιδροτέρους γὰρ
Δομνῖνος θαλάμους μητρὸς ἔτευξε δίκης.
λάμπω ἐγὼ διὰ παιδός. ὁ παῖς δι' ἐμεῖο φαεινός.
κύδεα δ' ἀλλήλοις ἀντιχαριζόμεθα.

Εἰς βῆμα τοῦ σοφιστοῦ Κρατέρου. Ἰουλιανοῦ
ἀπὸ ὑπάρχων αἰγυπτίου.

Δένδρον ἐγὼ μακαριστόν, ἐπεί ποτε μεσσόθεν ὕλης
ἱστάμενον, λιγυροῖς ἐτρεφόμην ἀνέμοις,
ὀρνίθων ἐπίβαθρον εὔθροον. ἀλλὰ σιδήρῳ
ἐτμήθην, κλήρῳ κρείσσονος εὐτυχίης.
ἀντὶ γὰρ ὀρνίθων, κρατεροῦ κρατεροῖς ὑπὸ μύθοις
ἄρδομαι, εὐμούσοις χεύμασι τηλεθάον.

Εἰς οἶκον ἀγαθίου σχολαστικοῦ ἐν Βυζαντίῳ.

Τεῦξέ με πολλὰ καμὼν Μουσώνιος οἶκον ἀγητὸν
τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
ἔμπης οὐκ ἀπέλειπεν ἀφεγγέα δώματα μοίρης,
ἀλλά με καλλείψας, ἐν χθονὶ ναιετάει.
καί ῥ' ὁ μὲν, εἰς ὀλίγην κεῖται κόνιν. ἡ δὲ ποθεινὴ
τέρψις, ἐπὶ ξείνοις ἀνδράσιν ἐκκέχυμαι.

Εἰς θύρας. Σιμονίδου.

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν.
τὴν δ' ἐξιόντι δεξιάν, Διονύσιος.

Εἰς τὴν Μαξιμίνου οἰκίαν. Κύρου ἀπὸ ὑπάτων.

Δείματο Μαξιμῖνος νεοπηγέος ἔνδοθι ῥώμης,
αὐταῖς ἠιόνεσσι θεμείλια καρτερὰ πήξας.
ἀγλαΐη δέ μοι ἀμφὶς ἀπειρεσίη τετάνυσται
τῇ, καὶ τῇ. καὶ ὄπισθεν ἔχω πτόλιν. ἀλλὰ καὶ ἄντην
πάνθ' ὁρόω γαίης βιθυνίδος ἀγλαὰ ἔργα.
ἀμφοτέροις δ' ὑπένερθεν ἐριθηλέεσσι θεμέθλοις
πόντος ἁλὸς προχοῇσι κυλίνδεται εἰς ἅλα δῖαν
τόσσον ἐπιψαύων, ὁπόσον χθονὸς ἄκρα διῆναι.
πολλάκι δ' ἐξ ἐμέθεν τις, ἑὸν μέγα θυμὸν ἰαίνει
βαιὸν ὑποκρύψας, ἐπεὶ ἔσιδεν ἄλλοθεν ἄλλα,
δένδρεα, δώματα, νῆας, ἅλα, πτόλιν, ἀέρα, γαῖαν.

Ἀδέσποτον.

φαιδρόν ἰουστινιανὸς ἄναξ ἐμὲ χῶρον ἐγείρει,
ἠελίῳ παρέχων θάμβος ἀνερχομένῳ.
οὔ ποτε γὰρ τοῖον ἴδε χθονὸς ἔδρακε κάλλος,
ὑψόθεν οὐρανίην οἶμον ἐπερχόμενος.

Ἀγαθίου.

Χῶρος ἐγὼ τὸ πρὶν μὲν ἔην συνεργατὸς ἰδέσθαι,
πηλοδόμοις τοίχοις ἀμφιμεριζόμενος.
ἔνθα δὲ ξείνων τε, καὶ ἐνδαπίων, καὶ ἀγροίκων
νηδὺς ἐπεγλώσσει λύματα χευομένη.
ἀλλὰ πατήρ με πόληος ἐναλλάξας ἀλαθίας,
θῆκεν ἀρίζηλον, τὸν πρὶν ἀτιμότατον.

ἐν λιβύρα. Ciliciæ oppido. ἐκ θεμέθλων. à fundamẽtis. ληΐσσει χαλκῷ. bello, excursionibus. λιπόφρυντες. inops, mercenarius. ὡς δέ. itaque. ἐν μὲν τῇ, hac parte. ἱππαυ χῶρον. ἱππικόν. Hippodromũ. ἵππους. equos. σταδίοις. cum stadium currunt. γείτονος ἐκ θανάτου. à somno mortis germano fratre experrectus currẽtes in stadio equos spectabis. nõ solũ id Homeri quod ante præmisimus, respicit, sed Hippodromi Cõstantinopolitani ingressum qui mortuus dicebat. Procopius lib. de bel. Persico 1. ubi Belisariũ in hoc certamine uidit, recta in Hippodromũ per ingressum qui mortuus dicit inuadit. ἠματίῳ φέγγει. diurna luce. πρὸς δύσιν. ne à me discedat. ὥρη θέρεος. æstate. ἀναψύχω. loquitur domus. τὸ λιπὲς ὡράων. quicquid anni tẽporis deficit. πρὸς χειμῶν. domus hieme calida est, æstate frigida. τὸ δ' ἀρετῆς. Hesiodi uersus est. ἱδρῶσι κεκαφηότα. Hesychio ἐκπεπνευκότα. nũc defessis pedibus. ἀμφιδίνα. crines sudore madefeci. περιωπήν. speculã aut pharũ. ἀρετῆς θάλαμος. triti sunt Hesiodi uersus. τῆς δ' ἀρετῆς ἱδρῶτα θεοί. &c. εἰς τὸ τρίκλινον. an Basilicã an concla ue. Tricliniũ à tribus lectis dictũ est. nã antiqui stratis tribus lectis fere epulari soliti sunt. inuenies tamẽ οἶκον dici πεντάκλινον ἑπτάκλινον, ἐννεάκλινον, δεκάκλινον. ex lectorũ numero. τὸ μαγναύρας. quasi dicas magnæ auræ. loci uentis expositi nomen. βασιλῆες. Imperatores Constantinopolitani. ἀπὸ σταυροῖο, Christianos signat. Constantinum præcipue. qui primus labarum (insignioris uexilli nomen est) Maxentiũ aggressurus per artifices ingeniosos iussit in uexillũ crucis trãsformari. αὐτὸς ἄναξ ἡρακλῆς. quem in præsentia notet nec diuinare modo in prõptu, nec anxie indagare nostri est ocij. χαλκῆ. χαλκῆν porticũ cõstruxit Iustinianus. τυραννοφόνε. Athenodori in Cilicia Tyrãni. αἰθέριος. Aetherius omniũ architectorũ facile princeps. πρωτάγρια. metaphora à uenatorib. θαύματα. miracula. maxima ædificia. ἀρχιστοφόροισι. nẽpe huic domui. καπετωλίδος αὐλῆς. Capitolij. χαλκείων ὀρόφων. Catulus primus tegulas æneas Capitolij inaurauit. Plinius lib. 33. ca. 3. Procopius. Gizericus uero Eudoxiã simul cũ Eudocia & Placidia eius ex Valentiniano filiabus capit, gazamque omnẽ Imperatoriã in nauibus positã secũ in Aphricã tulit, ac si qua erant Romæ decora, inter quæ Iouis capitolini tegularũ ex ære auratarũ partẽ dimidiã abripuit. ἄξον. mihi cæde. φαρφίνιον ἄλσος. Claudianus in Ruffinũ. Qui sibi Pyramides qui non cædentia tẽplis ornatura suos extruxit culmina manes. νηὸν ἀάσινε. in manib. est Aristidæ Rhetoris πανηγυρικὸς ἐν κυζίκῳ περὶ τοῦ ναοῦ. fuisse & Cyzicũ inexpugnabili murorũ ambitu cinctum Ammia. Marcellinus lib. 26. est autor. τοῦ κολόσσου. Rhodij Colossi. φάρου. Phari Alexãdrinæ. ἰσαυροφόνου μετὰ νίκην. uictis à se Isauris Pãphyliam attingẽtibus populis. ἠριγενέος. auroræ sedes. τετραπόρων. è quatuor orbis partib. spirãtiũ. ἀνδίχα. in Asiã & Europã. πόντου. Propontidẽ. pontũ Euxinũ. πορθμός. fretũ

Constan-

Cõstantinopolitanũ. τάδ' ἀνάκτορα. palatia hæc. θεῖος ἄναξ. Iustinianus. ὦ ῥώμη. ô Cõstantinopolis. ἀντία σεῖο. è regione. δέρκεαι. uides. πραιτώριον. ubi prætores aliique iudices iura reddũt. Imperatoriæ ædes aliquãdo prętoriũ, principia et augustale aut augustæũ ab Augusto denominatę sunt. Palatiũ, inquit Procopius, imperatoris ędes uocãt Romani: quẽ explicuit Dion lib. 54. δίκης τιμῶν. prætoriũ. δέσποτα. Plin. in epist. ad Traianũ domini uocẽ identidẽ ingerit. Narrat Tacitus Germanicũ acerbe eos increpasse qui ipsum dominũ dixerãt. Tertull. Augustus imperij formator ne dominũ quidẽ dici se uolebat. Domitianũ ita appellat Martialis, dominũ enim & deũ se primũ nũcupari iussisse tradit Eutropius. obuios ait Seneca si nomen nõ succurrit dominos salutamus. Hinc dicacis poetę aculeus, cũ te non nossem dominũ regẽq; uocabã. θεμέθλα μεγάρων. δίκης τιμῶν. ante uocauit. παῖς ὑπὸ γήραϊ. quã bene senectuti meæ opitulat̃ filius. uerba iustitię Iustinũ filium nũcupãtis, qui Prętoriũ hoc uetustate collapsum recõcinnarat. παιδοτρίβιον. παιδευτηρίων. nũc scholã intelligit in qua ius ciuile edocetur. documẽto sunt uoces. διδασκαλεῖον & νομίμων. αὐσονίων. Romanorũ. ἐκκέχυται. ἐκκέχυτο. ὕλης syluarũ. ἀλέγω. ut feliciorẽ quendã statũ consequerer. μύθοις. sermonib. eloquẽtia. πολλὰ καμών. magnis laborib. aliis defunctus. μουσώνιος. Musonius. ἀρκτώοις ἄνθεμα σι. uẽtis septẽtrionalib. κεκλέαται. κατακλείσας. ἐν χθονί. sepultus. τῆς δεξιῶν. quę introeũtib. ad dextrã est. τῶν ἐξιόντων. exeũtiũ. ῥώμης. Cõstãtinopoleos. νεοπηγέος. nuper fabricatæ. nouæ Romæ. ᾐόνεσσι. Hellespõti litoribus. ἐγὼ πάντη. ex omnib. partibus urbẽ circũspicio. βιθυνίδος. Bithynia duplex est. altera Europæ altera Asiæ. est & Bithynia insula in Põto. πόντος. Põtus Euxinus. ἑλλῆς. Propõtidis. ἐς ἅλα δῖαν. in mare Aegeũ. Plinius. nõ est omittẽda multorũ opinio qui maria omnia interiore illo capite nasci, nõ Gaditano freto, existimauere haud improbabili argumẽto quoniã æstus semper è Põto profluẽs nũquam reciprocet. Aristot. in Meteo. ἡ μὲν γὰρ μαιῶτις εἰς τὸν πόντον ῥεῖ, οὗτος δὲ εἰς τὸν αἰγαῖον. cũ his dimicat saturn. 7. Macrobius. Quod si in Pontũ uel paleas uel ligna seu quæcũq; alia natãtia proieceris, foras extra Pontũ ferũtur in Propontidẽ atq; in mare quod alluit Asiæ orã, cũ cõstet in Pontũ influere maris aquã nõ effluere de Põto. χθονός. litoris. ἰάνθη. animo exhilaratus est. ὑψιφανεῖ δόμῳ. ex eo ædificij altitudo declarat̃. ἀνερχομένῳ. ascẽdẽti. id est oriẽti. ἔδρακε. uidit. οὐρανίων οἶμον. cursum suũ cõficiens. χῶρος. Latrina uel cloaca publica. πηλοδόμοις. luto, nulla calce structis. πατὴρ πόλεος. urbis ædiũ cæterorũq; eius ornamentorũ curam habens.

ΕΙΣ ΟΠΛΑ.

Εἰς ἀσπίδα ἔχουσαν τὴν χριστοῦ γέννησιν.

Ω πόσον ἔσθενε ὁ ζωγράφος, ὅτι χαράσσει
κοίρανον εἰρήνης ἀσπίδι τικτόμενον.

Αντιπάτρου εἰς κράνος.

Η κόρυς ἀμφοτέρων ἔλαχον χάριν. εἰμὶ δ' ὁρᾶσθαι
καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
ἐκ δὲ πυλαιμένεος γέρων μ' ἔχει. ἔπρεπε δ' ἄλλαις
οὔτε κόρυς χαίταις, οὔτε κόμη κόρυθι.

τικτόμενον. Christi seruatoris nostri natiuitatem. ἡ κόρυς. galea.

ΕΙΣ ΟΡΧΙΣΤΡΙΔΑΣ.

Εἰς εἰκόνα ὀρχηστρίδος. Λεοντίου σχολαστικοῦ.

Μουσάων δεκάτη, χαρίτων καραμάλλη τετάρτη,
τερπωλὴ μερόπων ἄστεός ἀγλαΐη,

ὄμματά σοι, καὶ ταρσὰ, ποδήνεμα, καὶ σοφὰ χειρῶν
δάκτυλα, καὶ μουσέων κρέισσονα, καὶ χαρίτων.

Εἰς εἰκόνα ἑτέρας ὀρχηστρίδος ἱσταμένης ἐν τῷ σωσθενίῳ. Τοῦ αὐτοῦ.

Εἰμὶ μὲν ἑλλαδίη βυζαντιάς. ἐνθάδε δ' ἔστην,
ἧχι χορεστασίην ἀεὶ δῆμος ἄγει,
ὁππόθι πορθμῷ γαῖα μερίζεται. ἀμφότεραι γὰρ
ἄντυγες, ὀρχηθμοὺς ᾔνεσαν ἡμετέρους.

Εἰς εἰκόνα ὀρχηστρίδος διαχρύσου ἐν βυζαντίῳ. Τοῦ αὐτοῦ.

Οὔ τις ἐπ' ἀνθούσῃ χρυσὸν βάλεν. ἀλλὰ καὶ αὐτῇ
ἀμφεχύθη κρενίδες, ὡς τὸ πάρος δανάῃ.
σώματι δ' οὐκ ἐπέλασσεν, ἐπεὶ νόον ἔλλαβεν αἰδώς
μή τινι μαστάων μίσγεται οὐκ ἐθέλων.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Θῆλυς ἐν ὀρχηθμοῖς κρατέει φύσις. εἴξατε κοῦροι.
μοῦσα, καὶ ἑλλαδίη, τοῖον ἔθεντο νόμον.
ἡ μὲν, ὅτι πρώτη κινήσιος εὕρετο ῥυθμούς.
ἡ δ' ὅτι τῆς τέχνης ἦλθεν εἰς ἀκρότατον.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἕκτορα μέν τις ἄεισε νέον μέλος, ἑλλαδίη δὲ
ἑσσαμένη χλαῖναν, πρὸς μέλος ἠντίασεν.
ἦν δὲ πόθος, καὶ δεῖμα παρ' ὀρχηθμοῖσιν ἐνυοῦς.
ἄρσενι γὰρ ῥώμῃ θῆλυν ἔμιξε χάριν.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Οὔνομ' ἔχεις λιβάνου, χαρίτων δέμας, ἤθεα πειθοῦς
παρθένε, καὶ παφίης κεστὸν ἀπ' ἐκ λαγόνων.
αὐτὰρ ἐν ὀρχηθμοῖσιν, ὅλως ἅτε κοῦφος ἀθύρεις,
πάλλει, καὶ τέχνῃ πάντας ἐφελκομένη.

Εἰς Ξενοφῶντα σμυρναῖον.

Αὐτὸν ὁρᾶν ἰόβακχον ἐδόξαμεν, ἡνίκα ληνοῖς
ὁ πρέσβυς νεαρῆς ἦρχε χοροιμανίης,
καὶ Κάδμου τὰ πένθεα, χορεύματα, καὶ τὸν ἀφ' ὕλης
ἄγγελον, θυιακῶν ἰχνελάτην θιάσων,
καὶ τὴν εὐάζουσαν ἐν αἵματι παιδὸς ἀγαύην
λυσσάδα, φεῦ θείης ἀνδρὸς ὑποκρισίης.

Εἰς στήλην Πυλάδου ὀρχηστοῦ.
Ἀντιπάτρου.

Αὐτὸν βακχευτὴν ἐνέδυ θεὸν, ἡνίκα βάκχας
ἐκ θηβῶν ἰταλὴν ἤγαγε πρὸς θυμέλην
ἀνθρώποις Πυλάδης, τερπνὸν δέος, οἷα χορεύων
δαίμονος ἀκρήτου πᾶσαν ἔπλησε πόλιν.
θῆβαι γιγνώσκουσι τὸν ἐκ πυρὸς, οὐράνιος δὲ
οὗτος ὁ παμφώνοις χερσὶ λοχευόμενος.

ταρσά. pedes celerrimi. χειρῶν δάκτυλα. gesticulationes. σωσθενίῳ. Sosthenium Byzantij locus est. ᾗχι. qua. πορθμῷ. Hellesponto. ἀμφότεραι ἄντυγες. Asia & Europa. ᾔνεσαν. magni æstimarunt. ἀνθούσῃ. Anthusæ mimæ aut Helladiæ in loco Anthusa. Eustathius. ἐν δὲ τῷ θρακικῷ βυζαντίῳ ἱστορεῖται φυλάσσεσθαί ποτε τὸν πλοῦτον τοῖς ἀθηναίοις, διὰ τὴν ὀχυρότητα τοῦ πολιχνίου. ὀνομασθῆναι δέ ποτε αὐτὸ καὶ ἀντωνίαν, ἕως περιῆν σεβῆρος, καὶ ὁ ἐκείνου παῖς ἀντωνῖνος. παρὰ δὲ τοῦ μεγάλου κωνσταντίνου κληθῆναι αὐτὸ ἀνθοῦσαν. κρονίδης. Iupiter. μή τινι. uide aut nunquid. κοῦραι. saltatores. ἑλλαδίῃ. Helladia. Helladij Planipedis ac Pantomimi meminit Cassiodorus. μοῦσα. forte Polymnia. nam ut ferunt, τερψίχορης ὀρχηθμοῖο πολύμνια πάνσοφος εὗρεν. κινέστο. τῆς ὀρχήσεως. χλαῖναν. Hectoris Chlamydem. πρὸς μέλος. canēte tibicine Hectorem saltauit Helladia, quam ob id Enyo uocat. λιβάνου. falsa est igitur inscriptio quæ talis esse potuit. εἰς λιβάνιον ὀρχηστρίδα. παρθένης ἑκτόρ. Homerus Iliad. ξ. τέχνη. orchestica. ἰόβακχον. Bacchū. Iacchū. λήναις. cum Bacchis. ὁ πρέσβυς. Tiresias. Euripidis tragœdiæ quæ Bacchæ inscribitur periochon uidetur hoc epigramma. καὶ τὸν ἀφ' ὕλης. à monte Cithérone. θυιαχῶν. Bacchicorum. παιδός. Penthei à Mænadibus dilaniati. Tzetzes in Historico. ἀνδρός. Xenophontis Pantomimi. θεόν. Bacchum. φίλον. Pylades. ἐκ θηβῶν. ubi Agaue & reliquę Thyades. Thebis quoq; natus est Bacchus. δαίμονος. ipsius Bacchi. τὸν ἐκ πυρός. cœlesti igne percussa matre editum. παμφώνοις. nihil non gestu exprimentibus.

## ΕΙΣ ΠΗΓΑΣ.

Εἰς πηγὴν ἐν τῷ Ὀλύμπῳ ὄρει. Ἀδεσπότου.

Ταῖς Νύσης νύμφαις ὑποείκομεν. ἀλλὰ καὶ αὐταί
 κρείσσονες ἡμείων χαίρετε Πυθιάδες.
αἱ δ' ἄλλαι πᾶσαι μετὰ Θύβια, καὶ μετὰ Νῦσαν,
 ἡμετέραις νύμφαις ἔξατε νηιάδες.

Εἰς καμάριναν ἐν σικελίᾳ. Παροιμιῶδες.

Μὴ κίνει καμάριναν ἀκίνητος γὰρ ἀμείνων.
μήποτε κινήσας τὴν μείονα, μείζονα θείης.

Ἀδεσπότου.

Ἀγναον Πεταλῶν τε παρερχομένοισιν ὁδίταις
 πηγὴν ἀναβλύζει γειτονέουσα νάπη.
πάντῃ δ' αὖ πλατάνοισι, καὶ ἡμεροθαλέσι δάφναις
 ἔστεμμαι, σκιερὴν ψυχομένη κλισίην.
τοὔνεκα μήμε θέρους παραμείβεο, δίψαν ἀλαλκὼν
 ἄμπαυσον παρ' ἐμοὶ καὶ πόνον ἡσυχίῃ.

Ἀνύτης.

Φριξοκόμᾳ τῷδε Πανὶ, καὶ αὐλιάσιν θέτο νύμφαις
 δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος.
οὕνεχ' ὑπ' ἀζαλέου θέρεος μέγα κεκμηῶτα
 παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

Νικίου.

Ἕζευ ὑπ' αἰγείροισιν ἐπεὶ κάμεν ἐνθάδ' ὁδῖτα,
 καὶ πίε θᾶσσον ἰὼν πίδακος ἀμετέρας.
μνᾶσαι δὲ κράναν καὶ ἀπόπροθεν, ἂν ἐπὶ Γίλλῳ
 Σιμὸς ἀποφθιμένῳ παιδὶ παρεδρύετο.

Ἀδήλου.

ὠκεανοῦ θυγάτηρ, καὶ τηθύος. εἰμὶ νύχεια
κρήνη. τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.
νύμφαις μὲν προχέω λουτρόν, θνητοῖσι δ' ὑγείην.
θῆκε δέ με πτερέλας υἱὸς ἐνυαλίου.

Ἀδέσποτον.

ἔνθεν ἀλέξανδρος μακεδὼν πίεν ἀγλαὸν ὕδωρ,
μητρὸς δ' ἔπι γάλακτι παναίκελα ῥεύματα πηγῆς.
ἣ καὶ ὀλυμπιάδος πέλεν οὔνομα μητρὸς ἑῆος.

νύμφαις. aquis. ταῖς προύσης. Prusa oppidum est ab Hannibale conditum. Ptolemæus. προῦσα ἡ πρὸς τῷ ὀλύμπῳ ὄρει. in eo aquas esse natura calidas gustu tamen suaues quæ Basilicæ nuncupantur ex Athenæi libro secundo constat. θνητοῖσιν. habes in calce horum epigrammatum παύλου σιλεντιαρίου εἰς τὰ ἐν πυθίοις θερμὰ, ἡμίαμβια τρίμετρα καταληκτικά. Procopius libro quinto περὶ τῶν τοῦ ἰουστινιανοῦ κτισμάτων. πηγαὶ δὲ θερμῶν φύσει ἐν βιθυνοῖς ὑδάτων ἀναβλυστάνουσιν, ἐν χώρῳ ὅν περ ἐπωνομάζουσι πύθια. nec hic Pythiadas Castalij fontis aquas esse reor de quo Euripidis commentarius in Oreste & Phœn. Strabo libro θ. & Pausanias. τὸ ὕδωρ τῆς κασταλίας πιεῖν ἡδύ. Stephanus in uocabulo δελφοὶ Delphusam nominat. Cassiotidis fontis Pythias & Phœbades in adyto templi aquam haurire solitas inueni. Homeri enarrator cum Eustathio & Suida, Pytho & Delphos idem esse oppidum fatentur. Pausanias in Phoci. χρόνῳ δ' ὕστερον ἐπὶ πυθὼ τὴν πόλιν οὐ δελφοὺς μόνον ἐκάλεσαν οἱ προσοικοῦντες. nec Delphicum oraculum diuersum à Pythico censendum, eadem quoque est Parœmia Delphicus gladius & μαχαιρίδιον πυθικόν, in Luciani piscatore, licet θυτικὸν legant. νηιάδων. omnes aquæ. μὴ κίνει καμάρειναν. Erasmus in Adagione, Mouere Camarinam. ἀναβλύζει. ἀμβλύζει. ut stet uersus. πάντη. undique. ἔστεμμαι. tecta. cincta sum. τῷδε. τόδε. αὐλιωρῶν. caularum præsidibus. pecoris & armentorum custodibus. σκοπιάς. speculæ. οἰονόμος. an ouium pastor. an gregem in locis desertis pascens. Archias. ἔκρεκεν ὑψάρβοιο δ' ἰξύος ἀχέτα μολπὰν τέττιξ οἰονόμοις. ἵζευ. sede. μνᾶσαι δὲ κράναν. fontis huius sis memor. σιμός. Simus pater. ὠκεανοῦ θυγάτηρ. fontes è mari oriri ac flumina putant Socrates, Hesiodus atque Homerus, quibus hoc Peripatetici non concedunt. τηλεβόαι. Teleboæ. Taphij. πτερέλας. Pterelas Teleboarum rex (Plautus in Amphitryone) Martis filius. ἔνθεν. è fonte qui est in Olympo monte. fuit etiam in Arcadia fons Olympias. Pausanias. καὶ πηγή τε αὐτόθι ἐστὶν ὀλυμπιὰς καλουμένη, τὸν ἕτερον τῶν ἐνιαυτῶν οὐκ ἀπορρέουσα. ἣ. lege. ᾗ. cui fonti, aut quamobrem.

## ΕΙΣ ΠΟΙΗΤΑΣ.

Εἰς εἰκόνα ὁμήρου.

υἱὲ μέλητος ὅμηρε. σὺ γὰρ κλέος ἑλλάδι πάσῃ,
καὶ κολοφῶνι πάτρῃ, θῆκας ἐς ἀΐδιον.
καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας,
δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας.
ὑμνεῖ δ' ἣ μὲν, νόστον ὀδυσσῆος πολύπλαγκτον.
ἣ δὲ, τὸν ἰλιακὸν δαρδανίων πόλεμον.

Εἰς

Εἰς τὸν αὐτόν.

Τίς ποθ' ὁ τὸν τροίης πόλεμον σελίδεσι χαράξας,
ἢ τίς ὁ τὴν δολιχὴν λαρτιάδαο πλάνην,
οὐκ ὄνομ' εὑρίσκω σαφὲς, οὐ πόλιν. οὐράνιε Ζεῦ,
μήποτε σῶν ἐπέων δόξαν ὅμηρος ἔχει;

Εἰς τὸν αὐτόν.

Ὁποίας τὸν ὅμηρον ἀναγραψώμεθα πάτρης,
κεῖνον, ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις.
ἢ τὸ μὲν ἔστιν ἄγνωστον, ὁ δ' ἀθανάτοις ἴσος ἥρως,
ταῖς μούσαις ἔλιπεν πατρίδα, καὶ γενεήν.

Εἰς τὸν αὐτόν.

Οὐχὶ πέδον σμύρνης ἐλοχεύσατο θεῖον ὅμηρον,
οὐ κολοφὼν βυφορῆς ἄστρον ἰωνίης,
οὐ χίος, οὐκ αἴγυπτος εὔσπορος, οὐ Κύπρος ἁγνή,
οὐ νῆσος κραναὴ Λαρτιάδαο πάτρη,
οὐκ ἄργος δαναοῖο, κυκλωπείη τε μυκήνη,
οὐδὲ τὸ κεκροπίων ἄστυ παλαιογόνων,
οὐ γὰρ ἔφυ χθονὸς ἔργον. ἀπ' αἰθέρος ἀλλά ἑ μοῦσαι
πέμψαν, ἵν' ἡμερίοις δῶρα ποθητὰ φέρῃ.

Εἰς τὸν αὐτόν. Ἀντιπάτρου.

Οἱ μέν σευ κολοφῶνα τιθηνήτειραν ὅμηρε,
οἱ δὲ, καλὰν σμύρναν, οἱ δ' ἐνέπουσι χίον.
οἱ δ' ἴον. οἱ δ' ἐβόασαν εὔκλαρον Σαλαμῖνα.
οἱ δ' γῆν, τὴν λαπιθῶν μητέρα θεσσαλίην,
ἄλλοι δ' ἄλλην γαῖαν ἀνίαχον. εἰ δέ με φοῖβος
χρὴ λέξαι πινυτὰς ἀμφάδα μαντοσύνας,
πάτρα σοι τελέθει μέγας οὐρανός. ἐκ δὲ τεκούσης
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν ὁμήρου,
κύμη, σμύρνα, χίος, κολοφὼν, πύλος, ἄργος, ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ πόλεις μάρναντο σοφὴν διὰ ῥίζαν ὁμήρου,
σμύρνα, χίος, κολοφὼν, ἰθάκη, πύλος, ἄργος, ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Χῖος ἔφυς, οὐ φημί, τί δαὶ, σμυρναῖος; ἀπαυδῶ.
κύμη δ', ἢ κολοφὼν, πατρὶς ὅμηρε σέθεν;
οὐδετέρη. Σαλαμὶς δὲ τεὴ πόλις; οὐδ' ἀπὸ ταύτης
ἐξέφυν. ἀλλ' αὐτὸς λέξον ὅπῃ γέγονας.
οὐκ ἐρέω. τίνος ἡ χάρις; πέπεισμ' ὅτι τἀτρεκὲς εἰπὼν
ἕξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

Εἰς τὸν αὐτόν.

Εἰς αἰῶνος ὅμηρε, καὶ ἐξ αἰῶνος ἀείδῃ,
οὐρανίης μούσης δόξαν ἀειράμενος.

μῆνιν μὲν γὰρ ἄεισας ἀχιλῆος. αὐτὰρ ἀχαιῶν
ῥομβηδὸν νηῶν σύγχυσιν ἐν πελάγει,
τειρόμενόν τε πλάνῃσιν ὀδυσσέα ποικιλόβουλον,
τοῦ λέχος ἀσπασίως εἶσιδε πηνελόπη.

Εἰς τὸν αὐτόν.

Εἰ θεός ἐστιν ὅμηρος, ἐν ἀθανάτοισι σεβέσθω.
εἰ δ' αὖ μὴ θεός ἐστι, νομιζέσθω θεὸς εἶναι.

Εἰς τὸν αὐτόν.

Εὗρε φύσις μόλις εὗρε. τεκοῦσα δ' ἐπαύσατο μόχθων,
εἰς ἕνα μοῦνον ὅμηρον ὅλην τρέψασα μενοινήν.

Εἰς τὸν αὐτόν.

Τίς ποθ' ὁμηρείης μεγάλης ὀπὸς ἐστὶν ἀπευθής;
τίς χθών; τίς δὲ θάλασσα μάχην οὐκ οἶδεν ἀχαιῶν;
δῆμος ὁ κιμμερίων πανδερκέος ἄμμορος αἴγλης
ἠελίου, τροίης οὔνομ' ἔκλυεν. ἔκλυεν ἄτλας,
οὐρανὸν εὐρύστερνον ἔχων ἐπικείμενον ὤμοις.

Εἰς τὸν αὐτόν.

Διεξιὼν ὅμηρε τὴν κεκαυμένην,
φθονεῖν ἀφῆκας τὰς ἀπορθήτους πόλεις.

Ἀντιπάτρου εἰς εἰκόνα πινδάρου.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
οὐδὲ μάτην ἁπαλὸς ξουθὸς περὶ χείλεσιν ἑσμὸς
ἔπλασε κηρόδετον πίνδαρε σεῖο μέλι.
μάρτυς ὁ μαινάλιος κερόεις θεὸς ὕμνον ἀείσας
τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.

Εἰς τὸν αὐτόν. Κύρου ἀπὸ ὑπάτων.

Πίνδαρον ἱμερόεντα παρ' ὕδασι κῦρος ἐγείρει,
οὕνεκα φορμίζων, εἶπεν ἄριστον ὕδωρ.

Λεωνίδου ταραντίνου εἰς ἀνακρέοντα.

Πρέσβυν ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ,
θάεο δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,
ὡς γέρων λίχνοισιν ἐπ' ὄμμασιν ὑγρὰ δεδορκὼς,
ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν.
δισσῶν δ' ἀρβυλίδων, τὰν μὲν μίαν οἷα μεθυπλὴξ
ὤλεσεν. ἐν δ' ἑτέρᾳ, ῥικνὸν ἄραρε πόδα.
μέλπει δ' ἠὲ βάθυλλον ἐφίμερον, ἠὲ μεγιστᾶν,
αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν.
ἀλλὰ πάτερ διόνυσε, φύλασσέ μιν. οὐ γὰρ ἔοικεν
ἐκ βάκχου πίπτειν βακχιακὸν θεράποντα.

Λεωνίδου.

Ἴδ' ὡς ὁ πρέσβυς ἐκ μέθης ἀνακρέων
ὑποσκέλισται, καὶ τὸ λῶπος ἕλκεται
ἔστ' ἄχρι γυίων. τῶν δὲ βλαυτίων τὸ μὲν,
ὅμως φυλάσσει, θάτερον δ' ἀπώλεσεν.

μελίσ-

μελισδέτω δὲ τὰν χέλυν ἀκρέκτων,
ἤτοι Βάθυλλον, ἢ καλὸν Μεγιστέα.
φύλαττε Βάκχε τὸν γέροντα, μὴ πέσῃ.

Εὐγένους.

Τὸν τοῖς μελιχροῖς ἱμέροισι σύντροφον
Λυαῖον, Ἀνακρέοντα Τήϊον κύκνον,
ἔσφηλας ὑγρῷ νέκταρος μεληδόνι.
λοξὸν γὰρ αὐτοῦ βλέμμα, καὶ ποσὶ σφυροῖς
ῥιφθεῖσα λώπους ἕλκεται, καὶ μονοζυγὲς
μέθην ἐλέγχει σάνδαλον. χέλυς δ' ὅμως
τὸν εἰς ἔρωτας ὕμνον ἀθροίζεται.
ἄπτωτα τήρει τὸν γεραιὸν Εὔϊε.

Ἀδέσποτον. Εἰς τὸν αὐτόν.

Τήϊον ἀμφοτέρων με βλέπεις ἀκόρεστον ἐρώτων
πρέσβυν, ἴδον κούροις, ἴδον ἄδοντα κόραις.
ὄμμα δέ μου Βρομίῳ βεβαρημένον, ἠδ' ἀκκώμων
τερπνὰ φιλαγρύπνων σήματα παννυχίδων.

Εἰς εἰκόνα Σαπφοῦς. Δημοχάριδος.

Αὐτά σοι πλάσσειρα φύσις παρέδωκε τυπῶσαι
τὴν Μιτυληναίαν ζωγράφε Πιερίδα.
αὐγάζει τὸ διαυγὲς ἐν ὄμμασι, τοῦτο δ' ἐναργῶς
δηλοῖ φαντασίην ἔμπλεον εὐστοχίης.
αὐτομάτως δ' ὁμαλή τε, καὶ οὐ περίεργα κομῶσα
σὰρξ, ἀποδεικνυμένην τὴν ἀφέλειαν ἔχει.
ἄμμιγα δ' ἐξ ἱλαροῖο, καὶ ἐκ νοτεροῖο προσώπου
Μοῦσαν ἀπαγγέλλει Κύπριδι μιγνυμένην.

Εἰς εἰκόνα γραμματικοῦ. Ζηνοβίου
γραμματικοῦ.

Αὐτὴν γραμματικὴν ὁ ζωγράφος ἤθελε γράψαι.
Βίκτορα δὲ γράψας, τὸν σκοπὸν εἶπεν ἔχω.

Εἰς εἰκόνα Ἡσιόδου. Ἀσκληπιάδου.

Αὐταί ποιμαίνοντα μεσημβρινὰ μῆλά σε Μοῦσαι
ἔδρακον ἐν κραναοῖς οὔρεσιν Ἡσίοδε.
καί σοι καλλιπέτηλον ἐρυσσάμεναι περὶ πᾶσαι,
ὤρεξαν δάφνης ἱερὸν ἀκρέμονα.
δῶκαν δὲ κρήνης Ἑλικωνίδος ἔνθεον ὕδωρ,
τὸ, πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ.
οὗ σὺ κορεσσάμενος, μακάρων γένος, ἔργα τε μολπαῖς
καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.

Εἰς τὴν βίβλον Λυκόφρονος.
Ἄδηλα.

Οὐκ ἂν ἐν ἡμετέροισι πολυγνάμπτοις λαβυρίνθοις
ῥηϊδίως προμόλοις εἰς φάος, αἴκε τύχοις.
τοίους γὰρ Πριαμὶς Κασσάνδρη φοίβασε μύθους,
ἄγγελος οὓς βασιλεῖ ἔφρασε λοξοτρόχις.

ἔρδε σὺ φίλα Καλλιόπη, λάβε μὲν χέρας. ἦν δὲ
υἱὸς ἔφυς μουσέων χερσὶ βάθρος φορέεις.

Εἰς ὀππιανόν.

Ὀππιανὸς σελίδεσσιν ἁλίπλοα φῦλα συνάψας,
θῆκατο πᾶσι νέοις ὄψον ἀπειρέσιον.

Ἄδηλον.

Καλλιόπη βασίλεια γεώργιον ἔπτυεν ἰθῦσα,
οὗτος ἐμὸς γενέτης γνήσιος, οὐ κρονίδης.

ἀεῖδον. χρόνου. κούρας. Iliadem & Odysseam. λαερτιάδαο. Vlyssis. οὐκ ὄνομ' εὐρέσκω. Melesigenes ne an Homerus dici debeat. μήποτε. ὅρα subaudi. σῶν ἐπέων. quæ ipse scripseris. οὐ νῆσος κραναή. Ithaca. Hom. Odyss. α. ἠδ' ὅσσοι κραναὴν ἰθάκην. & π. δαναοῖο. Danai. παλαιογόνων, αὐτοχθόνων. Athenienses se indigenas ab eaq; quā incolebant terra procreatos & enutritos nobilitatē suam prædicātes gloriabantur. hoc docet Lysias in funebri cōcione, ac stylum exercēs Plato in Menexeno. Thucydidis interpres. ἐφόρουν δὲ τέττιγας, διὰ τὸ μουσικόν. ἢ διὰ τὸ αὐτόχθονες εἶν. καὶ γὰρ τὸ ζῶον γηγενές. hinc τεττιγοφόροι. Athenienses. ipsos in hoc insolenter se iactantes audiens Antisthenes nihil esse eos brucis & limacis nobiliores succlamauit. Quid Tzetzes. ὁ ἐριχθόνιος, ἐκ τῆς γῆς ὥς φασιν, ἀνεδόθη. ἀθηνᾶς γὰρ ἐλθούσης πρὸς ἥφαιστον ἕνεκεν ὅπλων κατασκευῆς, ἐρασθεὶς ἥφαιστος ἐδίωκε, καταλαβὼν δὲ, ὡς αὐτὴ πίπτει αὐτῷ περὶ τοὺς μηροὺς αὐτῆς ἀπεσπερμήνεν. ἡ δὲ μυσαχθεῖσα, ἐρίῳ τὴν γονὴν τὸν γόνον ἀπέρριψεν. ἀνεδόθη δὲ ὁ ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου κληθεὶς, καὶ τῆς χθονὸς, ὅθεν πάντας ἀθηναίους γηγενεῖς φάσκουσιν ἀπὸ τούτου. ἄλλοι δέ φασιν ὅτι λυπρόγεως ἡ ἀττική, καὶ οὐδέποτε ὑφ' ἑτέρων ἐθνῶν ἐξηλαθήσαν οἱ ἐν αὐτῇ διὰ τὸ ἄζηλον τῆς αὐτῆς χώρας, ὅθεν αὐτοὺς αὐτόχθονας καὶ γηγενεῖς ἔφασαν. ἑ. ipsum. ἡμερίοις. hominibus. εὔκλαρον σαλαμῖνα. pinguem uberem. κλῆρος. interdum accipitur pro mensura terræ. lege Aristophanis in Neb. scholia ibi. γῆν ἀναμετρεῖσθαι. sp. πότερα τὴν κληρουχικήν. τῶν λαπιθῶν. Lapitharum. Ouidius in Metamorph. & Tzetzes in historico. φοῖβος. castiga. φοίβου. ἔπλεο. matre Calliope editus es. ῥίζαν. originem. stirpem. λέξον. dic. πέπεισμαι. scio. τὰς ἄλλας. urbes. νηῶν σύγχυσιν. Odyss. δ. nec hoc ad nauium Catalogum qui est Ilia. β. pertinere existimo, in quo Homerus 1186. naues recēset, Dictys 1289. Dares 1140. alij 1170. ad Troiana litora peruenisse scribūt, tametsi classis illa χιλιόναυς à poetis, à Strabōe χιλιοναύστολος uocet, & mille rates ac mille carinas nostri fuisse canant. Varro. si in quā numerus nō adamussim, ut nō est, cū dicimus mille naues ijsse ad Troiam. εἶσιδε. uidit. ὀπός. uocis. ἄμμορος αὐγῆς. Eras. in prouerb. cimmeriæ tenebræ. Homerū in suā linguā cōuersum Indos habuisse legimus. κιμμερίων. septētrionales populi. ἄλλας. & Meridionales prouinciæ. τὴν ἐκκαυμένην. Troiam. φθονερὰν ἀφῆκας. Troiæ excidio inuident aliæ, propter quod semper uictura est. νεβρείων. ossicorum. ὑπὲρ πάντας. aliorum Lyricorū. περὶ χείλεσιν ἑσμός. hoc ante exposuimus. ὕμνον ἀείδει. Plutarchus. ὁ πίνδαρος ἀκούων ὑπὸ τοῦ πανὸς ᾀδόμενόν τι μέλος, ὧν αὐτὸς ἐποίησε, μετρίως ἔχαιρεν. idem in Numa. πινδάρου δὲ καὶ τῶν μελῶν ἐρασθεὶς γενέσθαι τὸν πᾶνα μυθολογοῦσι. Aristes. πινδάρου μὲν γὰρ ὁ πὰν τὸν παιᾶνα ὠρχήσατο ὡς λόγος. Philostratus imagin. 2. φασὶ δὲ τὸν πᾶνα ὅτε πίνδαρος ἐς τὸ ποιεῖν ἀφίκετο, ἀμελήσαντα τοῦ σκιρτᾶν, ᾄδειν τὰ τοῦ πινδάρου. consentit Thomas Magister. νομίων δονάκων. fistularū pastoraliū. ἐγεῖρε. Pindari statuā collocat. ἄθρει. aspice. δυωδεκαΐδος. mēsē rotūdæ. ὑγρά. lasciue. ἀρβυλίδων. calceorū. ὑπόθεσις. thema. ἄρω. apro, congrue. ἀείρων. attollēs. βακχιακὸν θεράποντα, θεράποντα, bibacē hominē. Adde nō tantū Apollini

sed

sed etiã Baccho poetas sacros esse. ἀπεδνήλισαι in terrã deiectus est. βλαυτίων. crepidarũ. ἱμέροισι. cupidinibus, amorib. λυαῖος. ὁ Bacche. νέκταρος. uini. ὁ μονοζυγές. nam alterũ calceũ amisit. ἀπτῶτε. uide ô Liber ne cadat. τηΐου. Teium. ᾠδ', & πηκτίδα, musam. εἰς εἰκόνα γραμματικοῦ. hoc ita emendo. εἰς εἰκόνα βίκτωρος γραμματικοῦ, ζήνωνος γραμματικοῦ. μεσημβρινά. meridie. ἔδρακε). uiderũt. δάφνης ἀείρομονα. Hesiodus in Theogonia. καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον, δῶκαν δὲ κρήνης. de Hippocrene ibidem. πῶλον. Pegasi equi. μακάρων γένος. Theogoniam. hanc curiosiores Hesiodi esse non putant. ἔργα. opera & dies. quo in libello γένος ἀρχαίων, qui aurea qui argentea ætate uixerunt pertractat. οὐκ ἂν ἐν ἡμετέροισι. hoc supra & illud ἔλθετε. φῦλα. pisces. οὐ κρονίδης. nam Iouis & Mnemosynes filiæ habentur Musæ.

## ΕΙΣ ΠΟΛΕΙΣ.

Εἰς ἡράκλειαν τὴν πόντου.
Ἀδέσποτον.

Εἰ πόλιν ἡρακλῆος ὁμώνυμον οἶδα καὶ ἄλλην,
ἴσθι με τὴν πόντου μηδὲν ἀτιμοτέρην.

Εἰς μῶλον ἐν σμύρνῃ τῆς θαλάττης ᾠκοδομημένον, ἐν ᾧ καὶ ὑδρεῖον.
Ἀδέσποτον.

Τίς βυθὸν ἠπείρωσε; τίς ἐν ῥοθίοισιν ἔτευξεν
ἀκτὴν ἀμφιρύτην λάεσι μαρμαρέοις;
τίς δ' ἐνὶ κύμασι τεῦξε πόρον, πλωτῆρας ἀφύσσειν
αὐτῶν ἐκ νηῶν χερσὶν ἀρυομένους;
οὗτος ὁ ποικιλόμητις ἀνὴρ Βενέτιος ἀμύμων,
κτίσμασι νικήσας Θησέα καὶ Πέλοπα.

Εἰς φάρον ἐν τῇ αὐτῇ.

Τίς τόσον ἔργον ἔτευξε; τίς ἡ πόλις; ἢ τὸ γέρας τίς;
ἀμβρόσιος, μυλασεύς, τὸν φάρον, ἀνθύπατος.

Εἰς φάρον ἀλεξανδρείας.
Ἀδέσποτον.

Πύργος ἐγὼ ναύτῃσιν ἀλωομένοισιν ἀρήγων
εἰμί, Ποσειδάωνος ἀπορνθέα πυρσὸν ἀνάπτων.
καί με πεσεῖν μέλλοντα βαρυγδούποισιν ἀήταις,
στῆσεν ἑοῖς καμάτοις Ἀμμώνιος, ὃς βασιλῆος
ἔσσι πατήρ. κείνῳ δὲ μετ' ἄγρια κύματα ναῦται,
χεῖρας ἀερτάζουσιν, ἅτε κλυτῷ ἐννοσιγαίῳ.

Εἰς τὸν αὐτὸν ἐν σμύρνῃ.

Μηκέτι δειμαίνοντες ἀμεμφέα νυκτὸς ὁμίχλην,
ὡς ἐμὲ θαρσαλέως πλώετε ποντοπόροι.
πᾶσιν ἀλωομένοις τηλαυγέα δαλὸν ἀνάπτω,
τῶν ἀσκληπιαδῶν μνημοσύνην καμάτων.

Ἐν ἄσσῳ. Ἀδέσποτον.

Πᾶσα μὲν ἀξιόχῳ πόλις εὔχεται, ἄλλο γὰρ ἄλλης
πῆμα παρασέχων, ὡς θεὸς ἠκέσατο.

ἔξοχα δὲ, κρηναῖα ῥόον ὕδατος ὤπασεν ἄστῳ,
πολλῶν πετραίων σκληρὰ μέτωπα τεμών.
μηκέτι φθέγγεσθε πάντες ἐπιβδεύοντες ὁδῖται,
πλημμύρῳ ψυχροῖς ὕδασιν ἀξιόχου.

Εἰς τὴν Εὐγενίου πύλην ἐν Βυζαντίῳ.

Οὗτος ἰουλιανὸς λαοσσόα τείχεα πήξας,
στῆσε τρόπαιον, ἑῆς σύμβολον ἀγρυπνίης,
σφαῖσιν ἀνιβίους ἐχθροὺς ἀπαίνυθε μηνιωῶν,
ἃ πρὸ πάροιθε κροτεῖν τῆς πόλεως πόλεμους.

Εἰς τὴν ἀψίδα ἐν τῇ Βασιλικῇ, ἐν Βυζαντίῳ.

Τετραπόροις ἀψῖσι πόλιν Θεόδωρος ἐγείρας,
ἄξιός ἐστι πόλιν καὶ τέτρατον ἡνιοχεύειν.

Εἰς τὸ ἕτερον μέρος τῆς αὐτῆς ἀψῖδος.

Ἔπρεπέ σοι Θεόδωρε τύχης ζυγίοισι νηὸν
ἔργου κοσμῆσαι θαύματι τοσσατίου,
δῶρα τε κυδήεντα πορεῖν χρυσέασι δὲ ῥώμη,
ἥ σ' ὕπατον τεῦξεν, καὶ τρισέπαρχον ὁρᾷ.

Εἰς τὴν Μόψου ὁδόν.

Μόψου τήνδ' ἐνορᾷς κλεινὴν πόλιν, ἥν ποτε μάντις
δείματο, τὴν ποταμοῦ κάλλος ὑπερβαίνεις.

Ἄδηλον.

Τήκει καὶ πέτρην ὁ πολὺς χρόνος. ἀλλ' ἀρετάων
ἀσκληπιοδότου τὸ κλέος ἀθάνατον.
ὅσσα, καὶ οἷα πόρεν γαίῃ πατρίδι. τοῖς δὲ πᾶσι,
καὶ τόδε μετρείσθω κοῖλον ἔρεισμα θόλου.

Εἰς τὴν πύλην ξυλοκέρκου ἐν Βυζαντίῳ.

Θευδόσιος τόδε τεῖχος ἄναξ, καὶ ὕπαρχος ἑῷας
Κωνσταντῖνος, ἔτευξαν ἐν ἤμασιν ἑξήκοντα.

Εἰς τὴν πύλην τοῦ ῥηγίου ἐν Βυζαντίῳ.

Ἤμασιν ἑξήκοντα φιλοσκήπτρῳ βασιλῆϊ
Κωνσταντῖνος ὕπαρχος ἐδείματο τείχεϊ τεῖχος.

Εἰς τὴν πύλην τοῦ ἄργους.

Τήνδε πύλην λάεσσιν ἐΰξέστοις ἀραρυῖαν
ἀμφοτέρων κόσμον τε πάτρης, καὶ θάμβος ὁδίταις
τεῦξε Κλέης, Κλεάδης ἀγαυῆς πόσις εὐπατερείης.
ἀθηναίων ἀδύτων κοσμήτορος ἀργειφάντης,
τερπόμενος δώροισιν ἀγαθῶν Βασιλήων.

Ἀγαθίου σχολαστικοῦ.

Γαῖα τὸ βροτέων σπατάλημα, καὶ ἡ πολύολβος ἐκεῖσε δὴ,
ἐνθάδε κεινομένη, τὴν πρὶν ὄλεσσε χάριν.
οἱ γὰρ φασιανοί τε, καὶ ἰχθύες, αἵ θ' ὑπὲρ ἴγδην
τρίψιες, ἥτε τόση βρώματος ἐξαπάτη,
γίγνεται ἐνθάδε κόπρος. ἀκροσύνα δ' ἄρα γαστὴρ
ὁπόσα πανταλέης δέξατο λαιμαργίη.

ὀψὲ δὲ γιγνώσκει τις, ὅτ' ἄφρονα μῆτιν ἀείρων,
χόρτου ποσατίου τὴν κόνιν ἐπρίατο.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Τί στενάχεις κεφαλὴν κεκαρωμένος; ἐς τί δὲ πικρὰ
οἰμώζεις, μελέων πάγχυ βαρυνομένων;
ἐς τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις
ἐκθλῖξαι δολιχῶν μάστακος ἐργασίην;
μόχθων ποσατίων οὔ σοι χρέος, εἰ παρὰ δαιτὶ
μὴ τοῦ ἀναγκαίου πουλὺ ὑπεξετάθης.
ἀλλ' αὐτὶ μὲν στιβάδος φρονέεις μέγα, καὶ στόμα τέρπεις
βρώμασιν, εὐτυχίην κεῖνα λογιζόμενος.
ἐνθάδε δ' ἀσχάλλεις. μούνη δ' ἀλιτήματα λαιμοῦ
ἡ γαστὴρ τίνει πολλάκι τυπτομένη.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Εὖγε μάκαρ τλήθυμε γεωπόνε, σοὶ βίος αἰεὶ
μίμνειν, καὶ σκαπάνης ἄλγεα, καὶ πενίης.
λιτὰ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδεις
ὕδατος ἐμπλήσας λαιμὸν ἀμετροπότην,
ἔμπης δ' ἀρτίπος ἐσσί, καὶ ἐνθάδε βαιὰ καθεσθεὶς,
αὐτίκα γαστέρα σὴν θῆκας ἐλαφροτάτην.
οὐδὲ καταψήχεις ἰσχὺν ῥάχιν, οὐδὲ σὺ μηροὺς
τύπτεις, αὐτομάτως φόρτον ἀπωσάμενος.
τλήμονες, οἱ πλουτοῦσι, καὶ οἱ κείνοισι συνόντες,
οἷς πλέον ἀρτεμίης εὔαδεν εἰλαπίνη.

Ἀντιπάτρου.

Τίς τόδε μουνόγληνος ἅπαν δωμήσατο κύκλωψ
λάϊνον ἀστυφελὲς χῶμα Σεμιράμιος;
ἢ ποῖοι χθονὸς υἷες ἀνυψώσαντο γίγαντες
κείμενον ἑπταπόρων ἀγχόθι πληϊάδων;
ἄκλινες, ἀστυφέλικτον, ἄθωος ἶσον ἐρείπνᾳ
φυρηθὲν γαίης εὐρυπέδοιο βάρος.

Εἰς σωτήρια ἐν σμύρνῃ.

Εἰ τραφερῆς πάσης ἀλιτέρμονα κύκλον ὁδεύσεις,
οὔποτέ μοι τινὰ χῶρον ἀρείονα τοῦδε νοήσεις,
θέσκελον οἷον ἔτευξεν ἀγακλειτὸς Ἰωάννης,
κυδαίνων βασίλειαν ὅλης χθονός. ἐκ ῥοθίων γὰρ
τέρπωλὴν ἀκόρητον ἐν ἄστεϊ θῆκεν Ὁμήρου.

Μακεδονίου.

Τμώλῳ ὑπ' ἠνεμόεντι ῥοὴν παρὰ γείτονος Ἕρμου
Σαρδιαλέη Λυδῶν ἔξοχός εἰμι πόλις.
μάρτυς ἐγὼ πρώτη γενόμην Διός. οὐ γὰρ ἐλέγχειν
λάθριον υἷα Ῥέης ἤθελον ἡμετέρης.
αὐτὴ καὶ Βρομίου γενόμην τροφός. ἐν δὲ κεραυνῷ
ἔδρακον εὐρυτέρῳ φωτὶ φαεινόμενον.

πρὸ

πρώταις δ' ἡμετέροισιν ἐν ὀργάδσιν οἰνὰς ὀπώρη
οὖθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος.
πάντα με κοσμήσαντο. πολὺς δέ με πολλάκις αἰὼν
ἄστεσιν ὀλβίστοις εὗρε μεγαιρόμενον.

Ἐν τῷ πορφυρῷ κίονι εἰς τὸ Φιλαδέλφιον.

Εὔνους μὲν βασιλεῖ Μουσήλιος. ἔργα βοῶσι
δημόσια. ἀτρεκίην πράγματα πᾶσιν ἔχει.
μουσεῖον ῥώμῃ δ' ἐχαρίσατο, καὶ βασιλῆος
εἰκόνα θεσπεσίην, ἣν πρὸς ἔγραψε δόμων.

Εἰς τὸ αὐτό.

Τιμὴν μουσοπόλοις, πόλεως χάριν, ἐλπίδα κυρῶν,
ὅπλα δὲ ταῖς ἀρεταῖς, χρήματα τοῖς ἀγαθοῖς.

Εἰς τὸ αὐτό.

Ταῦτα λόγοις ἀνέθηκεν ἑκὼν Μουσήλιος ἔργα,
πιστεύων καθαρῶς ὡς θεός ἐστι λόγος.

οἶδα καὶ ἄλλων. sunt tres & uiginti Stephano. εἰς μῶλον. munitiões uocat D. Cyprianus, Iosephus προκυμαῖα, moles nõnulli, Veneti & Ligures El Molo. qualis Genuæ & Corcyræ spectat. Procopius περὶ τῶν Ἰουστινιανοῦ κτισμάτων. πρὸς δὲ καὶ τῇ ἑκατέρωθι τοῦ ἰσθμοῦ θάλασσαν, προβόλους πεποιημένοι βραχεῖς τε καὶ φαύλους, ὥσπερ καλεῖν νενομίκασι μώλους. ἐν ῥοθίοισι. in mari. πότον. ὑδρεῖον. ἀφύσσειν. ὥστε ut nauigãtes aquã exhauriant. θυσία καὶ τέλεσμα. quorũ hunc Argos, illũ Athenas instaurasse uult. ἡ πόλις. Mylasia. ἡ τὸ γέρας. quẽ magistratũ gerẽs. τὸ φαῦρον. ἔτευξε. κενῷ. Ammonio. ἐνοσπαίῳ. eos seruanti. τῶν ἀσκληπιαδῶν. ἀσκληπιάδαι οἱ τοῦ ἀσκληπιοῦ ἀπόγονοι. οἱ ἰατροὶ δὲ λέγονται καταχρηστικωτέρως ἀσκληπιάδαι σύμπαντες. inquit Tzetzes. πᾶσα πόλις. uniuersæ ciuitates. ἀξιόχῳ. Axiocho. παρασείχων. ad eam urbem accedens. πῆμα. quod bello, incendio, aut terræmotu cõtigerit. ἄσσῳ. Assos quæ & Apollonia Aeolidis. ῥόον ὕδατος. aquæ ductum. φθύγετε. in quam Homerico carmine iocatus est Nicostratus. ἄσσον ἴθ' ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι. μερμηρίζων. cogitans. ἡνιοχεύειν. qui regat. ῥώμη. Constantinopoli. βασιλέα παρχον. maximũ prætorem. præfectũ. alij τρὶς ὕπαρχον. κλεινὴν πόλιν. Stephanus ibi. μόψου ἑστία. ἥν ποτε μάντις. Mopsus. τῷ ποταμῷ. Pyramo. urbẽ flumini impositam Mopsum uocat Plin. ea μόψου ἑστία & μοψουεστία nominatur. θόλον. Tholum pro ædificio rotũdo columnato usurpauit Varro. τεῖχος ἑῴας. murum portæ Xylocirci orientẽ spectantis. τοῦ ῥηγίου. arcis Cõstantinopolitanæ. Agathias in bello Gothico. frequentiores ea sunt nocte euersæ domus & præsertim in regio. urbis arx Regium est. λερναίων ἀδύτων ἀργειοφόντης. portarum ad orientẽ uergentium & in lacũ fontem aut oppidũ Lernam spectantiũ, qua prius in oppidũ Argos ingressus nõ erat cõstructor. alludit ad uocẽ ἀργειφόντης. εἰς σωτήρια. cloacã omniũ Smyrnæ sordiũ receptaculũ. φασιανοί. Phasiani aues. ῥίψεις. intrita, pulmentaria. ἀρτάπτεις. Lenociniũ. λαυκανίῃ aut λευκανίῃ. gutture. Homerus. ἀπ' ὤμων αὐχὴν ἔχουσι λευκανίης. ὅτ' ἄφρονα. rebus transactis sapienter cõsulens. prouerbium est. παθὼν δέ τε νήπιος ἔγνω & ῥεχθὲν δέ τε νήπιος ἔγνω. τὴν κόνιν. Phasianos & Acipenseres, stercus atque oletum cõtinuo futuros. ἐκθλίψαι. ut aluum exoneres. μάσταξ. gulæ. μὴ τοῦ ἀναγκαίου. βρώματος. id est superfluo & nimio cibo uentrẽ ne repleueris quẽ cõcoquere stomachus nequeat. περιεξετάσῃς. saturis distẽtus sit uẽter. ὧδε μὲν εἰβάδος. in lecto discũbens, pransurus aut cœnaturus

turus.idem infra Agathias.ἐκεῖ ποτὶ δεῖπνον ἐπελθὼν, ξυμῷ κεκλιμένον ἔδρακον ἐν σιδάλ.ϐείνα.luxum illum.ἐνθάδε. in hac latrina. ἐλιτήματα λαιμοῦ.gulam.ingluuiem.γεωπόνε. Agricola.τλήθυμε.fortis.μέμνεν.liceat. contingat. ἐν ἐνθάδε. cibos egerens.φόρτον.onus.oletũ.οἱ κήνοισι συνόντες.& qui eorum mensas sectantur.ἀρτεμίης.sanitatis.μουνόγληνος.μονόφθαλμος.κύκλωψ. admirandæ proceritatis homines quales fuerunt cyclopes sed imprimis Polyphemus, quem ob corporis magnitudinem promontorio comparat Homerus, qua ille fretus nõ ingenio cuius expers erat se non nisi à sui simili monstro superatum iri existimabat.sic enim de eo scribit Odyss. 9.ἀλλ' αἰεί τινα φῶτα μέγαν καὶ καλὸν ἐδέγμην. ex hoc uersu enarratur Cicero lib.Epist.ad Q.fratrem primo, & prouerbium semper aliquem uirum magnum.ubi Erasmus memoria uacillat. & in prouerbio Alcinoi apologus quod explanat Græcus Rhetorico.Aristotelis interpres libro tertio,alia sciens pretereo.χῶμα σεμιράμιος.Herodotus in Clio. χῶμα δὲ τῆς χώσ παρ' ἑκάτερον τοῦ ποταμοῦ χεῖλος ἄξιον θώματος aut tumulum. idem paulo post Herodotus: τάφον ἑωυτῇ κατεσκευάσατο μετέωρον ὑπὲρ πολέος αὐτέων τῶν πυλέων τοῦ ἄστεος. Athenæus. ἴδοις δ' ἂν καὶ τῆς πελοποννήσου πανταχοῦ, μάλιστα δ' ἐν λακεδαίμονι χώματα μεγάλα, ἃ καλοῦσι τάφους τῶν μετὰ πέλοπος φρυγῶν. declarat Varinus in uerbo θάπτειν. alij muros Babylonios, & Beli fanum. Dionysius.αὐτὰρ ἐπ' ἀκροπόλει μέγαν δόμον εἴσατο Βήλῳ.ἀγχόθι πληϊάδων. ad cœlum usq. τραφερῆς. terræ. ἐν ἄστει ὁμήρου.Smyrnæum fuisse Homerum fassi sunt quamplurimi.τμώλῳ.Plinius lib.cap.5.cap.29.& Plutarchus περὶ ποταμῶν.Timolus Ouidio,Senecę tragico κατὰ ποιητικὸν χηματισμόν ac priscis incolis.ἑρμοῦ. fluminis.γεινόμενον διός.Iouem in monte Tmolo Sardibus proximo matri deûm sacro è quo caput tollit Hermus flumen,genitum non recte autumat Macedonius.Callimachus cui omnes assentiuntur,Iouem δικταῖον ἢ λυκαῖον, Cretẽsem aut Arcadem arbitratur.ἐκ ῥείης.Iouem.Rheæ filium. ἡμετέρης.apud nos cultæ. ἐν βρομίῳ.Baccho.non Thebæ Bœotiæ neq; Nysa. Arrianus lib.5.ὅς ἂν δὲ οὐδὲ ὁ διόνυσος καὶ ὁπότε ἐς ὅθεν ἐπὶ ἰνδοὺς ἐστράτευσεν οὐκ ἔχω συμβαλεῖν, ἢ ὁ θηβαῖος διόνυσος, ὅς ἐκ θηβῶν, ἢ ἐκ τμώλου τοῦ λυδίου ὁρμηθεὶς, ἐπὶ ἰνδοὺς ἥκει στρατιὰν ἄγων. Euripides in Bacchis. τὸν ἀνθεμώδη τμῶλον οἶδ' ἤ που κλύων;οἶδ' ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.ἐν τ' οὔθειν ἄμμι.λυδία δέ μοι πατρίς. ἐν δὲ.ἐν.uacat. οἴνας ὀπώρης. uitis. γάνος.uinum.ἄστεσιν ὀλβίοισι. Athenis,Erytris,Lacedæmone.Pella,id est Macedonibus. ἔργα βοῶσι. Demosthenes. ταῦτα οὐχὶ βοᾷ. φιλαδέλφιον. Musæum,à Ptolemæo Philadelpho ita cognominatum qui bibliothecam Alexandrinam construxit.fuit & Athenis Musæum.quæ uox præter notas significationes Philostrato in sophistis τράπεζα αἰγυπτία, ξυγκαλοῦσα τοὺς ἐν πάσῃ τῇ γῇ ἐλλογίμους dicitur.μυθοπόλοις. Musæum fecit in quo poetarum scripta seruabantur. κούρων.puerorum.ὡς θεός.de trinitate cum orthodoxis sentiens.

## ΕΙΣ ΠΟΤΑΜΟΥΣ.

Σιμωνίδου.

Ὦ ἴτε Δήμητρος πρὸς ἀνάκτορον, ὦ ἴτε μύσται.
μηδ' ὕδατος προχοὰς δείδετε χειμερίους.
τοῖον Ξεινοκλῆς γὰρ ὁ λίνδιος ἀσφαλὲς ὕμμιν
ζεῦγμα διὰ πλατέος τοῦδ' ἔβαλεν ποταμοῦ.

Εἰς ἀλφειὸν, ἢ ἀρέθουσαν.

Ἀλφειὸς, ἄρρην ὕδωρ, ἀρεθουσίον ἔστι τὸ θῆλυ.
καὶ πόντου ὑγρὸν ὄφις, κιρναμένων ὑδάτων.

Εἰς στρυμόνα, Τυλλίου γεμίνου.

Εἰμὶ μὲν ἐν ποταμοῖς, πελάγευς δ' ἶσα μέτρα διώκω
 στρυμὼν, ἠμαθίης τὸ γλυκερὸν πέλαγος.
Βρύθος ὁμοῦ, καὶ ἄρουρα δι' ὕδατος. ἢ γὰρ ἐγείρω
 ὀμπνιακῶν χαιτῶν πολύστροφον πέβολον.
ἔστι καὶ ἠμαθίης γόνιμος βυθός. ἄμμι δὲ νεῖλε,
 κρείσσων ἐσθ' ὁ φέρων τὸν στάχυν, οὐχ ὁ τρέφων.

Ἀγαθίου σχολαστικοῦ εἰς γέφυραν
τοῦ Σαγγαρίου.

Καὶ σὺ μεθ' ἑσπερίην ὑψαύχενα, καὶ μετὰ μήδων
 ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην
Σαγγάριε, κρατεροῖσι ῥοὰς ἁψῖσι πεδηθείς,
 αὐτὸς ἐδουλώθης κοιρανικῇ παλάμῃ.
ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρής,
 κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

Δήμητρος. Quæ Eleusine Atticæ uico colebatur. ἱρὴ, uia sacra. ξενοκλῆς. ξεινοκλῆς. ut metrum fulciam. ποταμοῦ. Cephisi amnis. Sophoclis glossemata. ὅθεν πρὸς τὸν κηφισὸν ἕως τῆς μυστικῆς εἰσόδου εἰς ἐλευσῖνα. Hesychium in uoce γεφυρισταί exponit Strabo. ὁ κηφισὸς διὰ τοῦ πεδίου ῥέων, ἐφ' οὗ καὶ ἡ γέφυρα καὶ οἱ γεφυρισταί. Pausanias. ῥεῖ δὲ κηφισὸς πρὸς ἐλευσῖνι. Eusebius fortassis hoc interpretatur. Cephisus amnis Eleusinem inundauit, quem Adrianus ponte coniungens Athenis hyemem egit. κιρναμένων ὑδάτων. Alphæum Arethusæ Syracusano fonti misceri ex quorundam opinione ostendimus. ἠμαθίης. Macedoniæ. βρύθος. ὕδωρ. ὀμπνιακῶν. Cerealiū. πέβολον. Castigo τρίβολον. Plinius lib. 21. cap. 16. Tribulus nō nisi in palustribus nascitur, dira res alibi: iuxta Nilum & Strymonem amnes excipitur in cibis, inclinatus in uadum folio ad effigiem ulmi, pediculo longo. ac rursum lib. 22. cap. 10. Thraces qui Strymona habitant foliis tribuli equos saginant, ipsi nucleo uiuūt. Plinius superiora ex Theophrasti 4. de plantis, posteriora ex 4. Dioscoridis compilauit. βυθός. flumina. οὐχ ὁ τρέφων. ut tu inundans. ἑσπερίην. Italiam. Gothorum in Italia deletos exercitus. μήδων. Persarum. βαρβαρικὴν ἀγέλην. Vandalos subactos à Iustiniani legatis. Σαγγάριε. Plutarchus Iunior in libello de fluminibus, hunc amnem Sangarim cum Procopio, Myrleanus Sangarum, Theodoritus Sagarum, Doctissimi quique post Homerum & Hesiodum Sangarium uocant. ἁψῖσι πεδηθείς. Procopius libro περὶ τῶν τοῦ ἰουστινιανοῦ κτισμάτων quinto. ὁ μέγας δὲ ποταμὸς, ὅν περ σαγγάριν καλοῦσιν νῦν. &c. βασιλεὺς δὲ ἰουστινιανὸς, γέφυραν αὐτοῦ ἐγκεχείρηκεν ἐποικοδομεῖσθαι. ταννῦν ἀρξάμενος τοῦ ἔργου, πολλὴν δὴ αὐτῷ διατριβὴν ἔχει, ὅπερ εὖ οἶδα, ἀποτελέσει οὐ πολλῷ ὕστερον, τιμωρούμενος ὅτι δὴ αὐτοῦ τὰ ἔργα συνεπιλαμβάνεται ὁ θεὸς ἅπαντα. κοιρανικῇ παλάμῃ. Iustiniani imperatoris manu. ἀλυκτοπέδῃ. ponte.

ΕΙΣ ΠΡΟΑΣΤΕΙΑ.

Κωμητᾶ χαρτουλαρίου.

Εἰπὲ νομεῦ, τίνος εἰσὶ φυτῶν στίχες; αἱ μὲν ἐλαῖαι,
 Παλλάδος. αἱ δὲ πέριξ ἡμερίδες; βρομίου.
καὶ τίνος οἱ στάχυες; Δημήτερος. ἄνθεα ποίων
 εἰσὶ θεῶν; ἥρης, καὶ ῥοδέας παφίης.

καὶ

παῦ φίλε, πηκτίδα μέμνε τεοῖς ἐπὶ χείλεσι σύριγξ.
 ἠχὼ γὰρ δήεις κισσοῦ ἐνὶ θηλοπέδοις.

Ἀραβίου σχολαστικοῦ.

Ὕδασι, καὶ κήποισι, καὶ ἄλσεσι, καὶ Διονύσῳ,
 καὶ πόντου πλήθει γείτονος εὐφροσύνη.
τερπνὰ δέ μοι γαίης τε, καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος,
 καὶ γριπεὺς ὀρέγει δῶρα, καὶ ἀγρονόμος.
τοὺς δ' ἐν ἐμοὶ μίμνοντας, ἢ ὀρνίθων τις ἀείδων,
 ἢ γλυκὺ πορθμήων φθέγμα παρηγορέει.

Εἰς ἕτερον προάστειον ὀνομαζόμενον ἔρωτα ἐν ἀμασειᾳ. Μαριανοῦ σχολαστικοῦ.

Ἡ καλὸν ἄλσος ἔρωτος, ὅπου κατὰ δένδρεα ταῦτα
 πρηῢς ἐπιπνείων ἀμφιδονεῖ ζέφυρος.
ἧχι καὶ ἑρσήεις ἀμαρύσσεται ἄνθεσι λειμὼν
 πουλὺν ἰοστεφάνων κόσμον ἀνεὶς καλύκων.
καὶ γλυκερῆς τρίστοιχος ἐπεμβαδὸν ἄλλος ἐπ' ἄλλῳ
 μαζὸς ἀναβλύζει χεύματα νηϊάδος.
ὁππόθι δενδρήεντα γερῶν παρακηχεῖται ἴρις
 χῶρον ἀμαδρυάδων ἔνδιον ἀβροκόμων.
καὶ λιπαρῆς εὐβότρυων ἀν' ὀργάδα καρπὸς ἐλαίης
 θάλλει. βριταφύλλων πάντοθι θηλοπέδων.
αἱ δὲ περὶξ λαλαγεῦσιν ἀηδόνες. αἷς δὲ, μελίζει
 ἀντῳδὸν τέττιξ φθέγματος ἁρμονίαν.
ἀλλὰ τὸν ἀκλήϊστον ὅπως ξένε μήμε παρέλθῃς
 τόνδε δόμον, λιτῆς δ' ἀντιάσεις ξενίης.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Δεῦρ' ἴθι βαιὸν ὁδῖτα πόδων ὑπὸ δάσκιον ἄλσος,
 ἀμπαύων καμάτου γυῖα πολυπλανέος,
χῶρον ὅπου πλατάνων αὐτόῤῥυτον ἐν μέσον ὕδωρ
 καλὰ πολυκρούνων ἐκπορέει στομάτων.
ὁππόθι πορφυρέης ὑπὲρ αὔλακος εἴαρι θάλλει
 ὑγρὸν ἴον, ῥοδέῃ μιγνύμενον κάλυκι.
ἠνὶ δὲ πῶς δροσεροῖο πέδον λειμῶνος ἐρέπτων
 ἐκχυτὸν εὐχαίτης κισσὸς ἔπλεξε κόμην.
ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην,
 πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.
οὗτος ἔρως. τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ
 πάντοθεν ἱμερτῶν πληθομένῳ χαρίτων;

πηκτίδα. fistulā. δήεις. inuenies. ὕδασι, & κήποισι. suburbiū loquitur. & Διονύσῳ. uinetis. ἀγρονόμος. rusticus. ἐν ἀμασίᾳ. urbe pōti. ἀμφιδονεῖ. cōmouet. ἧχι. qua. ἀμαρύσσεται. relucet. τρίστοιχος μαζός. aqua saliēs tribus fistulis &c. eę porro applūbatæ interdū extra parietem prominent, interdum introrsus latent eminente tantū mamma ærea Mastes uerbo Græco dicta quod usurpauit Vitruuius. has M. Varro, de re rustica papillas nominat, Cassiodorus ubera. ἴρις. Iris flumen. εὐβότρυων ὀργάδα. uineta. ὅπως ξένε. ὅρα. uide. caue. subaudio. λιτῆς. has meas preces audi. ὕδωρ. aqua saliēs. ἐκπορέει. multis fistulis aut tubulis effluit. εἴαρι. uere. ἔπλεξε κόμην, concinnauit. λασίην. herbidam. ὑποξύων stringens. radens. οὗτος ἔρως, ὀνομάζεται.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΡΗΤΟΡΩΝ.

Εἰς εἰκόνα Πτολεμαίου ἐν ἀντιοχείᾳ. Ἀδέσποτον.

Εἰκὼν, τίς σ᾽ ἀνέθηκε; λόγοι. τίνος ἐστί; Πτολεμαίου.
ποίου; τοῦ κρητός. τοῦ χάριν; ἀντ᾽ ἀρετῆς.
τῆς ποδαπῆς; πάσης. τὴν εἰς τίνας; εἰς δικολέκτας.
καὶ ξύλον ἀρκεῖ; ναί. χρύσεον οὐ δέχεται.

Ἀραβίου σχολαστικοῦ.

Εἰκόνα λογγίνῳ χρυσέην πόλις ἤθελ᾽ ὀπάσσαι,
εἰ μὴ πότνια δίκη χρυσὸν ἀπεστρέφετο.

Θωμᾶ σχολαστικοῦ.

Ῥητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
πάντων ῥητήρων εἰσὶν ἀριστότεροι.
σεῖο πόνους φιλέω Δημόσθενες. εἰμὶ δὲ λίην
καὶ φιλαριστείδης, καὶ φιλοθουκυδίδης.

Μιχαηλίου γραμματικοῦ.

Η πόλις ἀγαθίαν τὸν ῥήτορα, τὸν σιχαοιδόν,
δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
ὡς μήτηρ ἐτέλεσσεν ἐφ᾽ υἱεῖ, καὶ πόρε τήνδε
εἰκόνα, καὶ στοργῆς μάρτυρα, καὶ σοφίης.
μεμνόνιον δὲ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
ἔστησεν, γενεῆς σύμβολα σεμνοτάτης.

Παλλαδᾶ.

Κωφὸν ἄναυδον ὁρῶν τὸν Γέσσιον, εἰ λίθος ἐστὶ
δήλεις μαντεύου, τίς τίνος ἐστὶ λίθος.

Εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥήτηρος ἔγραψε;
σιγᾷς; οὐ λαλέεις; οὐδὲν ὁμοιότερον.

Εἰς τὸ αὐτό.

Εἰκόνες ἀνθρώποισι φίλον γέρας. ἀλλὰ Μαρίνου
ὕβρεις, ἐλεγχομένης εἶδος ἀπρεπίης.

Εἰς ἄγαλμα ἀριστείδου τοῦ ῥήτορος.

Νεῖκος ἀριστείδης ἰάδων κατέπαυσε πολήων.
τό, πρὶν ὁμηρείης εἶχον ὑπὲρ γενεῆς.
φασὶ γὰρ πᾶσαι, σμύρνη τέκε θεῖον ὅμηρον,
ἣ καὶ ἀριστείδην ῥήτορα γειναμένη.

Ἄδηλον.

Εἰκὼν Καλλίστου τοῦ ῥήτορος. οἱ δὲ παρ᾽ αὐτῷ
ἐρχόμενοι, ἑρμῇ συνδέκτῃ τῷ λογίῳ.

Ἄδηλον.

Φύρμος με, φύρμον. πυρφόρος, τὸν πυρφόρον.
ὁ παῖς ὁ ῥήτωρ, τὸν πατέρα τὸν ῥήτορα.

εἰς εἰκόνα πτολεμαίου. Ptolemæi Aegyptij Rhetoris uitam leuiter perstringit Philostratus. hic autem Cretensis fuit. δικολέκτας. oratores in causa aduocatos.

καὶ

καὶ φιλαεισεύδης. Aristidæ uitam posteris reliquit Philostratus, extant & eius opera. στιχαοιδόν. poetam. δίζυγος duplicis. διπλοῦ. Apollo. μαρίνα. & Philopoimeni. ἰδίων. Colophonis. Chij. & Smyrnę. ἡ καὶ ἀριστείδην. contra Philostratus. ἀριστείδην, ἀδριανοὶ μὲν ἰωνίαν. οἱ δὲ ἀδριανοὶ πόλις οὐ μεγάλη ἐν μυσοῖς. ἑρμῇ. alteri Mercurio. φύγιμος με φύγιμον ἀνέθηκε. Aeschylum in Agamemnone nō sine Venere imitari cupit. φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρός. πυρφόρος. Tzetzes πρὸ γὰρ εὑρέσεως τῆς σάλπιγγος ἐν τοῖς πολέμοις, πυρφόροις ἐχρῶντο. οἵτινες ἐξ ἑκατέρων μερῶν τῶν στρατευμάτων, τοῦ τε πολεμίου, καὶ τοῦ πολεμουμένου, μέσον εἰσερχόμενοι λαμπαδηφόροι, ἔῤῥιπτον τὰς λαμπάδας ἀντὶ τοῦ σαλπίσαι, καὶ οὕτως συνεκροτεῖτο ὁ πόλεμος. Euripides in Phœnissis. ἐπεὶ δ' ἀφείθη πυρσὸς ὡς τυρσηνικῆς σάλπιγγος ἠχή, σῆμα φοινίου μάχης. annotationes. ἐχρῶντο οὖν κατὰ τὸ παλαιὸν ἐν τοῖς πολέμοις ἀντὶ σαλπιγκτῶν πυρφόροις. οὗτοι δὲ ἱεροὶ ἦσαν ἄρεως ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος, ἣν ἀφιέντες εἰς τὸ μεταίχμιον, ἀνεχώρουν ἀκίνδυνοι, καὶ οὕτω συνέβαλλον αἱ στρατιαί. διεσώζοντο δὲ οἱ πυρφόροι, ὡς ἱεροὶ τοῦ θεοῦ, εἰ καὶ πάντων ἀπώλοντο. ὅθεν ἡ παροιμία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων. οὐδὲ πυρφόρος ἐσώθη. uide Hesychium & Suidam.

## ΕΙΣ ΣΚΕΥΗ.

Εἰς κωνωπεῖωνα. Παύλου σιλεντιαρίου.

Οὐ βριαρόν τινα θῆρα, καὶ οὐ τινὰ πόντιον ἰχθύν,
οὐ πτερὸν ἀγρεύω πλέγμασιν ἡμετέροις,
ἀλλὰ βροτοὺς ἐθέλοντας. ἀλεξήτειρα δὲ τέχνη
ἀνδρὰ μυιάων κέντρον ἀλευόμενον,
ἐκ θαλίης ἀβρῶτα μεσημβριάοντα φυλάσσει,
οὐδὲν ἀφαυροτέρα τείχεος ἀσυνόχου.
ὕπνου δ' ἀσυφήλικτον ἄγω χάριν. ἀλλὰ καὶ αὐτοὺς
δμῶας, μυιοσόβου ῥύομαι ἀτμενίης.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Καλλιγάμοις λέκτροις περικίδναμαι, εἰμὶ δὲ κεδνῆς
δίκτυον οὐ φοίβης, ἀλλ' ἁπαλῆς Παφίης.
ἄνδρα δ' ἐπυπνώοντα, μίτῳ πολυῶπι καλύπτω,
ζωοφόρον αὐχμῶν οὐδὲν ἀτιζόμενον.

Ἀδήλου.

Πλέγμασι μὲν σκοπός ἐστι, περισφίγξαι πετεηνῶν
ἔθνεα, καὶ ταχινοὺς ἔνδοθεν ὀρταλίχους.
αὐτὰρ ἐγὼ σθένειν ὑποτρέπομαι, οὐδὲ καλύπτω
ἔνδοθεν, ἀλλ' ἔργῳ μᾶλλον ἐπειγομένους.
οὐδέ με τὶς λήσειε, καὶ εἰ βραχὺς ἔπλετο κώνωψ,
ἡμετέρης διαδὺς πλέγμα λινοστασίης.
ὄρνεά που σώζω, μερόπεσσι δὲ λέκτρα φυλάσσω.
ἦ ῥα, τίς ἡμείων ἐστὶ δικαιότερος;

Τοῦ αὐτοῦ εἰς τάβλαν.

Ἑζόμενος μὲν τῇδε παῤῥυλαΐγγι τραπέζῃ,
παίγνια κινήσεις τερπνὰ βολοκτυπίης·
μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀλλεφθεὶς
ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.

καὶ γὰρ ἐν σμικροῖσι νόος διαφαίνεται ἀνδρός,
καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Παίγνια μὲν τάδε πάντα. τύχης δ' ἑτερόρροπος ὁρμὴ
ταῖς ἀλόγοις ταύταις ἐμφέρεται βολίσιν.
καὶ βροτέου βιότου σφαλερὸν μίμημα νοήσεις,
νῦν μὲν ὑπερβάλλων, νῦν δ' ἀπολειπόμενος.
αἰνέομεν δ' ἐκεῖνον, ὃς ἐν βιότῳ τε, κύβῳ τε,
χάρματι, καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τοῖς μὲν πρηϋνόμοις, τάδε παίγνια. τοῖς δ' ἀκολάστοις,
λύσσα, καὶ ἀμπλακίη, καὶ πόνος αὐτόματος.
ἀλλὰ σὺ μὴ λέξῃς τι θεημάχον ὕστατος ἕρπων,
μὴ δ' ἀναρροιβδήσῃς ῥινοβόλῳ πατάγῳ.
δεῖ γὰρ μήτε πονεῖν ἐν ἀθύρμασι, μήτε τι παίζειν
ἐν σπουδῇ. καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον.

Εἰς φιάλην ἔχουσαν κινουμένους ἰχθύας.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Οὕτω Βάκχον ἔδεκτο Θέτις. νῦν μῦθος Ὁμήρου
ὀψὲ μὲν, ἀλλ' ἔργῳ πίστιν ἐτητυμίης.

Εἰς ἀρχοντικὸν πέλεκυν. τοῦ αὐτοῦ.

Ἢν μὲν ἀλιτραίνῃς, πέλεκυν βλεφάροισι δοκεύεις.
ἢν δὲ σαοφρονέῃς, ἄργυρός εἰμι μόνον.

Εἰς κάγκελον οἰκίας.

Ἢν κλείσῃς μ', ἀνέῳγα. καὶ ἢν οἴξῃς, κλείσεις με.
τοῖος ἐὼν, τηρεῖν σὸν δόμον οὐ δύναμαι.

Εἰς μυστήριον ἔχον τὰ δώδεκα
ζώδια, καὶ ἄστρα.

Ἀργύρεος πόλος οὗτος, ὅπῃ φαέθοντα σελήνη
δέρκεται, ἀντιτύπων πιμπλαμένη φαέων.
ἀπλανέες δ' ἑκάτερθε, καὶ ἀντιθέοντες ἀλῆται
ἀνδρομέης γενεῆς πᾶσαν ἄγουσι τύχην.

Μεσομήδου.

Τὰν ὕελον ἐκόμιζε κύψας ἐργάτας ἀνήρ,
ἐν δὲ πῦρ ἔθηκε βῶλον, ὡς σίδηρον εὐθηγῆ,
ὁ δ' ὕελος οἷα κηρὸς ἐξεχεῖτο παμφάγοισι
φλοξὶν ἐκ πυρουμένοισι. θαῦμα δ' ἦν ἰδεῖν βροτοῖς
ὁλκὸν ἐκ πυρὸς ῥέοντα, καὶ τὸν ἐργάτην
τρέμοντα, μὴ πεσὼν διαρραγῇ.
ἐς δὲ διπτύχων ἀκμὰς χειλέων ἔθηκε βῶλον.

Εἰς δίσκον. Ἀσκληπιάδου.

Ἥφαιστός μ' ἐτέλεσσε καμὼν χρόνῳ. ἀλλὰ Κυθέρη
ἀνδρὸς ἑοῦ θαλάμων εἵλετο λαθριδίως.
ἀγχίσῃ δ' ἔπορε κρυφίης μνημήιον εὐνῆς.
καί μ' Ἀσκληπιάδης εὗρε παρ' Αἰνεάδαις.

Ἀσὶ

Ἀδήλου.

Ἡ γραφὶς, ἀργυρέη μὲν ὅτ' ἐκ πυρὸς ἤλθον, ἐτύχθην·
σαῖσι δὲ καὶ χρυσέη γίνομαι ἐν παλάμαις.
ὧδέ σοι ὦ χαρίεσσα Λεόντιον, εὖ μὲν Ἀθήνη
τέχνης, εὖ δ' εἴδους ἄκρα δέδωκε Κύπρις.

Σαμμίου.

Πρόσθε μὲν ἀγραύλοιο διὰ τεῖχος ἰξάλου αἰγὸς
δισσὸν ὑπὲρ χλωροῖς ἐστεφόμην πετάλοις.
νῦν δέ με Νικομάχῳ κεροξόος ἥρμοσε τέκτων
ἐντανύσας ἕλικος καρτερὰ νεῦρα βοός.

Εἰς μάνσωειον ἔχον ἀφροδίτην, καὶ ἔρωτας.

Τέσσαρές εἰσιν ἔρωτες. ὁ μὲν, σέφος ἀμφικαλύπτει
μητρὸς ἑῆς. ὁ δὲ, χεῖλος ἔχει ποτὶ πίδακι μαζοῦ.
οἱ δὲ δύω παίζουσι παρ' ἴχνεσιν. εἷμα δὲ κρύπτει
μηρῶν γείτονα χῶρον ὅλης γυμνῆς ἀφροδίτης.

Ἀδέσποτον.

Βάκχῳ, καὶ νύμφαις μέσος ἵσταμαι. ἐν δὲ κύπελλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

Ἀδέσποτον.

Χαλκοτύπος τὸν ἔρωτα μεταλλάξας, ἐποίησε
τήγανον. οὐκ ἀλόγως, ὅτι καὶ αὐτὸ φλέγει.

Φιλίππου.

Ἀδριανοῖο κύτους λαιμὸς τὸ πάλαι μελίγηρυς
αὐλὴ ἐγαστροφόρουν Βακχιακὰς χάριτας.
νῦν κλασθεὶς, κεῖμαι νεοθηλεῖ καρτερὸν ἕρκος
κλήματι, πρὸς τρυφερὴν τεινομένῳ καλύβην.
αἰεὶ Βρομίῳ λατρεύομεν. ἢ γεραὸν γὰρ
φρουροῦμεν πιστῶς, ἢ νέον ἐκτρέφομεν.

ἐς κωνωπεῖον. Conopeum uelum ad arcendos culices. Propertius: fœdaque Tarpeio Conopea tendere saxo. Horatius: interque signa (turpe) militaria sol aspicit Conopeum. οὐ πτερόν. uolucrem. ἀλλὰ βροτούς. sed homines. τέχνη. Canopei. ἐκ θαλίης. à mensa. à conuiuio. ἀστυόχου. urbem custodientis. δμῶας. seruos muscarios. ὦ φοῖβος. Dianæ. πλέγμασιν. aliis retibus. αὐτὰρ ἐγώ. Conopeum. σοβεῖν. abigere. ὄρνια. muscas. conopes. λέκτρα. somnū. ἀπολεσθείς. amissis nummis. βόλιδα. cubum tesseram. βένθος ἐχεφροσύνης. occultam alioqui imprudentiam. ὑποβάλλων. nunc celso in gradu, nunc humi iacens. ἐφηρμόσατο. sic Lucianus. φαιδοὶ καὶ δαπάνης μέτρον ἐφηρμόσατο. θεομάχον. βλασφημίαν. ὕστατος ἔρπων. pecunia perdita. ἀνὰ ῥοιβδήσεις. Hesychius. ῥοιβδεῖ. ῥοίζει. διώκει. ῥοιφεῖ. μῦθος ὁμήρου. Iliad. ζ. ἀρχεντικόν. consulum secures & aliorum magistratuum. ἐς κάγκελον. transennas. cancellos, τῆς οἰκίας uidetur addidisse quod κάγκελος Græcorum uulgo curriculorum carcer appelletur. ἦν κλείσῃς με. me cancellum. ἀνέῳγα. apertus sum præteritū medium ab ἀνοίγω. Cancellus hic sic se habuit ut Lychni in templis quibusdam, qui dum deorsum trahuntur uidentur ascendere. μανσώειον. mensam. πιμπλαμένη. nam lumen à sole fœneratur luna. ἀπλανέες. septem planetæ erraticæ & fixæ stellæ. τὸν ὕελον. silicem fluuiatilem candidum & pellicidum

lucidum è quo uitrum perficitur. multi sunt in his uersibus trochaicis errores. οἷα κηρός. tanquam cera. διαρραγῇ. effringatur. ἀκμὰς χηλέων. aciem forcipum quibus candens & emollitus lapis à uitriario scinditur, non labra, quanquam & is spiritu uitrũ in habitus plurimos format. κυθέρη. Venus. ἀνδρός. Vulcani mariti sui. εὐνῆς. congressus. αὐσονίδαις. Romanis. ἡ γραφίς stylus. alij ῥαφίς. acus. ὧδε. sic hoc pacto. λεοντίου. sitne hæc, Epicuri Leontium, aut Hermesionactis, nihil ad rem. πρόσθε μέν. loquitur arcus. ἰξάλου αἰγός. desumpta sunt hæc ex Hom. Iliad. δ. αὐτίκ' ἐσύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸς ἀγρίου. deinde τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει, καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέκτων. κεραοξόος ὁ τὰ κέρατα ἐργαζόμενος. κερατουργός κερατογλύφος. qui arcum Nicomacho ex capreæ cornibus effecit, ipsum neruo bouis ut nostri funibus intendens. mulier marito dicitur κέρατα ποιεῖν quæ se prostituit. Artemidorus, Onirocrit. β. ὅτι ἡ γυνὴ αὐτοῦ πορνεύσει, καὶ τὸ λεγόμενον, κέρατα αὐτῷ ποιήσει, καὶ οὕτως ἀπέβη. πίδακι μαζοῦ. alius matrem lactat. γείτονα χῶρον. pudenda. τὸν παραλειπόμενον. uinũ aut aquam. hæc ἁπλῶς exponenda nec ad Græcorum κότταβον traducenda sunt, cuius mentio est Athenæo dipnos. 11. in uocibus κότταβις καὶ μάνης. Aristophanis enarratori in pace. Polluci lib. 6. Suidæ in dictione κοτταβίζειν. illud Iuuenalis exponentibus. si trulla inuerso crepitum dedit aurea fundo. τήγανον. sartaginẽ. ἀδριανοῖο. Adriani potoris. κύτους. uasis. χάριτας. uinum. ἔρκος. ridice & pedaminis loco, quo adminiculantur uites. ἢ γεραιὸν γὰρ βρομίου. uinum. ἢ νέον. uitem fulciens.

## ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ.

### Εἰς ἀνδριάντα Πυθαγόρου. Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Οὐ τὸν ἀναπτύσσοντα φύσιν πολύμητιν ἀριθμῶν
ἤθελεν ὁ πλάστης Πυθαγόρην τελέσαι,
ἀλλὰ τὸν ἐν σιγῇ πινυτόφρονι. καὶ τάχα φωνὴν
ἔνδον ἀποκρύπτει, καὶ τόδ' ἔχων ὀπάσαι.

### Εἰς τὸ αὐτό.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος, ὃν μετὰ φωνῆς
εἶδες ἄν, εἴγε λαλεῖν ἤθελε Πυθαγόρης.

### Εἰς εἰκόνα Σωκράτους. Ἰωάννου ποιητοῦ τοῦ Βαρβουκάλλου.

Ὡς σοφὸς ὁ γράψας, ζωὰν οὐκ ἔμβαλε κηρῷ
Σωκράτεος ψυχᾷ τῷδε χαριζόμενος.
Ζωγράφε, τὰν μορφὰν ἁρμάξας, αἴθ' ἐνὶ κηρῷ
καὶ ψυχὰν ἐλάθης σωκρατικὰν βαλέειν.

### Εἰς εἰκόνα Πλάτωνος.

Τὸν νοῦν διδάσκων αἰθεριμβατεῖν Πλάτων
αὐτὸς ὑπὲρ νοῦν ἐκφλύγεται λόγους.

### Εἰς εἰκόνα Ἀριστοτέλους.

Οὗτος Ἀριστοτέλης, μετρῶν χθόνα, καὶ πόλον ἄστρων.

### Εἰς τὸν αὐτόν.

Νοῦς, καὶ Ἀριστοτέλους ψυχή, τύπος ἀμφοτέρων εἷς.

Εἰς

Εἰς εἰκόνα Πλουτάρχου. Ἀγαθίου σχολαστικοῦ.

Σεῖο πολυκλήεντα τύπον στῆσαν τοι Χαιρωνεῦ
Πλούταρχε, κρατερῶν υἷες αὐσονίων,
ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον,
οὐδὲ σύ γ' ἂν γράψαις. οὐ γὰρ ὅμοιον ἔχεις.

Εἰς εἰκόνα Αἰσώπου. Τοῦ αὐτοῦ.

Εὖγε ποιῶν Λύσιππε γέρον σικυώνιε πλάσσα,
δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου
ἑπτὰ σοφῶν ἔμπροσθεν. ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
ἔμβαλον, οὐ πειθὼ φθέγμασι τοῖς σφετέροις.
ὃς δὲ, σοφοῖς μύθοις, καὶ πλάσμασι καίρια λέξας,
παίζων, ἐν σπουδῇ πείθει ἐχεφρονέειν.
φευκτὸν δ' ἡ τρηχεῖα παραίνεσις. ἡ Σαμίου δὲ,
τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

Εἰς Διογένη. Ἀντιφίλου Βυζαντίου.

Ἡ πήρη, καὶ χλαῖνα, καὶ ὕδατι πιληθεῖσα
μᾶζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
καὶ δέπας ἐκ κεράμοιο, σοφῷ κυνὶ μέτρα βίοιο
ἄρκια. καὶ τούτοις ἦν τι περισσότερον.
κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην,
εἶπε, τί καὶ σὲ μάτην ὄστρακον ἠχθοφόρεις;

Εἰς τὸν αὐτὸν τοῦ αὐτοῦ.

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου. ἀλλὰ σὸν οὔτι
κῦδος ὁ πᾶς αἰὼν Διόγενες καθελεῖ.
μοῦνος γὰρ βιοτῆς αὐταρκέα δόξαν ἔδειξας
θνητοῖς, καὶ ζωῆς οἶμον ἐλαφροτάτην.

ἀριθμῶν φύσιν. Hoc patefaciet libellus cui titulus τὰ θεολογούμενα τῆς ἀριθμητικῆς. τὸν δὲ σιγῇ. sed tacentem. καὶ τόδ' ἔχων ὀπάσαι. loquentem fingere potuisset. ὁ ζωγράφος. pinxit subaudi. αἰθεριμβατεῖν. comici philosophos illudentes ut Aristophanes Socratem αἰθεροβατεῖν eos cauillabantur. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. res ex Luciani Icaromenippo clarissima. μετρῶν χθόνα. hic monendus est lector ut quoties autoribus de terra sermo erit, num de terra uniuersa, an de ea quæ colitur tantū agant, diligenter attendat. Etenim hoc tam pingue (sat scio) sed ambiguū magnæ alioqui eruditionis uiris non distinguentibus somnus obrepsit. & philosophi fere omnes (uerba cuiusdam) elementa statuūt rotūdata specie, tametsi nō desint qui terrā opinentur τυμπανοειδῆ. hoc putauit Aristoteles. χλαμυδοειδῆ Strabo extēsæ chlamydi similem. nec ab his discrepat Ptolemæus, sed περὶ τῆς οἰκουμένης loquentes, non de terræ elemento quod sphericū & undiq; ipsum in se nisu suo conglobatum esse demonstratur. νοῦς καὶ ἀριστοτέλους. tametsi Arist. νοῦν καὶ ψυχὴν differre putet, una tamē Arist. statua est. τύπον. imaginē. αὐσονίων. Rō. γέρον. senex. κεῖνοι. septē sapiētes. καίρια. feria. ἡ Σαμίου. Qui in insula Samo uēditus, illic Xantho philosopho primū seruiuit, deinde Iadmoni ut tradit Herodotus, uel Idmoni, ut Aelianus, qui Aesopū

Thracem fuiſſe exiſtimat, Planudes Phrygem. σοφῷ κύνι. Diogeni Cynico. κὰρ τοῦ τοῖς. aliquid in his quoq; ſuperuacuum uiſum eſt, ὄστρακον, δέπας ἐκ κεράμειο. uas figlinum. Laertius in Diogene.

## ΕΙΣ ΩΡΟΛΟΓΙΑ.

Εἰς τὴν βάσιν τοῦ ὡρολογίου τοῦ εἰς τὴν ἀψῖδα τῆς εἰς τὴν βασιλικήν.

Δῶρον Ἰουστίνοιο τυραννοφόνου βασιλῆος,
καὶ Σοφίης ἀλόχου, φέγγος ἐλευθερίης,
ὡράων σκοπιάζει σοφὸν σημάντορα χαλκὸν,
αὐτὴ ἐκ μονάδος, μέχρι δυωδεκάδος.
ὅν τινα συλλεξάντα, δίκης θρόνον ἡνιοχεύων,
εὗρεν Ἰουλιανὸς χερσὶν ἀδωροδόκοις.

Εἰς ἕτερον. Ἀδέσποτον.

Ὡρανὸν ἁ χωρεῦσα σοφὰ λίθος, ἁ διὰ τυτθοῦ
γνώμονος ἀελίῳ παντὶ μεριζομένα.

Εἰς ἕτερον δι' ὕδατος.
Παύλου σιλεντιαρίου.

Ἐνθάδε μιστύλλουσι δρόμον φαέθοντίδος αἴγλης
ἀνέρες, ὡράων ἀμφὶ δυωδεκάδι.
ὕδασι δ' ἠελίοιο ταλαντεύουσι κελεύθους,
τὸν πόλον ἐκ γαίης μῆτιν ἐρεισάμενοι.

Εἰς ἕτερον. Ἀδέσποτον.

Κῆπος ἔην ὅδε χῶρος. ἀπὸ σκιερῶν δὲ πετήλων
νυκτοφανὴς τελέθων, ἔσκεπεν ἠέλιον.
νῦν δὲ παναιγλήεντα, καὶ ἔνδιον εὗρε τελέσσαι
Σέργιος αὐτόπτης μυστοπόλος τριάδος,
ἔνθα λίθος σαφὸς οὗτος, ἀειδίνητον ἀνάγκην
ἑπτάκις ἀγγέλλει ἄντυγος οὐρανίης.

Ἄδηλον.

Μηχανικὴ φαέθοντα βιάζεται ἁρμονίῃσι
γνώμοσιν, ἀγγέλλειν τὸν δρόμον ἠελίου.
βαιὸς δ' ἀμφιέπει λίθος ἄντυγας ἠεργενίης,
ὡρονόμῳ σοφίῃ, καὶ σκιόεντι τύπῳ.
Σεργίου ἀρχιερῆος ἐπουρανίῃσιν ἐφετμαῖς,
τῶν συνεργάσθη ἔργον ἐπιχθονίων.

Ἄδηλον.

Σῆμα δυωδεκάμοιρον ἀφεγγέος ἠελίοιο
τριστάκις ἀγλώσσῳ φθεγγόμενον στόματι,
εὖτ' ἂν θλιβομένοιο ποτὶ στόμον ὕδατος ἀὴρ
αὐλὸν ἐρεύγηται πνεῦμα διωλύγιον,
θῆκεν Ἀθηναῖος δήμῳ χάριν, ὡς ἂν ἐναργὴς
εἴη καὶ φθονεραῖς ἠέλιος νεφέλαις.

τυραννοφόνου βασιλῆος. qui per Beliſarium, Guilmerium Vandalorum imperatorem fudit, per Narſen uero Totilam Gothorum regem interfecit. σημάν-
τορα

ὥρας χαλκοῦν. gnomonem & stylum horas monstrantem. Suidas in uoce ἀκαλύπους σκιά, hunc Luciani in Gallo sermonem aperit. συνεχὲς ἐπισκοπῶν ὁπόσαπουν τὸ στοιχεῖον εἴη, καὶ ἡνίκα ἤδη λελοῦσθαι δέοι. τῇ σκιᾷ δ' ἐτεκμαίροντο (uerba Pollucis) τὸν καιρὸν εἰ ἐπὶ τὸ δεῖπνον ὁδοῦ, ἣν καὶ στοιχεῖον ἐκάλουν. καὶ ἐὰν δεκάπουν, εἰ δεκάπουν τὸ στοιχεῖον εἴη. ἐκ μονάδος. à prima ad 12. horam. συληθέντα. à furibus ablatum. δίκης θρόνου. iudex. prætor. ὠρανόν. lege οὐρανόν. ἀελίῳ παντί. horis ad solis cursum distinctis. φαεθοντίδος. solaris. ὕδασι δ' ἠελίοιο. multa de hoc horologiorum genere, quæ certa quadam ratione aquis sub modulo fluentibus temperantur, Vitruuius, Georgius Valla, Athenæus, & Hero Alexandrinus. Hydraulica organa Cornelium Nasicam primũ Romę fecisse uult Cēsorinus, quem enarrat Plin. lib. 7. cap. ult. ἂν πόλον, ad cœli uertiginē, & reuolutionem. συνδενδρανής. obscurus propter arborum densitatem. Σέργιος. is est Sergius (ut tradunt in uita Heracliȷ imperatoris ad plenũ historici) qui cum Pyrrho & Cyro episcopis Acephalorum hæresim instaurans de sacrosancta trinitate peruerse sensit, quos Martinus summus pontifex congregata Romę 105. episcoporũ synodo damnauit. μυσοπόλος. uomuit hoc epigramma ethnicus quispiam. ἀνάγκην. cœli conuersionis. ἑπτάκις ἄγγελμα aut ἑξάκις. septies interdiu Christianos hymnos deo cecinisse iuxta illud, septies in die laudaui te, scriptũ inueni. licet quid Hebræa phrasi notet septies, nõ clam me sit: repende septuplum inimicis nostris. argentum septies depuratũ. Septenarium utiq; numerũ omnium esse μυστικώτατον probat Cornelius Agrippa in occul. Philos. aliȷ ex Martiale septem horas diei priores forensibus negotiȷs tribuisse ueteres ostendunt. δυωδεκάμοιρον. in duodecim horas partitum. αὐλὸν ὕδατος. fistulam quæ aquam cõtinet. φθονεραῖς. densitate solem obũbrantibus. βαιὸς ἔρως. quare sit talis pulchre indicat Themistius in oratione in qua Nicomedenses ad philosophiæ studium exhortatur. hoc distichum supra est. εἰς λουτρὸν μικρόν.

ΕΝ ΤΩΔΕ ΤΩ ΠΕΜΠΤΩ ΤΜΗΜΑΤΙ περιέχεται ἔκφρασις Χριστοδώρου ποιητοῦ θηβαίου κοπτίτου, τῶν ἀγαλμάτων τῶν εἰς τὸ δημόσιον γυμνάσιον τὸ ἐπικαλούμενον τοῦ Ζευξίππου. Ετι δὲ καὶ τὰ ἐπιγράμματα τῶν ἐν τῷ ἱπποδρόμῳ κωνσταντινουπόλεως ἡνιόχων.

# EPIGRAMMATVM GRAECORVM, IOANNIS BRODAEI TVRONENSIS SCHOLIIS illustratorum, Liber quintus.

ΕΙΣ ΔΗΙΦΟΒΟΝ.

ΔΗΙΦΟΒΟΣ μὲν πρῶτος ἐϋγλύπτῳ ἐπὶ βωμῷ
ἵστατο τολμήεις, κεκορυθμένος, ὄβριμος ἥρως,
τοῖος ἐών, οἷός περ ἑῷ ὀρνυμένῳ Μενελάῳ
πορθομένων ἤντησεν ἑῶν προπάροιθε μελάθρων.
ἵστατο δὲ προβιβῶντι πανείκελος. εὖ δ' ἄρα κόσμῳ
δόχμιος ἦν, μανίῃ δὲ κεκυφότα νῶτα συνέλκων,
θυμὸν μὲν ξυνάγειρεν. ἕλισσε δὲ φέγγος ὀπωπῆς
οἷά τε δυσμενέων μορόπων πεφυλαγμένος ὁρμήν.
λαιῇ μέν, σάκος εὐρὺ προΐσχετο. δεξιτερῇ δέ,
φάσγανον ὑψόσ' ἄειρεν. ἔμελλε δὲ μαινομένη χὴρ
ἀνέρος ἀντιβίου κατὰ χροὸς ἄορ ἐλάσσειν.
ἀλλ' ὁ χαλκὸν ἔθηκε φύσις πειθήμονα λύσσῃ.

Εἰς Αἰσχίνην ῥήτορα.

Κεκροπίδης δ' ἤστραπτε νοήμονος ἄνθεα πειθοῦς
Αἰσχίνης. λασίης δὲ συνείρυε κύκλα παρειῆς,
οἷα πολυκροτάλοισιν ἀεθλεύων ἀγορῇσι.
ἕζετο γὰρ πυκινῇσι μεληδόσιν, ἄγχι δ' ἐκείνου

Εἰς ἀριστοτέλην.

Ἦν ἀριστοτέλης, σοφίης πρόμος. ἱστάμενος δέ,
χεῖρε περιπλέγδην συνεέργαθεν, οὐδ' ἐνὶ χαλκῷ
ἀφθόγγῳ φρένας εἶχεν ἀεργέας, ἀλλ' ἔτι βουλὴν
σκεπτομένῳ μὲν ἔϊκτο. συνιστάμεναι δὲ παρειαί,
ἀνέρος ἀμφιέλισσαν ἐμαντεύοντο μενοινήν.
καὶ τροχαλαὶ σήμαινον ἀολλέα μῆτιν ὀπωπαί.

Εἰς Δημοσθένην.

Καὶ παιανιέων δημηγόρος ἔπρεπε σάλπιγξ.
ῥήτρης εὐκελάδοιο πατὴρ σοφός, ὃ πρὶν ἀθήναις
πειθοῦς θελξινόοιο νοήμονα πυρσὸν ἀνάψας,
ἀλλ' οὐκ ἠρεμέων διεφαίνετο, πυκνὰ δὲ βουλὴν
ἐστρώφα. πυκινὴν γὰρ ἔεδνος μῆτιν ἑλίσσειν,
οἷα κατ' εὐόπλων τεθοωμένος ἠμαθιήων.
ἦ τάχα κεν κοτέων, τροχαλὴν ἐφθέγγετο φωνὴν
ἄπνοον αὐδήεντα τιθεὶς τύπον. ἀλλά ἑ τέχνη
χαλκείης ἐπέδησεν ὑπὸ σφρηγῖδι σιωπῆς.

Εἰς Εὐριπίδην.

Ἵστατο δ᾽ Εὐρίποιο φερώνυμος, ὡς δὲ δοκεύω,
λάθρῃ ὑπὸ κραδίην τραγικαῖς ὡμίλεε μούσαις,
ἔργα σαοφροσύνης διανεύμενος. ἦν γὰρ ἰδέσθαι,
οἷά τε που θυμέλῃσιν ἐν ἀτθίσι θύρσα τινάσσων.

Εἰς Παλαίφατον.

Δάφνῃ μὲν πλοκαμῖδα Παλαίφατος ἔπρεπε μάντις
στεφόμενος, δόκεεν δὲ χέειν μαντώδεα φωνήν.

Εἰς Ἡσίοδον.

Ἡσίοδος δ᾽ ἀσκραῖος, ὀρειάσιν εἴδετο μούσαις
φθεγγόμενος, χαλκὸν δ᾽ ἐβιάζετο θυιάδι λύσσῃ
ἔνθεον ἱμείρων ἀνάγειν μέλος. ἐγγύθι δ᾽ αὐτοῦ

Εἰς Πολύειδον μάντιν.

Μαντιπόλος πάλιν ἄλλος ἔην φοιβηΐδι δάφνῃ
κοσμηθεὶς Πολύειδος. ἀπὸ στομάτων δὲ τινάξαι
ἤθελε μὲν κελάδημα θεοπρόπον. ἀλλά ἑ τέχνη
δεσμῷ ἀφωνήτῳ κατερήτυεν. οὐδὲ σὺ μολπῆς

Εἰς Σιμωνίδην.

Εὔνασας ἀβρὸν ἔρωτα Σιμωνίδη, ἀλλ᾽ ἔτι χορδῆς
ἱμείρεις. ἱερὴν δὲ λύρην οὐ χερσὶν ἀράσσεις.
ὤφελεν ὁ πλάσας σε Σιμωνίδη, ὤφελε χαλκῷ
συγκράσαι μέλος ἡδύ. σὲ δ᾽ ἂν καὶ χαλκὸς ἀναυδὴς
αἰδόμενος, ῥυθμοῖσι λύρης ἀντήχεε μολπήν.

Εἰς Ἀναξιμένην.

Ἦν μὲν Ἀναξιμένης νοερὸς σοφός. ἐν δὲ μενοινῇ,
δαιμονίης ἐλέλιζε νοήματα ποικίλα βουλῆς.

Εἰς Κάλχαντα.

Θεστορίδης δ᾽ ἄρα μάντις ἐΰσκοπος ἵστατο Κάλχας
οἷά τε θεσπίζων. ἐδόκει δέ τε θέσφατα κεύθειν;
ἢ στρατὸν οἰκτείρων ἑλλήνιον, ἢ ἔτι θυμῷ
δειμαίνων βασιλῆα πολυχρύσοιο μυκήνης.

Εἰς Πύῤῥον τὸν καὶ Νεοπτόλεμον.

Δείκνυτό μοι σκύμνος πτολιπόρθιος αἰακιδάων
πύῤῥον ἀχιλλείδην, ὅν ἤθελε χερσὶν ἑλίσσειν
τεύχεα χαλκήεντα. τά, μή οἱ ὤπασε τέχνη.
γυμνὸν γάρ μιν ἔτευξεν. ὁ δ᾽ ὑψόσε φαίνετο λεύσσων
οἷα πρὸς ἱππεμόεσσαν ἀν᾽ ἴλιον ὄμμα τιταίνων.

Εἰς Ἀμυμώνην.

Ἦν δ᾽ ἀμυμώνη ῥοδοδάκτυλος, εἰς ὀπίσω μὲν
βόστρυχον ἀκρήδεμνον ἑῆς συνέεργεν ἐθείρης.
γυμνὸν δ᾽ εἶχε μέτωπον. ἀναστέλλουσα δ᾽ ὀπωπὰς
εἰνάλιον σκοπίαζε μελαγχαίτην παρακοίτην.

Εἰς Ποσειδῶνα.

Ἐγγύθι δ᾽ εὐρύστερνος ἐφαίνετο κυανοχαίτης,
γυμνὸς ἐών, πλόκαμον δὲ καθειμένον εἶχεν ἐθείρης.

καὶ ἱερὸν δελφῖνα προΐσχετο, χερσὶ κομίζων
δῶρα πολυζήλοιο γάμου μνηστήρια κούρης.

Εἰς Σαπφώ.

Πιερικὴ δὲ μέλισσα λιγύθροος ἧστο Σαπφώ.
Λεσβιὰς ἠρεμέουσα. μέλος δ' ἐΰμνον ὑφαίνειν
σιγαλέαις δοκέεσκεν ἀναψαμένη φρένα μούσαις.

Εἰς Ἀπόλλωνα.

Φοῖβος δ' εἱστήκει τριποδηλάλος. ἦν δ' ἄρα χαίτης
εἰσοπίσω σφίγξας ἀδέτων πλόκον. ἀλλ' ἐνὶ χαλκῷ,
γυμνὸς ἔην, ὅτι πᾶσιν ἀνειρομένοισιν Ἀπόλλων
γυμνῶσαι δεδάηκεν ἀληθέα δήνεα μοίρης,
ἢ ὅτι πᾶσιν ὁμῶς ἀναφαίνεται. ἠέλιος γὰρ
Φοῖβος ἄναξ. καθαρὴν δὲ φορεῖ τηλέσκοπον αἴγλην.

Εἰς Ἀφροδίτην.

Ἀγχι δὲ Κύπρις ἔλαμπεν. ἔλειβε δὲ νώροπι χαλκῷ
ἀγλαΐης ῥαθάμιγγας. ἀπὸ στέρνοιο δὲ γυμνὴ
φαίνετο μέν, φᾶρος δὲ συνήγαγεν ἄντυγι μηρῶν,
χρυσείῃ πλοκαμῖδας ὑποσφίγξασα καλύπτρῃ.

Εἰς Κλεινιάδην.

Κλεινιάδην δὲ τέθηπα, περιστίλβοντα νοήσας
ἀγλαΐῃ. χαλκῷ γὰρ ἀνέπλεκε κάλλεος αὐγήν,
τοῖος ἐών, οἷός περ ἐν Ἀτθίδι μητέρι μύθων
ἀνδράσι Κεκροπίδῃσι πολύφρονα μῆτιν ἀγείρων

Εἰς Χρύσην.

Χρύσης δ' αὖ ἱερεὺς πέλας ἵστατο. δεξιτερῇ μέν,
σκῆπτρον ἀναχόμενος Φοιβήϊον. ἐν δὲ καρήνῳ,
στέμμα φορῶν, μεγέθει δὲ κεκασμένος ἔπρεπε μορφῆς
οἷα περ ἡρώων ἱερὸν γένος, ὡς δοκέω δὲ
Ἀτρεΐδην ἱκέτευε. βαθὺς δέ οἱ ἤνθεε πώγων.
καὶ τανααῖς ἄπλατος ἀνύρετο βότρυς ἀθέρης.

Εἰς Ἰούλιον Καίσαρα.

Καῖσαρ δ' ἐγγὺς ἔλαμπεν Ἰούλιος, ὅς ποτε Ῥώμην
ἀντιβίων ἔστεψεν ἀμετρήτοισι βοείαις,
αἰγίδα μὲν βλοσυρῶπιν ἐπωμαδὸν ἦεν ἀείρων,
δεξιτερῇ δέ, κεραυνὸν ἄγαλμα χερσὶ κομίζων,
οἷα Ζεὺς νέος ἄλλος ἐν Αὐσονίοισιν ἀκούων.

Εἰς Πλάτωνα.

Εἱστήκει δὲ Πλάτων θεοείκελος, ὁ πρὶν Ἀθήναις
δείξας κρυπτὰ κέλευθα θεοκραντῶν ἀρετάων.

Εἰς Ἀφροδίτην.

Ἄλλην δ' αὖ πετόρφαν ἴδον χρυσῆν Ἀφροδίτην,
γυμνὴν παμφανόωσαν. ὑπὲρ στέρνων δὲ θεαίνης,
αὐχένος ἐξ ὑπάτοιο χυθεὶς ἐλελίζετο κεστός.

Εἰς Ἑρμαφρόδιτον.

Ἵστατο δ' Ἑρμαφρόδιτος ἐπήρατος, οὔθ' ὅλος ἀνήρ,
οὔτε γυνή. μικτὸν γὰρ ἔην βρέτας. ἦ τάχα κοῦρον

Κύπρι.

Κύπριδος εὐκόλποιο, καὶ ἑρμάωνος φυΐψας.
μαζοὺς μὲν σφριγόωντας ἐδείκνυεν οἷά τε κούρη.
σχῆμα δὲ πᾶσιν ἔφαινε φυτοσπόρον ἄρσενος αἰδοῦς
ξυνῆς ἀγλαΐης κεκερασμένα σήματα φαίνων.

Εἰς ἤρινναν.

Παρθενικὴ δ' ἤριννα λιγύθροος ἕζετο κούρη,
οὐ μίτον ἀμφαφόωσα πολύπλοκον, ἀλλ' ἐνὶ σιγῇ
πιερικῆς ῥαθάμιγγας ἀποσταλάουσα μελίσσης.

Εἰς Τέρπανδρον.

Ἦν τε λίγυς Τέρπανδρον εὔθροον, ὃν τάχα φαίης
ἔμπνοον, οὐκ ἄφθογγον ἰδεῖν βρέτας. ὡς γὰρ ὀΐω,
κινυμένῃσι πραπίδεσσιν ἀνέπλεκε μυστίδα μολπήν,
ὥς ποτε δινήεντος ἐπ' εὐρώταο ῥοάων,
μυστιπόλῳ φόρμιγγι κατεπρήϋνεν ἀέθλων,
ἀγχεμάχων κακότητας ἀμυκλαίων ναετήρων

Εἰς Περικλῆ.

Ηγασάμην δ' ὁρόων σε Περίκλεες, ὅττι καὶ αὐτῷ
χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις,
ὡς ἔτι κεκροπίδῃσι θεμιστεύων πολιήταις,
εὖ μόθον ὀτρύνων πελοπήϊον, ἱστάμενος δέ.

Εἰς Πυθαγόραν.

Επρεπε Πυθαγόρης σάμιος σοφός. ἀλλ' ἐν ὀλύμπῳ
ἐνδιάειν ἐδόκευε, φύσις δ' ἐβιάζετο χαλκοῦ,
πλημμύρων νοερῇσι μεληδόσιν. ὡς γὰρ ὀΐω,
οὐρανὸν ἀχράντοισιν ἐμέτρεε μοῦνον ὀπωπαῖς.

Εἰς Στησίχορον.

Στησίχορον δ' ἐνόησα λιγύθροον, ὅν ποτε γαῖα
σικελίη μὲν ἔφερβε. λύρης δ' ἐδίδαξεν ἀπόλλων
ἁρμονίην, ἔτι μητρὸς ἐνὶ σπλάγχνοισιν ἐόντα.
τοῦ γὰρ τικτομένοιο, καὶ ἐς φάος ἄρτι μολόντος,
ἔκποθεν ἠερόφοιτος ὑπὲρ στομάτεσσιν ἀηδὼν
λάθρῃ ἐφεζομένη, λιγυρὴν ἀνεβάλλετο μολπήν.

Εἰς Δημόκριτον.

Χαῖρέ μοι ἀβδήρων Δημόκριτε κῦδος ἀρούρης,
ὅττι σὺ καλλιτόκοιο φυῆς ἐφράσσαο θεσμούς,
λεπτὰ διακρίνων πολυΐδμονος ὄργια μούσης.
αἰεὶ δὲ σφαλερὰς ἐγέλας βιότοιο κελεύθους,
εὖ εἰδώς, ὅτι πάντα γέρων παραμείβεται αἰών.

Εἰς ἡρακλῆν.

Ηρακλέης δ' ἀνίουλον ἐδείκνυε κύκλον ὑπήνης,
μῆλα λεοντοφόνῳ παλάμῃ χρύσεια κομίζων,
γαίης ὄλβια δῶρα λιβυστίδος. ἐγγύθι δ' αὐτοῦ

Εἰς Αὔγην.

Παλλάδος ἀρήτειρα παρίστατο παρθένος Αὔγη,
φᾶρος ὑποστείλασα κατωμαδόν, οὐ γὰρ ἐθείρας

X κρηδέ-

κρηδέμνῳ συνέεργεν. ἑὰς δ' ἀνέτεινε χεῖρας,
οἷά τε κικλήσκουσα Διὸς γλαυκώπιδα κούρην
ἀρχεδίκης τε γένης ὑπὸ Δαρδανίδας. ἵλαθι γαίης

Εἰς Αἰνέαν.

Τρωϊάδος βλάστημα σὲ κεαπάλου, ἵλαθι λάμπων
Αἰνεία, Τρώων βουληφόρε. σαῖς γὰρ ὀπωπαῖς
ἀγλαΐης πνείουσα σοφὴ περιλείβεται αἰδώς,
θέσκελον ἀγγέλλουσα γένος χρυσῆς Ἀφροδίτης.

Εἰς Κρέουσαν.

Ἠγασάμην δὲ Κρέουσαν ἰδὼν πενθήμονι κόσμῳ,
σύγγαμον Αἰνείαο κατάσκιον. ἀμφὶ γὰρ αὐταῖς
ἀμφοτέραις κρήδεμνον ἐφελκύσσασα παρειαῖς,
πάντα περὶξ ἐκάλυψε ποδηνεκέϊ χρόα πέπλῳ,
οἷά τε μυρομένη. τὰ δὲ χάλκεα δάκρυα νύμφης
Ἄρεϊ δουρίκτητον ἐμαντεύοντο πεσοῦσαν,
Ἴλιον Ἀργείοισιν ἑλώριον ἀσπιδιώταις.

Εἰς Ἕλενον.

Οὐδ' Ἕλενος κοτέων ἀπεπαύετο. πατρὶ δὲ νηλὴς
φαίνετο, δηϊόων ἔτι που χόλον. ἣν μὲν ἀείρων
δεξιτερὴν φιάλην περιλοίβιον, ὡς δοκέω δέ,
ἐσθλὰ μὲν Ἀργείοις μαντεύετο, καὶ δὲ πεσούσης,
ἀθανάτοις ἠρᾶτο πανύστατα σήματα φαίνειν.

Εἰς Ἀνδρομάχην.

Ἀνδρομάχη δ' ἑστήκει ῥοδόσφυρος Ἠετιώνη,
οὔτι γόον σταλάουσα πολύστονον. ὡς γὰρ ὀΐω,
οὔπω ἐνὶ πτολέμῳ κορυθαίολος ἤριπεν Ἕκτωρ,
οὐδὲ φερεσσακέων ὑπὲρ ἠόρσεν υἷες Ἀχαιῶν
Δαρδανίην ξύμπασαν ἐληΐσαντο πεσοῦσαν.

Εἰς Μενέλαον.

Ἦν δ' Ἀτρείδης Μενέλαος ἀρήϊος. ἀλλ' ἐπὶ νίκῃ
γηθόσυνος, σχεδόθεν γὰρ ἐθάλπετο χάρματι πολλῷ,
δερκόμενος ῥοδόπηχυν ὁμόφρονα Τυνδαρεώνην.

Εἰς Ἑλένην.

Ἠγασάμην δ' Ἑλένης ἐρατὸν τύπον, ὅττι καὶ αὐτὸς
χαλκῷ κόσμον ἔδωκε πανίμερον. ἀγλαΐη γὰρ
ἔπνεε θερμὸν ἔρωτα καὶ ἀψύχῳ ἐνὶ τέχνῃ.

Εἰς Ὀδυσσέα.

Πυκναῖς δὲ πραπίδεσσιν ἀγάλλετο δῖος Ὀδυσσεύς·
οὐ γὰρ ἔην ἀπάνευθε πολυτρέπτοιο μενοινῆς,
ἀλλ' ἔτι κόσμον ἔφαινε σοφῆς φρενός. ἣν δ' ἐνὶ θυμῷ
καγχαλόων, Τροίην γὰρ ἐγύμνωσε πᾶσαν ὀλέσσας
ἧσι δολοφροσύνῃσι. σὺ δ' Ἕκτορος ἔννεπε μῆτερ.

Εἰς Ἑκάβην.

Τίς σε πολυτλήμων Ἑκάβη τόσα δάκρυα λείβειν
ἀθανάτων ἐδίδαξεν, ἀφωνήτῳ ἐνὶ κόσμῳ;

οὐδὲ

οὐδέ σε χαλκὸς ἔπαυσεν ὀϊζύος, οὐδέ σε τέχνη
ἄπνοος οἰκτείρασα δυσαλγέος ἔσχεθε λύσσης.
ἀλλ' ἔτι δακρυχέουσα, πεπήγασαι. ὡς δὲ δοκεύω,
οὐκέτι δυσζήλου μόρον Ἕκτορος, οὐδὲ ταλαίνης
Ἀνδρομάχης βαρὺ πένθος ὀδύρεαι, ἀλλὰ ποθεῦσαν
πατρίδα σήν. φᾶρος γὰρ ἐπικρήμνες ἀμφὶ προσώπῳ
πήματα μὲν δείκνυσιν. ἀπαγγέλλουσι δὲ πέπλοι
πένθος ὑποβρύχιον, κεχαλασμένοι ἄχρι πεδίλων.
ἄλγεϊ γὰρ πυμάτῳ δέδεσαι φρένα. καὶ δὲ παρειὰς
δάκρυα μὲν στάζεις. τὸ δὲ δάκρυον ἔσβεσε τέχνη
ἄπλετον ἀγγέλλουσα δυσαλθέος αὐχμὸν ἀνίης.

Εἰς Κασάνδραν.

Κασάνδρην δ' ἐνόησα θεοπρόπον. ἀλλ' ἐνὶ σιγῇ
μεμφομένην γενετῆρα, σοφῆς ἀνεπίπλαστω λύσσης
οἷά τε θεσπίζουσα πανύστατα πήματα πάτρης.

Εἰς Πύῤῥον.

Πύῤῥος δ' ἄλλος ἔην πτολιπόρθιος, οὐκ ἐπὶ χαίτης
ἱπποκόμον τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων
ἀλλ' ἄρα γυμνὸς ἔλαμπε, καὶ ἄχνοον εἶχεν ὑπήνην.
δεξιτερὴν δ' ἀνέτεινεν ἑὴν ἐπιμάρτυρα νίκης,
λοξὰ Πολυξείνην βαρυδάκρυον ὄμμασι λεύσσων.

Εἰς Πολυξένην.

Εἰπὲ Πολυξείνη δυσπάρθενε, τίς τοι ἀνάγκη
χαλκῷ ἐν ἀφθόγγῳ κεκρυμμένα δάκρυα λείβειν.
πῶς δὲ τεῷ κρήδεμνον ἐπειρύσασα προσώπῳ
ἵστασαι αἰδομένη μὲν ἀλίγκιος. ἀλλ' ἐνὶ θυμῷ
πένθος ἔχεις. μή, δῆθε τεὸν πτολίεθρον ὀλέσσας
ληΐδα Πύῤῥος ἔχει φθιώτιος; οὐδέ σε μορφὴ
ῥύσατο, τοξεύσασα Νεοπτολέμοιο μενοινήν,
ἥ ποτε θηρεύσασα τεοῦ γενετῆρα φονῆος,
εἰς λίνον αὐτοκέλευστον ἀελπτέος ἤγαγ' ὀλέθρου.
ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον. εἰ νύ σε τοίην
ἔδρακε Πύῤῥος ἄναξ, τάχα κεν ξυνήονα λέκτρων
ἦγε, πατρῴης ἀπολιπὼν μνημήϊα μοίρης.

Εἰς Αἴαντα τὸν λοκρόν.

Ἠγασάμην δ' Αἴαντα, τὸν ὀβριμόθυμος Ὀϊλεὺς
λοκρίδος εὐάνδροιο πελώριον ἕρκος ἀρούρης.
φαίνετο μὲν νεότητι κεκασμένος. οὐδὲ γὰρ ἦεν
ἄνθεϊ λαχνήεντι γενειάδος ἄκρα χαράξας.
γυμνὸν δ' εἶχεν ἅπαν στιβαρὸν δέμας. ἠνορέῃ δὲ
βεβριθὼς, ἐλέλιζε μαχήμονος οἶστρον ἐνυοῦς.

Εἰς Πάριν.

Αἰδομένῳ μὲν ἔοικεν ὁ βουκόλος. εἶχε δ' ὀπωπὴν
πλαζομένην ἑτέρωσε δυσίμερος. ἄζετο γάρ που
Οἰνώνην βαρύδακρυν ἰδεῖν κεβρηνίδα νύμφην.

Εἰς Οἰνώνην.

Οἰνώνη δὲ χόλῳ φρένας ἔζεεν, ἔζεε πικρῷ
ζήλῳ θυμὸν ἔδουσα. Πάριν δ' ἐκέλευε λαβοῦσα
ὄμματι μαινομένῳ, κρυφίην δ' ἤγγελλεν ἀπειλὴν
δεξιτερῇ βαρύποτμον ἀναινομένη παρακοίτην.

Εἰς Μίλωνα.

Ἡ δὲ παλαισμοσύνην δεδαημένος ὄβριμος ἀνήρ,
εἰ δὲ Φίλων ἤκουε, πελώριος. εἴτε Φιλάμμων,
εἴτε Μίλων Σικελῆς θρέμμα χθονός, οὐδὲν ἀπόλλων
οὐ γὰρ ἐγὼ δεδάηκα διακρῖναι, καὶ ἀεῖσαι
οὔνομα θαρσαλέου κλυτὸν ἀνέρος. ἀλλὰ καὶ ἔμπης
ἔπνεεν ἠνορέην. λάσιος δέ οἱ εἷλκε πώγων,
καὶ φόβον ἠκόντιζον ἀεθλητῆρα παρειαί,
καὶ κεφαλῆς ἔφριξεν ἐθειράδες. ἀμφὶ δὲ πυκνοῖς
μυώνεσσι μελέεσσιν ἀνοιδαίνοντο τενόντες
τρηχαλέοι. δοιοὶ δὲ συνισταμένων παλαμάων
εὐρέες ἀμφικνῶντο βραχίονες ἠύτε πέτραι,
καὶ παχὺς ἀλκήεντι τένων ἐπανίστατο νώτῳ,
αὐχένος εὐγνάμπτοιο περὶ πλατὺν αὐλὸν ἐγείρων.

Εἰς Δάρητα.

Αὐαλέῳ Δάρης ἐζώννυτο χεῖρας ἱμάντι,
πυγμαχίης κήρυκα φέρων χόλον. ἠνορέης δὲ
ἔπνεε θερμὸν ἆσθμα πολυστρέπτοισιν ὀπωπαῖς.

Εἰς Ἔντελλον.

Ἔντελλος δὲ Δάρητος ἐναντίον ὄμμα τιταίνων,
γυιοτόρους μύρμηκας ἐμαίνετο χερσὶν ἑλίσσων.
πυγμαχίης δ' ὤδινε φόνου διψῶσαν ἀπειλήν.

Εἰς Χαρίδημον.

Δέρκεό μοι Χαρίδημον, ὃς Ἀτθίδος ἡγεμονεύων,
Κεκροπίδην στρατὸν εἶχεν ἑῆς πειθήμονα βουλῆς.

Εἰς Μελάμποδα.

Ἦν ἰδὼν ἀγάσαιο Μελάμποδα. μαντιπόλον μὲν
ἱερὸν εἶδος ἔφαινεν. ἐοίκει δὲ θεσπιδὸς ὀμφῆς
σιγηλοῖς στομάτεσσι θεοπρόπον ἆσθμα τιταίνειν.

Εἰς Πάνθοον.

Πάνθοος ἦν Τρώων βουληφόρος, ἀλλ' ἔτι δεινὴν
οὔπω μῆτιν ἔπαυσε κατ' Ἀργείων στρατιάων.

Εἰς Θυμοίτην.

Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε Θυμοίτης,
ἀμφασίης πελάγεσσιν ἐελμένος. ἦ γὰρ ἐῴκει
σκεπτομένῳ τινὰ μῆτιν ἐπὶ Τρώεσσιν ὑφαίνειν.

Εἰς Λάμπωνα.

Λάμπων δ' ἀχνυμένῳ ἐναλίγκιος ἦεν ἰδέσθαι.
οὐ γὰρ ἔτι φρεσὶν εἶχε κυλινδομένοιο κυδοιμοῦ,
τειρομένοις Τρώεσσι τεκεῖν πινυκόνα βουλήν.

Εἰς

Εἰς Κλύτιον.

Εἱστήκει Κλυτίος μὲν ἀμήχανος· εἶχε δὲ δισσὰς
χεῖρας ὁμοπλεκέας, κρυφίης κήρυκας ἀνίης.

Εἰς Ἰσοκράτην τὸν ῥήτορα.

Χαῖρε φάος ῥητρῆς Ἰσόκρατες, ὅττι σὺ χαλκῷ
κόσμον ἄγεις. δεικνύεις γὰρ ἐπίφρονα μήδεα φαίνειν
εἰ καὶ ἀφωνήτῳ σε τύπῳ χαλκεύσατο τέχνη.

Εἰς Ἀμφιάραον.

Ἔστη δ' Ἀμφιάρηος ἔχων πολυλαμπέα χαίτην
στέμματι δαφναίῳ, κρυφίην δ' ἐλέλιζεν ἀνίην,
θεσπίζων ὅτι πᾶσι λυρόκτιτος ἀνδράσι Θήβη,
ἀνδράσιν Ἀργείοισιν ἀπότροπον ἦμαρ ὀλέσσει.

Εἰς Ἀγλαόν.

Ἀγλαὸς ἑστήκει χρησμολόγος, ὅν τινά φασι
μαντιπόλον γενετῆρα θεοφραδέος Πολυΐδου.
εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.

Εἰς Ἀπόλλωνα.

Εἶδον ἀκερσεκόμην Ἑκατον θεόν, εἶδον ἀοιδῆς
κοίρανον, ἀτμήκτοισι κεκασμένον ἄνθεσι χαίτης.
εἶχε γὰρ ἀμφοτέροισι κόμης μεμερισμένον ὤμοις
βόστρυχον αὐτοέλικτον. ἕλισσε δὲ μάντιν ὀπωπὴν
οἷά τε μαντοσύνῃ μεροπήια πήματα λύων.

Εἰς Αἴαντα τὸν μέγαν.

Γυμνὸς δ' ὀβριμόθυμος ἔην Τελαμώνιος Αἴας,
μήπω πρῶτον ἴουλον ἔχων. ἐκέκαστο δὲ μορφῆς
ἄνθεσι πατρῴης. πλοκάμους δ' ἐσφίγγετο μίτρῃ.
οὐ γὰρ ἔην τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων
οὐ σάκος ἑπταβόειον ἐπωμαδόν. ἀλλὰ τοιοῦτος
θαρσαλέην ἀνέφαινεν ἀγηνορέην Τελαμῶνος.

Εἰς Σαρπηδόνα.

Ἵστατο Σαρπηδὼν Λυκίων πρόμος. ἠνορέῃ μὲν,
φρικτὸς ἔην. ἁπαλοῖς δὲ νεοτρεφέεσσιν ἰούλοις
οἰνοπὸς ἄκρα χάρασσε γενειάδος. ἀμφὶ δὲ χαίτας
εἶχε κόρων. γυμνὸς μὲν ἔην δέμας. ἀλλ' ἐνὶ μορφῇ
σπέρμα Διὸς σήμαινεν. ἐπ' ἀμφοτέρας γὰρ ὀπωπὰς
μαρμαρυγὴν ἀνέπεμπεν ἐλευθερίου γενετῆρος.

Εἰς Ἀπόλλωνα.

Καὶ τρίτος εὐχαίτης τριποδηλάλος ἦεν Ἀπόλλων.
καλὸς ἰδεῖν, πλόκαμος γὰρ ἕλιξ ἐπιδέδρομεν ὤμοις
ἀμφοτέροις. ὁρατὴ δὲ θεοῦ διεφαίνετο μορφὴ
χαλκῷ κόσμον ἄγουσα. θεὸς δ' ἐτίταινεν ὀπωπὴν,
οἷά τε μαντιπόλοισιν ἐπὶ τριπόδεσσι δοκεύων.

Εἰς Κύπριν.

Καὶ τριτάτην θάμβησα πάλιν χρυσῆν Ἀφροδίτην,
φάρεϊ κόλπον ἔχουσαν ἐπίσκιον. ἀμφὶ δὲ μαζοῖς
κεστὸς ἕλιξ κεχάλαστο. χάρις δ' ἐνενήχετο κεστῷ.

Εἰς ἀχιλλέα.

αἰχμητὴς δ' ἀνίουλος ἐλάμπετο δῖος ἀχιλλεύς,
γυμνὸς ἐὼν γενύων. ἐδίδαξε μὲν ἔγχος ἑλίσσειν
δεξιτερῇ, σκαιῇ δὲ σάκος χάλκειον ἀείρειν
σχήματι τεχνήεντι. μόθου δ' ἀπέπεμπεν ἀπειλὴν
θάρσεϊ τολμήεντι τεθηγμένος. αἱ γὰρ ὀπωπαὶ
γνήσιον ἦθος ἔφαινον, ἀρήϊον αἰακιδάων.

Εἰς ἑρμῆν.

Ἦν δὲ καὶ ἑρμείης χρυσόρραπις. ἑστάμενος δὲ
δεξιτερῇ προθέοντος ἀνείρυε δεσμὰ πεδίλου,
εἰς ὁδὸν ἀΐξαι λελιημένος, εἶχε γὰρ ἤδη
δεξιὸν ὀκλάζοντα θοὸν πόδα. τῷ δ' ἔπι, λαιὴν
χεῖρα ταθεῖσαν, ἔπεμπεν ἐς αἰθέρα κύκλον ὀπωπῆς
οἷά τε πατρὸς ἄνακτος ὑποτρέποντος ἀκούων.

Εἰς ἀπυλήϊον τὸν μάγον.

Καὶ νοερῆς ἄφθεγκτα λατινίδος ὄργια μούσης
ἄζετο παπταίνων ἀπυλήϊος, ὅν τινα μύστην,
αὐσονὶς ἀρρήτου σοφίης ἀνεθρέψατο σειρήν.

Εἰς ἄρτεμιν.

Φοίβου δ' οὐρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
ἄρτεμις. ἀλλ' οὐ τόξον ἑκηβόλον, οὐδὲ φαρέτρην
ἰοδόκον κατέχουσα κατωμαδίην. ἦν δ' ὑπὲρ γούνων
παρθένιον λέγνωτον ἀναζωσθεῖσα χιτῶνα,
καὶ τριχὸς ἀκρήδεμνον ἀνειμένη πλόκον αὔραις.

Εἰς ὅμηρον.

Ἔμφρονα χαλκὸν ὅμηρος ἐδείκνυεν, οὔτε μενοινῆς
ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
φωνῆς ἀμβροσίης. ἀνέφαινε δὲ θυιάδα τέχνην.
ἢ καὶ χαλκὸν ἔχευεν ὁμοῦ θεὸς εἴδεϊ μορφῆς.
οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων,
ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν ἀθήνη,
εἶδος ὑπισαμένη τό, τ' ἐφίλεεν. ᾧ γὰρ ὁμήρῳ
αὐτὴ ναιετάουσα, σοφὴν ἐφθέγγετο μολπὴν
σύννομος ἀπόλλωνι. πατὴρ δ' ἐμὸς, ἰσόθεος φώς,
ἵστατο θεῖος ὅμηρος. ἔικτο μὲν ἀνδρὶ νοῆσαι
γηραλέῳ. τὸ δὲ γῆρας, ἔην γλυκύ. τόσον γ' αὐτῷ
πλειοτέρην ἔσταξε χάριν. κεκέραστο δὲ κόσμῳ
αἰδοῖ τε, φίλῳ τε. σέβας δ' ἀπελάμπετο μορφῆς.
αὐχένι μὲν κύπτοντι γέρων ἐπεσύρετο βότρυς,
χαίτης εἰς ὀπίσω πεφορημένος. ἀμφὶ δ' ἀκουὰς
πλαζόμενος, κεχάλαστο. κάτω δ' εὐρώετο πώγων
ἀμφιταθείς, μαλακός δὲ, καὶ εὔτροχος. οὐδὲ γὰρ ἦεν
ὀξυτενής, ἀλλ' εὐρὺς ἀπεπαύετο, κάλλος ὑφαίνων
στήθεϊ γυμνωθέντι, καὶ ἱμερόεντι προσώπῳ.

γυμνὸν

γυμνὸν δ' εἶχε μέτωπον, ἐπ' ἀπλοκάμῳ δὲ μετώπῳ
ἧστο σαοφροσύνη κουροτρόφος. ἀμφὶ δ' ἄρ' ὀφρῦς
ἀμφοτέρας προβλῆτας ἐΰσκοπος ἔπλασε τέχνη.
οὔτι μάτην. φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
ἀλλ' οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
ἕζετο γὰρ κενεοῖς χάρις ὄμμασιν. ὡς δὲ δοκεύω,
τέχνη τοῦτο τέλεσσεν, ὅπως πάντεσσι φανείη
φέγγος ἀπὸ κραδίης σοφίης ἄσβεστον ἀείρων.
δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαί,
γήραϊ ῥικνώεντι κατάσχετοι. ἀλλ' ἐνὶ κείναις,
αὐτογενὴς χαρίτεσσι συνέστιος ἵζανεν αἰδώς.
πιερικὴ δὲ μέλισσα, περὶ στόμα θεῖον ἀλᾶτο,
κηρίον ὠδίνουσα μελισταγές. ἀμφοτέρας δὲ
χεῖρας ἐπ' ἀλλήλῃσι λιθὰς, ἐπερείδετο ῥάβδῳ,
οἷα περ ἐν ζωοῖσιν. ἔην δ' ἔκλινεν ἀκουὴν
δεξιτερήν. δόκεεν δὲ καὶ ἀπόλλωνος ἀκούειν,
ἢ καὶ πιερίδων τινὸς ἐγγύθεν. ἐν δ' ἄρα θυμῷ,
σκεπτομένῳ μὲν ἔικτο. νόος δέ οἱ ἔνθα καὶ ἔνθα
ἐξ ἀδύτων ἐφόρητο πολυστρέπτοιο μενοινῆς,
πιερικῆς σειρῆνος ἀρήϊον ἔργον ὑφαίνων.

Εἰς φερεκύδην.

Καὶ σύριος σελάγιζε σαοφροσύνης φερεκύδης
ἱστάμενος. σοφίης δὲ θεουδέα κέντρα νομεύων,
οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων.

Εἰς ἡράκλειτον.

Καὶ σοφὸς ἡράκλειτος ἔην θεοείκελος ἀνήρ,
ἔνθεον ἀρχαίης ἐφέσου κλέος. ὅς ποτε μούσης
ἀνδρομέης ἔκλαιεν ἀνάλκιδος ἔργα γενέθλης.

Εἰς Κρατῖνον.

Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀριστονόοιο Κρατίνου,
ὅς ποτε δημοβόροισι πολισσούχοισιν ἰώνων,
θυμοδακεῖς ἐβόωσεν ἀκοντιστῆρας ἰάμβους,
κῶμον ἀεξήσας φιλοπαίγμονος ἔργον ἀοιδῆς.

Εἰς Μένανδρον.

Εστήκει δὲ Μένανδρος, ὃς εὐπύργοισιν ἀθήναις
ὁπλοτέρου κώμοιο σελασφόρος ἔπρεπεν ἀστήρ.
πολλάων γὰρ ἔρωτας ἀνέπλασε παρθενικάων,
καὶ χαρίτων θεράποντας ἐγείνατο παῖδας ἰάμβους
ἅρπαγας οἰστρήεντας ἀειδινώτοιο κορείης,
μίξας σεμνὸν ἔρωτι μελίφρονος ἄνθος ἀοιδῆς.

Εἰς ἀμφιτρύωνα.

Αμφιτρύων δ' ἤστραπτεν, ἀπειρογάμῳ τρίχα δάφνῃ
στεψάμενος. πᾶσιν ἐΰσκοπος εἴδετο μάντις.
ἀλλ' οὐ μάντις ἔην. πατρὸς δ' ἀπὸ σήματα νίκης

στέμμα πολυστρέπτοισιν ἐπάρμενον εἶχεν ἐθείραις
ἀλκμήνης μενέχαρμος ἀριστοτόκου παρακοίτης.

Εἰς Θουκυδίδην.

Θουκυδίδης δ᾽ ἐλέλιζεν ἑὸν νόον. ἦν δὲ νοῆσαι,
οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.
δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀέθλων
σπάρτης πικρὸν ἄρηα, καὶ αὐτῶν κεκροπιδάων,
ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.

Εἰς ἡρόδοτον.

Οὐδ᾽ ἁλικαρνασσοῦ με παρέδραμε θέσπις ἀοιδὸς
ἡρόδοτος πολυΐδρις, ὃς ὠγυγίων κλέα φωτῶν
ὅσσα περ ἠπείρων δυὰς ἤγαγεν, ὅσσα περ αἰὼν
ἔδρακεν ἑρπύζων, ἐννέα ταῖς ἀνεθήκατο μούσαις,
μίξας εὐεπίῃσιν ἰωνίδος ἄνθεα φωνῆς.

Εἰς Πίνδαρον.

Θήβης δ᾽ ὠγυγίης ἑλικώνιος ἵστατο κύκνος,
πίνδαρος ἱμερόφωνος. ὃν ἀργυρότοξος ἀπόλλων
ἔτρεφε βοιωτοῖο παρὰ σκοπιὴν ἑλικῶνος,
καὶ μέλος ἁρμονίης ἐδιδάξατο. τικτομένου γὰρ
ἑζόμεναι λιγυροῖσιν ἐπὶ στομάτεσσι μέλισσαι,
κηρὸν ἀνεπλάσσαντο σοφῆς ἐπιμάρτυρα μολπῆς.

Εἰς Ξενοφῶντα.

Ξεινοφόων δ᾽ ἤστραπτε φερέσπιδος ἀστὸς ἀθήνης.
ὃς πρὶν ἀχαιμενίδαο μένος Κύροιο λιγαίνων,
εἵπετο φωνήεντι πλατωνίδος ἤθεϊ μούσης,
ἱστορίης φιλάεθλον ἀριστώδινος ὀπώρην,
συγκεράσας ῥαθάμιγξι φιλαγρύπνοιο μελίσσης.

Εἰς ἀλκμαίωνα.

Ἵστατο δ᾽ ἀλκμαίων κεκλημένος οὔνομα μάντις.
ἀλλ᾽ οὐ μάντις ἔην ὁ βοώμενος, ἀλλ᾽ ἐπὶ χαίτης
δάφνης εἶχε κόρυμβον. ἐγὼ δ᾽ ἀλκμᾶνα δοκεύω
ὃς πρὶν εὐφθόγγοιο λύρης ἠσκήσατο τέχνην,
δώριον εὐκελάδοισι μέλος χορδῇσιν ὑφαίνων.

Εἰς Πομπήϊον.

Καὶ πρόμος δυναμάτων Πομπήϊος αὐσονιήων,
φαιδρὸν ἰσαυροφόνων κειμήλιον ἠορεάων,
στειβομένας ὑπὸ ποσσὶν ἰσαυρίδας εἶχε μαχαίρας
σημαίνων ὅτι δοῦλον ὑπὸ ζυγὸν αὐχένα ταύρου
εἴρυσεν, ἀρρήκτῳ πεπεδημένον ἅμματι νίκης.
κεῖνος ἀνήρ, ὃς πᾶσιν ἔην φάος, ὃς βασιλῆος
ἠγαθέην ἐφύτευσεν ἀναστασίοιο γενέθλην.
τοῦτο δὲ πᾶσιν ἔδειξεν ἐμὸς σκηπτοῦχος ἀμύμων
δηώσας βελέεσσιν ἰσαυρίδος ἔθνεα γαίης.

Εἰς ὅμηρον.

Ἵστατο δ᾽ ἄλλος ὅμηρος, ὃν οὐ πρόμον εὐεπιάων
θέσκελον υἷα μέλητος ἐϋρρείταο δοκεύω,

ἀλλ᾽ ὃν

ἀλλ' ὃν Θρηϊκίῃσι παρ' ἠόσι γείνατο μήτηρ
Μυρὼ, κυδαλίμη, Βυζαντίη, ἣν ἐπὶ πεδίλων
ἔτρεφον εὐεπίης ἡρωΐδος ἴδμονα μοῦσαι.
κεῖνος γὰρ τραγικῆς πινυτὴν ἠσκήσατο τέχνην,
κοσμήσας ἐπέεσσιν ἑὴν Βυζαντίδα πάτρην.

Εἰς Βιργίλιον.

Καὶ φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος,
πνείων εὐεπίης Βιργίλιος, ὅν ποτε Ῥώμης
Θυμβρεῖς ἄλλον Ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

## Ioannis Brodaei Turoneñ. Scholia.

Ἐπ' ὀρνυμένῳ Μενελάῳ. Menelaus apud Q. Calabrū lib. 13. Deiphobum καρηβαρέοντα κιχήσας ἀμφ' Ἑλένης λεχέεσσι necat, quam post obitū Paridis uxorem duxerat. is se ab Helena proditū cōqueritur Aeneid. 6. quae fidum capiti subduxerat ensem. quibus de causis caesos à se homines mutilarēt prisci, ut Deiphobū truncauit Virgilianus Menelaus, Dictys quoq; testimonio est, declarat Etymologiarū Graecanicarū coaceruator in uoce ἀπάγματα. Suidas in dictione ἐμμαπέως, Sophoclis in Electra expositor super hoc Iambo. ἐμασχαλίσθη, κἀπὶ λουτροῖσι κάρα. & Apollonij 4. Argonaut. ibi, ὡς δ' αἰζηοὺς ἐξάργματα τάμνε θανόντος. τρὶς δ' ἀπέλειξε φόνου, τρὶς δ' ἐξ ἄγος ἔπτυσ' ὀδόντων. μελάθρων. ędiū suarū. προβιβῶντι. procedenti. δόχμιος. obliquus. φέγγος. oculos uoluebat. ἄορ. ensem furori nō obsequentem. ἄνθεα. decus. πειθοῦς. Rhetorices, suadę. λασίης πτερίης. qualem habere Timarchi accusatorē hominis mollis & depilati consentaneū est. κῆρ & στῆθος λάσιον, Homero nō densum pilis sed prudēs dicitur. Lucianus post Demosthenē Aeschinem τυμπανιστρίας filium, id est τῆς διάβους μετὰ τυμπάνων τελούσης uocat. συνεέργαθεν. continebat. ἀφυγέας. ociosas. εἴκτο similis erat. ὀπωπαί. oculi. ἐκ παιανιέων. ex ea Atheniensi tribu. σάλπιγξ. tuba eloquens. ῥῆξις εὐκελάδοιο. facultatis oratoriae. εἴδετο. uidebat. ἠμαθίων. Macedonū. Philippi. Alexandri. Antipatri. ἄπνοον. mortuā imaginem. αὐδῶντα. loquentem. χαλκείης σιωπῆς. Aeneae statuae. θυείπτοιο φορώνυμος. θυεπίπτης τοῦ θυείπτου. καὶ γὰρ ἐν θυείπτῳ φασὶ γεννηθῆναι αὐτόν. Etymologicus aliud adfert. lib. 2. Priscianus. Inueniuntur quaedam nomina formae Patronymicorū significatione denominatiua, ut Euripides propriū, nō Euripi filius, sed ab Euripo sic nominatus dicit Euripides: quia illo die natus est quo Atheniēses cum Persis in Euripo bellū cōmisere. θύρσῳ πινάσσων. populū Atheniēsem semper in tragoedijs ad temperantiā castitatemq; stimulauit quas in Dionysiis (quorū originē narrat Pomponius Sabinus in 2. Georg. Virgilij) dabāt Athenis poetae. Thyrsus hasta pura aut baculus Liberi patris erat, hedera et pāpinis inuolutus, quē Bacchātes in choreis portabāt. παλαίφατος. is est fortassis quem Thaliae filiū esse ac de plātis libros emisisse uolūt. quatuor Palaephatos numerat Suidas. de secūdo ita sentit Theon. ὁ παλαιφάτῳ τῷ περιηγητικῷ ἐστιν ὅλον βιβλίον περὶ τῶν ἀπίστων συγγεγραμμένων. Tzetzes. ὁ δὲ σοφὸς παλαίφατος, ἀνὴρ ἐκ τῶν πάνυ. at alibi. τὸ ἀλληγόρημα, τέκνον ἐμόν, μοι δοκεῖ οἶμαι τοῦ παλαιφάτου δὲ τοῦ σωικοῦ τυγχάνει ἔλαττον ὄν, οὐχὶ σαθρόν, οἷα τὰ πλείω γράφει. θυάδος λύσσης. poetica insania. πολύιδος. Polyidus. Glaucum à mortuis suscitasse fertur, huius meminit Homerus Iliad. ν. πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύιδος. Palaephatus in Glauco & Pindari cōmentor in Olympijs. δάφνῃ. Lauro coronatus. ἀναξιμένης. Suidas & Laertius in eius uita. κάλχας. Hom. Iliad. α. βασιλῆα. Agamēnonē. πτολιπόρθιον.

qui

qui Troiam euertit. Homer. Odyss. λ. & Calaber lib. 7. τέχνη. ars excussoria. ἰδρυμένην. edito in loco positā. ἀμυμώνη. Amymone Danai filia cū in sylua uenaretur Satyrū bestiam rata iaculo trāsfixit, qui cū illi ob acceptū uulnus uim afferre conaret̄ Neptuni auxiliū implorat. is fugato satyro Amymonē uitiat. Lucianus in dialogis nō ita censet, nec Philostratus. ἡ δανάη χρυσὸν ἐλάμβανεν, ἡ λήδα ὄρνιθας, ἡ ἀνθρώπη τὰ δὲ ἀγέλης, ἡ αὐλιόπη ὅλα ὄρεια, ἡ ἀμυμώνη τὰ ἐκ θαλάττης. quem etiā in imaginibus cōsule. ἐνάλιον. Neptunū. δελφῖνα πολέμιχθος. Amphitrite diu Neptuno reluctata est, uirginitatē seruare cupiens. tandē Neptunus ad puellam Delphinū misit, cui nihil nō persuasit, quare beneficij memor illū inter astra collocauit. δῶρα μνηστήρια. ἔδνα. spōsalia. ἐπαύλια appellāt quę postero post nuptias die spōsæ pater adducebat spōso ac spōsæ, pōpæ cuiusdā specie. Varinus ibi ἐπαύλια. eadē προσφόρηνα uocātur. Sūt aūt ἀνακαλυπτήρια, quæ uir sponsæ cōtribuebat cum primū retecta uidendā se præberet, ab alijs Theoretica dicta. Philostr. in Antipatro. ὁ τῆς ὑποθεσίων ὁρωμένη τινὸς αὐτῆς ποτὲ ἄγοι τὰ ἀνακαλυπτήρια. Euripidis scholia. δέδοται γὰρ τὰς θήβας τῇ περσεφόνῃ ὑπὸ τοῦ διὸς ἀνακαλυπτήρια. Pindari. ἡ δὲ σικελία ἐχαρίσατο τῇ περσεφόνῃ εἰς τὰ ἀνακαλυπτήρια ὑπὸ τοῦ διὸς δοθεῖσα κόρης. Amphitrites. Ego nūc Amymones ex superioribus carminibus & Luciani dialogis explico. nec quin de Corcyra, Tyro, Pitana, Iphimenia, atq; alijs permultis a Neptuno cōstupratis hoc enodari possit, nihil moror. λιγύθροος. canora. φθεγγόμενον. Musicū. βιοπλάνος. Pythia in Adyto super tripodem sedens per spiritū quendā tenuem ignēq; ex ore antri cuiusdā erumpentē, deum suscipiebat, ac uaticinabat̄. Aristophanis glossulæ in Pluto. Diodorus 16. Strab. 9. φασὶ δ' εἶναι τὸ μαντεῖον, ἄντρον κοῖλον κατὰ βάθος. ἀναφέρεσθαι δ' ἐξ αὐτοῦ πνεῦμα ἐνθουσιαστικόν. ὑπερκεῖσθαι δὲ τοῦ στομίου τρίποδα ὑψηλόν. ἐφ' ὃν τὴν πυθίαν ἀναβαίνουσαν, δεχομένην τὸ πνεῦμα, ἀποθεσπίζειν, ἔμμετρά τε καὶ ἄμετρα. Callimachus. ὅπως μοι πυθῶνι μέλει τρίποδος ἕδρη. γυμνάσια. oraculis. ἀναφαίνεται sol. ἐξ ἀμάρυγας. pulchritudinis uero quasi guttas stillabat. ἄντυγι. circūferentia circū crassa & cōpacta fœmora cōtrahebat. Calaber. ἀλίγκιον ἄντυγι μηρῶν. κλεινιάδην. Alcibiadē Cliniæ filiū. repone εἰς ἀλκιβιάδην. τέθηπα. sum admiratus. μυθοτρόφοι μύθων. oratorij sermonis aut fabularū. μητρόπι μύθων dixit Homerū iocose æmulari cupiens apud quē μηλοτρόφοι μήλων & μητρόπα θηρῶν cōperies. χρύσης δ' ὦ ἱερεύς. Homerus Iliad. α. Huius filia Astynome uocabatur, Fadioniq; Lyrnesi regulo nupserat. Chryseis uero patronymicum nomen est. ἱερὸν γένος. ea corporis uastitate fuisse tum homines, quam in Heroicis Philostratus prędicat, qua fronte, quo ore, nemo mētis cōpos sentit. hoc tamē a Plinio aut poetis quis extorqueat? Homer. Iliad. μ. & νοιοι νῦν βροτοί εἰσι. Virg. in Georg. grādiaq; effossis mirabit̄ ossa sepulchris, quasi futurū esset ut indies decresceret mortaliū genus, ossaq; ea pumiliones cū stupore intuerent̄ posteri. grādia sane nō copiosa significat. Iuuen. terra malos homines nūc educat atq; pusillos. ἀτρείδην. Agamemnonem Iliad. α. ἀθείρης. scribe ἐθείρης. βότρυς. crines βοτρυδὸν cōnexi. βοέαις. clypeis. hostiū spolijs. αὐσονίοισιν. Romanis. θνατῆς. Veneris. ἑρμαφρόδιτος. Ouid. in Metamor. et Lucian. in colloquio Mercurij & Apollinis ἑρμάων. Mercurij. φυτοσπόρον. Penē. ζωῆς. maris & fœminæ. ποιητικῶς. poeticę. μήτε λίπης τὸν πανδόκον. Hūc Plutarc. omniū suo æuo pręstantissimū citharœdum ac rerū ab Heroibus gestarū Encomiastem eximium fuisse in Lacon. Apophtheg. perhibet, quē in Lycurgo ac libello περὶ τῆς μουσικῆς percurre, Tzetzen in historico, Strab. lib. 13. Suidā ac Stephanum in uocabulo, ἄντισσα. οὗ. cuius ἀμυκλαίων. Laconū. Dionysius Afer, ἀμυκλαίων γένος ἀνδρῶν. Eustathius. ἀμυκλαίων ἤτοι λακώνων. ὡς ἀπὸ μέρους. μνεῖς γὰρ λακώνων αἱ ἀμύ-

κλαι

ἄλλαι. Tzetzes. κασσασάν τῶν δέ ποτε τῶν λακεδαιμονίων χρησμὸς αὐτοῖς ἐδόθη τὸν
λιν φιλιωβῶσαι, ἂν ἐκ μεθύμνης τέρπανδρος κιθαρίσῃ, καὶ δὴ μελλ τέρπανδρος
ἐκείνοις κιθαρίζων αὐτοὺς πάλιν συνήρμοσε. fuerunt in Laconia Amyclæ, atq; aliæ
inter Caietam & Terracinam sitæ: illas Ausonius silentio perijsse, has Seruius,
à serpentib. deletas crediderunt Solinus & Plinius. οὐ μόθον φυτυώων πελοπήιον.
non bellum Peloponnesiacum excitãs uti Pericli Olympico propter eloquen
tiæ uim cognominato comici autore Plutarcho, in libello περὶ τῆς ἡροδότου κακοη
θείας obijciunt, præcipue Aristophanes in pace, hoc metro. ἀπὸ περικλέης φο-
βηθεὶς. qui rursum in comœdia cui titulus ἀχαρνῆς, bellum hoc ob duas Aspasię
ancillas ab eo misere adamatæ inflammatum ipsi exprobrat. uide in eius ui-
ta Plutarc. ἐνδιάγειν. degere. ἀηδών. de Stesichoro quid sentiat Quintilianus ha
bes lib. 10. Hermogeni quod crebro epithetis (quæ discretionis, proprietatis,
ornatus gratia nominibus addũtur) usus sit, suauis poeta uidet. hanc suauitatẽ
premõstratã esse auspicio monet cũ Christodoro Plinius, quod in eius ore Phi
lomela cecinit infantis. λεπτά. atomos forte innuit. huius dogmatis inuẽtor fuit
ante tẽpora Troiana Mochus Sidonius. μῆλα: Hesperidum. λιβυκὰς. Africæ.
αὔγη. Auge ex Hercule Telephũ suscepit. crimen ne rescisceret pater infantem
in mõte Parthenio clam exposuit, cui ceruã ubera præbuisse fama spargit. Ca-
laber lib. 6. τεγέης. ubi Telephũ peperit. Pausanias in Arcadicis. ἀρήτειρα. sacer
dos. γλαυκώπιδα κούρην. Mineruã. τρωϊάδος. Romanæ. ἀφροδίτης. è qua patre
Anchise natus est. κρέουσαν. Creusam Aeneę uxorẽ. Maro Aeneid. 2. καλάσκιον.
uelatã. ποδηνεκεῖ. ad talos protẽso. πάτρην. patriã. Troiã. ἕλενος. Virg. Aeneid.
3. περὶ δὲ νηλὴς φαίνετο. Tzetzes. ἕλενος παῖς πριάμου μὲν, ὡς δὲ τῇ τέχνῃ μάντις. ἐκλί
πων μὲν ἀμφιλείτου γυνὴ πόρθησιν τῆς βοίας μόνος προσῆλθεν ἕλλησι, ὡς λέγει τὰς μαντείας, ὡς
τίως δείκνυσιν ὀρφεύς. ὁ δ' εὐριπίδης λέγει, ἀνθ' ὅτι ὁ δηΐφοβος ἔλαβε τὴν ἑλένην ὁ τῷ
δυσ σώαμος, φθονῶν, εἰς ἕλλησιν ἐπῆλθε. τὸν δ' ὀδυσσέα σοφοκλῆς θηρᾶσαι, ἄκων
τε τὸ τῆς πόρθησιν ἕλλησι βοίας φράσαι. Hom. Iliad. ζ. πριαμίδης ἕλενος οἰωνοπόλων
ὄχ' ἄριστος. ἐκάλει ὡς ἐπιλοιβιον. mos fuit ueteribus, uti capitib. stantiũ sub ictu cul
troq; uictimarũ, uinũ infunderet. Virg. Ipsa tenens dextra paterã pulcherrima
Dido cãdẽtis uaccę media inter cornua fundit. Euenus. ὅσσον ἐπιλοιβαί σοι βαίνε
θυσιάσω. quoties aũt thus aut uinũ sup hostiã fundebat dicebãt, mactus est tau-
rus uino uel thure, unde macte. καδδὲ ἡ τῆς δὲ. ἠθώης. patrię. ἠετίωνα. Hom. Ilia. ζ
ἀνδρομάχη θυγάτηρ μεγαλήτορος ἠετίωνος. Calab. παῖς ἠετίωνος ἀνδρομάχη. ἤειπεν.
ciderat. ἰωνδ' αρεώνην. Helenã. ἦσι δυσφροσύνῃσι. Hom. Odyss. κ. σὺ δ' ἦλω ἐκτῦ
πριάμου πόλις δυρυάγυια. ἔπαυσεν. sed lugentẽ repręsentauit. δέδεσαι. uincta es. κα
σανίδων. Virg. Aeneid. 2. & Tzetzes in Lycophronẽ. γενετῆρα. Priamũ. σοφῆς.
sacer quippe est uatũ furor. ἄχνοον. lanugine carentẽ. adhuc imberbis erat Pyr
rhus. λοξά. oblique. quã statim iugularet. φθιώτης. Phthia Thessaliæ oppido o-
riũdus, ubi Achilles regnauit. Ipse enĩ Pyrrhus in Scyro insula, pcreatus est. φθιος
ὁ φθιώτης differũt Ammonio. γενετῆρα. Achillẽ patrẽ. τοῦ φονῆος. Pyrrhi. εἰς λίνον.
rete. periculũ. Ouid. decidit in casses. ἤγαγε ὄλεθρον. cũ in æde Tymbræi Apollo-
nis nil hostile metuẽs trucidatus est. Dictys li. 4. à quo dissonãt permulti. ξυνὸν
να λέχρων. uxorẽ. μοίρης. paterni interitus immemor. ὀϊλεύς. nã alter Telamonis
fuit filius. ὁ βουκόλος. Paris. κεβρηνίδα. Cebrenis filiã. locũ esse uel à Cebreno am-
ne uel à Cebreno Priami filio, κέβρην oppidũ Moschopulo. Strabo ἦν δὲ πόλις
ποτὲ κεβρηνὶ. νύμφην. Oenonẽ è qua uel Helena potius (sic enĩ censeo) Corytũ
genuit. Ouid. Metam. 7. quoq; pater Coryti. Paris. Strabo li. 13. ἐπὶ τῆς νῦν σκήψεως
μέχρι κεβρηνίας. τάφον τε γὰρ ἀλεξάνδρου δείκνυσθαί φησιν αὐτόθι, οἰνώνη. lege Ouid.
Oenones

Oenones ad Paridem epistolã. ζήλῳ. Zelotypia. quod Paris Helenã uxorẽ du
xiſſet. ἐσκέλοψε. aſpiciebat. λύσω. ἤδε. ſcribe λῦσε. & χίλων. non φίλων quẽ bis O-
lympia uiciſſe, Iſthmia ter, ſemel Pythia, quater Nemea ex Pauſania nos nõ fu-
git. φίλων interim nõ erado. ἀντὶ φιλάμμων. Philammon pugil fuit Olympioni-
ces. Aeſchines cõtra Cteſiphontẽ, Demoſth. περὶ στεφάνου, et Ariſtotel. rhetor. 3.
ac Themiſtius. his uerbis. ἀλλὰ τόνγε φιλάμμονα πρὸς τῷ ἀλφειῷ κονίσασθαι οὐκ ἄν πο
τε ἠξίωσαν μὴ ξυμμαρτυρήσαντος ἀριστοτέλους τοῦ γένους, καὶ πάσαν ποιησαμένου. nõ enim
in ſacris certaminib. pugnabãt ſerui, ut tradit Artemidorus. σκέλος. Milonem
Crotoniẽſem fuiſſe nõ ſiculũ ſemper legimus. δάρης. Dares & Entellus ex Vir
giliano carmine Aeneid. 5. nobilitati ſunt. ἱμάντι. cæſtibus, quos μύρμηκας ſta-
tim appellat. ἄμμα. πνεῦμα. φύσημα. γυιοτόρος. mẽbra trãſfigẽtes. χαρίδημου. Cha-
ridemus ab Atheniẽſib. ciuitate donatus Philippi & Alexãdri tẽporib. floruit,
is ex Arriani lib. 1. Ariſtot. Oeconomico, Plutarchi Phocione, Demoſthenis
oratione περὶ στεφ. & Dinarcho κατὰ δημοσθ. nõ eſt incognitus. De huius uitæ in-
cõtinentia lege Athenæũ. dipnoſ. 10. & obitu Diodorũ 17. εἰς μελάμποδα. Me-
lampus Amythaone patre ortus augur magni nominis. Homer. Odyſſ. λ. & ο.
Apollo. Argonaut. α. Theocriti Idyll. γ. & Pindari in Nemeis cõmentarij, cum
Plin. lib. 25. cap. 5. is furẽtes Prœti filias ueratro nigro uel albo purgaſſe credit.
Strab. li. 9. de utraq; Anticyra atq; elleboro loquẽs grãmaticorũ ea de re diſcor
diã penitus ſedat. ἄλγος. atqui πένθος. Virg. Aeneid. 2. Ecce aũt Pantheus telis
elapſus Achiuũm, ἀνὴρ μαντικὸς Euſtathio. θυμοίτης. Maro eodẽ uolumine. pri-
musq; Thymœtes duci intra muros hortat & arce locari, uide inibi Seruiũ. &
Calabrũ lib. β. ἀμφασίης ἐσκέλλυμένος. obmuteſcẽs. λάμπων. nos reſtituere audemus
λάμπος. Lampus & Clitius. Hom. Iliad. γ. & ν. λάμποντε κλυτίοντε. Tzetzes. καὶ
λάμπω καὶ κλυτίῳ. Dictys. ex Laomedonte, Icetaonẽ, Clytiũ, Lampũ, genitos.
Baptiſta pius Lãpona legit uatemq; hunc fuiſſe male putat. nam Lampo ille ſa
crificus per anſerẽ tanquã auem augurale iurare ſolitus Periclis tẽpeſtate eni-
tuit. Plutarc. in Pericle. Athenæus lib. 8. & Ariſtophanes in Auib. πυκνόνα. ſalu-
tarẽ. κήρυκας. indices. nũcios. ἀμφιάραος. Amphiareus Oiclei filius augur, terræ
uoragine abſorptus eſt. Statius Thebaidos 7. & Pauſ. in Att. δαφναίῳ. Laurea
corona. λυροκτύπος. Amphionis cithara cõſtructæ Thebæ. ἀργεῖοι. qui Thebas
obſidebãt. πολυΐδης. huius patrẽ Coiranũ nominat Tzetzes. ἑκάεργον θεόν. Apolli-
nem. τὸν ἀπόλλωνα τὸν μακρόθεν βάλλοντα, τὸν τοξικόν. Homerus in eius hymno. ὡς εἰ-
πὼν ἐκάεργε ἐπὶ ποσὶ θῆκε φαρέτρας. & Iliad. 9. ποτὶ νηὸν ἀπόλλωνος ἑκάτοιο. Strabo. ὥστε ἑκα-
τόννησοι εἰσὶν οἷον ἀπολλόννησοι, ἑκάτος γὰρ ὁ ἀπόλλων. Calaber ὑπὸ φήμεσιν ἑκάτοιο. Iulia-
nus in epiſtolis. σιμωνίδης δ' ἄρα τῶν μελικῶν πρὸς τῇ ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν
ἑκάτον προσειπόντα καὶ καθάπερ αὐτὸν ἄλλου τινὸς ἱεροῦ γνωρίσματος αὐτὸν τῇ ἐπωνυμίᾳ κο
σμῆσαι. διότι τὸν πύθωνα τὸν δράκοντα βέλεσιν ἑκατὸν ὥς φησιν ἐχειρώσατο, καὶ μᾶλλον αὐτὸ
ἑκατὸν ἢ πύθιον χαίρειν προσαγορευόμενον. Carpitur tamẽ ab Euſtathio Simonides. im
periti enim ſagittarij eſſe nec certæ manus nec uitalia ferietis aiebat centũ te-
lis, quã uno aut altero oportebat, beſtiã conficere. Phurnutus in Apolline. κα-
λεῖται δὲ, ὁ μὲν ἕκατος, ἡ δὲ ἑκάτη, διὰ τὸ ἕκαθεν δεῦρο ἀφιέναι καὶ ἀποστέλλειν τὸ φῶς. μερο-
πήια. mortaliũ. μίτρη. faſcia. ἑπταβόειον. Homer. Iliad. η. χάλκεον ἑπταβόειον. Ouid. in
Metam. clypei dominus ſeptẽplicis Aiax. ſeptẽ boum tergoribus obducti. A-
riſtophanis interpres. ἑπταβοείους. ἀντὶ τοῦ μεγάλους. ἀπὸ μεταφορᾶς τῶν ἀσπίδων αἴαντος.
Calaber. καὶ ῥα βοῶς αἴαντα κατ' ἀσπίδα πολυβόειαν οὔτασεν. σαρπηδών. Hom. Iliad.
β. σαρπηδὼν δ' ἦρχεν λυκίων. pugnat cũ Patroclo. Iliad. π. ubi Iouis filius oſtẽdi-
tur. ἰούλοις. lanugine. ἕλιξ. retortus. τριπόδεσσι ſede quæ ternis pedibus ſuſtineba-

tur. Seruius tripodē mensam fuisse putat Aeneid. 3. ἐπίσκιον. πατρώσκιον. ἀλκιδάμου υἱὸς. Pelei maxime, qui cū Pirithoo aduersus centauros dimicauit. ex ea familia (quā in cœlum effert laudibus in Euagora Isocrates) procreati sunt excelso animo uiri, Pyrrhus Achillis filius, Molossus, Pyrrhus alter rex Epirotarū, & ipse demū ex materno genere Alexāder magnus, ex paterno Herculē cōtingēs. Adi Plutarchū in exordio uitæ Pyrrhi. τὸ μάγου. extāt Apulei huius criminis rei facti Apologiæ, in quibus duplicē Magiam ostēdit, nec nō Ficinus, Picus, Cornelius Agrippa & Pythagoricæ scholæ Apollonius Tyaneus. μάγους ὀνομάζουσι τοὺς θεοὺς οἱ πέρσαι. μάγος ἦν ὁ θεραπευτὴς τῶν θεῶν ἢ ὁ τῇ φύσει θεῖος. M. Tullius, ei magos dixisse quod genus sapientū et doctorum habebatur in Persis. in quo differat Magia (quā ἀρρητον σοφίαν uocat) Goetia, Pharmacia ostendit Suidas in uoce γοητεία, & Nicephorus in Synesiū. lege Ammoniū. περὶ ὁμοίων καὶ διαφόρων λέξεων in uerbo φαρμακεία. ἀφθεγκτα ὄργια. artē magicam. λατινίδος μούσης. Picus. nō poterant eodē tempore in Cicerone, in Plinio, in Apuleio linguę proprietates, leges, obseruātias annotare. Hæc nō suo iudicio adolescens ingeniosus, sed Sidonij, Censorini, et Baptistæ Pij, Apuleiū sane nō laudasset dirum Latini sermonis hostē poetica licētia lasciuientē audacemq; uerborū architectum. οὐρεσιφοιτος. iens per montes. ἀλυγνωτὸν. Variegatū. Callimachus. χιτῶνα ζώνῃσι ἀλυγνωτόν. ἀκρήδεμνον. sine uitta. θυάδα τέχνην. sanos poetas à Democrito Helicone exclusos certū est. negauit enim sine furore quenquā poetam esse posse. id à Platone quoq; in scriptis relatū est. ὁμοῦ. cum figura. φροντιστὸς. statuarius. θώκους, ἐφιζάνων, uel sedens. ἀνέπλασε χερσὶν ἀέθλιος. Quicquid affabre factum est Vulcano aut Mineruæ artium inuentrici attribui solet, eorūq; opera esse dicitūt. ἐώκει. cui similis esset. συνώνυμος ἀπόλλωνι. deest. εἰς τὸν αὐτόν. πατὴρ ὁ μὸς. loquitur Christodorus. omniū uero poetarū pater est Homerus. βότρυς capillus. ἀμφιπαγὴς. undiq; protēsus. ἐπλοκάμου. caluo. φοινικόεσσαν. lumine orba ti oculi. ἐν ζωοῖσιν. cū in uiuis esset. φερεκύδης. Suidas & Laertius in eius uita, Pythagorē preceptorē fuisse autumāt, primūq; de ęternitate animorū disputauisse. σύριος. è Syro insula nō Syria prouincia. Strabo. ἡράκλειτος. Suidas, Laertius in Heraclito, & Lucianus ἐν βίων πράσει. κρατῖνος. Suidas. πολυοσσούχοισιν ἰώνων. Atheniēsibus. θυμοδακεῖς. mordaces. ἐθήγησεν. acuit. fecit. ὁπλοτέρου κώμοιο. nouę comœdię princeps Menāder. fuit aūt uetus, media, & noua comœdia, docēt hoc innumeri: quorū præter Solinū cōplures in Sicilia, Athenæi dipnos. ἐν ἰκαρίῳ τῆς ἀττικῆς, Eustratius à Susarione Megarēsi inuentā censent. ἀκολυθίοιο. furtiui & uiolenti cōcubitus. ἀμφιτρύων. Amphitryonē Iouis & Alcmenę filiū somniorum & ostentorū diuinationes inuenisse perhibēt, licet uatem neget fuisse Christodorus. ἀπεφοιβάζομαι. nam Daphne uirgo in laurum uersa est. περὶ τῆς νίκης. hac lege Amphitryoni nupsit Alcmena, ut mortem Electrionis fratris à Teleboïs cæsi ulcisceretur. historiā persequūtur, Apollonij & Lycophronis scholiastæ, ac Hesiodus in scuto Herculis, qui Plauto in Amphitryone lucē afferunt. his superatis Tripodē Apollini Ismenio suspēdisse narrat Herodotus. Teleboides uero & Taphias insulas easdē esse Plin. lib. 4. cap. 12. Strabo. lib. 10. & Hesiodi eo quē signauimus loco glossographi fatentur. habitarūt & Caprearū scopulum Teleboę, autore annal. 4. Tacito. hinc Statio, Teleboūq; domi, & Ausonio uiridesq; resultāt Teleboæ, Capreæ sunt. Virgilius Teleboum Capreas dū regna teneret. ἀριστοτόκου. quæ Herculem peperit. ἀπάρτης ἀρχὴ. bellum quod inter se gesserunt Athenienses & Lacedæmonij. ἐμηστῆρα quod perdidit & deleuit Græciam. ὠγυγίων. antiquorū ab Ogygio uel Ogyge uetusto Thebarum

rege. ἠπείρων ἀνάς. Asia & Europa. ἀχαιμενίδαο. Persæ. μῆδος κύροιο. Cyrū anabasim conscripsit. M. Tull. in lib. de diuin. Xenophonti consulenti sequeretur ne Cyrum. Epicurū abrade. πλατωνίδος. maluissem Socraticæ dicere. nā quēadmodū fuerint inter se animati Plato & Xenophon, ex Athenæi 11. & Laertio pertritū est, tametsi libentius Gelliū lib. 14. cap. 3. audiendum censeam. ἀλκμαίων. Alcmæonem ex Amphiarao enixa est Eriphyle, quī patris mādato obsequēs in matrē sceleratā impie animaduertit. Thucyd. li. 2. ἀλλ' ὁ μάντις ἦν. Nos uel Alcmæonis Atheniēsis statuā fuisse auguramur, qui Olympia suorū ciuiū primus biga uicit attestāte Isocrate, & Pindari glossographo (nisi fallor) hymno Pythio. 7. uel Alcmęonis Crotoniēsis, cuius uitā perstringit Laertius, quem Stobæus & Aristoteles aduocāt ἀλκμαῖνα. Ego in hoc Christodoro nō adhæreo, magnum siquidē est inter Alcmanem & Alcmæonē discrimē, tametsi Pindarus ἀλκμαν pro ἀλκμαίων extrita syllaba detrūcet. αὐσονιήων. Romanorum. ἰσαυρίδας εἶχε μαχαίρας. Isaurica gēs Christodori ætate ob crebras excursiones ac latrocinia quibus finitimos agros depopulabať, infestāq; prouinciā reddebat, ob idq; Cōstantinopolitanis imperatoribus molesta, gloriā aliquā perinde ac bellicosa esset, cōsecuta est, indicat Ammianus Marcell. Sozomenus: Isauri quoq; latrones maxima multitudine, quo uitio semper uidenť laborasse. Strab. ἔπι ἰσαυρία κώμας δύο ἔχουσα ὁμωνύμους. τὴν μὲν παλαιὰν καλουμένην εὐερκῆ. ὑπήκοοι δ' ἦσαν ταύταις, καὶ ἄλλαι κῶμαι συχναί. λῃστῶν δ' ἅπασαι κατοικίαι. inde iurecōsultis Isaurus latro est. Cōstantius Harmenopulus. ἡ διάταξις βούλεται τοὺς λῃστὰς καὶ τοὺς ἰσαύρους. id est prædones & grassatores. nūc per Isauros, Armeni, Cappadoces, Cilices piratæ, Iberi, Paphlagones, Albani intelliguntť. de quibus triūphauit Pōpeius. ταύρου. Tauri mōtis. Stephanus in uerbo ταῦρος. & Arrianus lib. 5. & 8. ταῦρον δὲ κικλήσκουσιν. (ait Dionysius) οὕνεκα ταυροφανής τε καὶ ὀξυκάρηνος ὀδαίνει. ἰσαυρίδος ἔθνεα γαίης. ab Anastasio iusto prælio Isauros debellatos in Eclogis Theodori legimus. μέλητος. Meletis fluuij. βιργίλιος. qui Virgiliū per i. enūtiant ut Græci omnes nō Vergiliū hoc epigrāma in mediū afferūt, in quorū sententiā magis inclinat animus, q̄ Politiani. πάτριος ἠχώ. lingua Latina.

## ΕΙΣ ΤΑΣ ΕΝ ΤΩ ΙΠΠΟΔΡΟΜΩ

Κωνσταντινουπόλεως στήλας τῶν ἀθλητῶν, ἐπιγράμματα.

### Εἰς Πορφύριον.

Πορφύριον Κάλχαντος, ἄναξ, καὶ δῆμος ἐγείρει,
πολλοῖς δυναμένοις βριθόμενον στεφάνοις,
πᾶσι μεθ' ἡνιόχοισι νεώτερον, ὅσσον ἄριστον,
ἀλλὰ τὸ πρὶν νίκης κάρτος ἐνεγκάμενον.
ἔπρεπε μὲν χρυσέῳ ἐν ἀγάλματι, μηδ' ἐνὶ χαλκῷ
ἕστην τοῖς ἄλλοις εἴκελον ἑστάμεναι.

### Εἰς τὸν αὐτόν.

Τετράκι μὲν τὸ πάροιθε διακεκριδὸν ἴαχε δῆμος,
τὸν καλχαντιάδην Πορφύριον ποθέων.
αὐτὰρ ὁ δεξιτεροῖσιν ἀνακτορέοιο θοώκου
ἡνία, καὶ ζώνην ἱππότιν ἀνθέμενος,
κάθεν ὑπ' ἀντιόχων ἔλασε. μεσσηγὺ δ' ἀέθλων
χάλκεος ἑστήθη, πρῶτον ἴουλον ἔχων.

σοὶ δ' ἐτέων γέρας ἦλθε θοώτερον, ἀλλ' ἐπὶ νίκαις
ὄψιμον, ἀλλὰ μόλις, πολλὰ μετὰ στέφεα.

Εἰς τὸν αὐτόν.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη
φίλατο, καὶ νίκη νῦν τάχα Πορφύριον.
ὃς καὶ ἑοὺς ἵππους, καὶ ὁμόφρονος ἡνιοχῆος
ἐξ ἑτέρων ἑτέρους αἰὲν ἀμειβόμενος,
πολλάκι κρᾶτα πύκασσε πανημερίοισιν ἀέθλοις,
οὐ μογέων, ἑτάρου μοῦνον ἐφεσσομένου.

Εἰς τὸν αὐτόν.

Τοῦτό σοι ἠϊθέων νίκη γέρας· ὃ χρόνος ἄλλοις
ὀψὲ μόλις πολιοῖς ὤπασε Πορφύριε,
καὶ γὰρ ἀριθμήσασα πολυστεφέας σέο μόχθους,
εὗρε γεραλέων κρέσσονας ἡνιόχων.
τί πλέον, ὅττι καὶ αὐτὸς ἐπευφήμησεν ἀέθλοις
σὸν κλέος ἀντιπάλων δῆμος ἀγασσάμενος;
ὀλβίη ἡ Βενέτων πανελεύθερός ἐστι γενέθλη,
ἧς τε μέγας βασιλεὺς δῶρον ἔνευσεν ἔχειν.

Εἰς τὸν αὐτόν.

Ἄλκιμοι ἀλκήεντα, σοφοὶ σοφόν, ἠέ τε νίκης,
οἱ νίκης πάσης Πορφύριον Βένετοι
ἄνθεσαν. ἀμφοτέραις γὰρ ἀμειβομένοις ἐπὶ πώλοις
κυδαίνει νίκας, οἷς πόρεν, οἷς ἔλαβεν.

Εἰς τὸν αὐτόν.

Ἄλλοις παυσαμένοισιν, ἀεθλεύοντι δὲ μούνῳ
Πορφυρίῳ βασιλεὺς τοῦτο δέδωκε γέρας.
πολλάκι νικήσας γὰρ, ἑοὺς πόρεν ὠκέας ἵππους.
λάζετο δ' ἀντιπάλων, καὶ πάλιν ἐστέφετο.
ἔνθεν ἔην πρασίνοις ἔρις ἄσπετος, ἔνθεν ἀϋτή,
ὃς Βενέτους τέρψει κοίρανε, καὶ πρασίνους.

Εἰς τὸν αὐτόν.

Αἱ πάντων ψῆφοί με καὶ ἐστὶ δὲ φρονέοντα
ἔστησαν νίκης ἐγγύθι Πορφύριον.
δῆμος μὲν γὰρ ἐμὸν γέρας ἤτεεν. οἱ δ' ἕτεροί με
δέξοντ' αὖθις ἔχειν νῖκος ἀπειπάμενοι.
μοῦνος δ' ἡνιόχων περιγίγνομαι. οἷσι καὶ ἵππους
κρέσσονας ἀντιπορῶν, δεῖξα χερειοτέρους.

Εἰς τὸν αὐτόν.

Αὐτὸν Πορφύριον μὲν ἀπηκριβώσατο χαλκῷ
ὁ πλάστης. ἔμπνουν οἷα τυπωσάμενος.
τίς δὲ χάριν, τίς ἔνθεα δώια τέχνης
τεύξει, καὶ νίκην οὔποτ' ἀμειβομένην;

Εἰς τὸν αὐτόν.

Εἰκόνι χαλκείῃ τὸν χάλκεον ἡνιοχῆα
ἄνθετο νικητὴς κοίρανος αὐσονίων,

ὡς σοφὸν, ὡς βροτοῖς πεφιλημένον. ἀλλ' ἐπὶ νίκαις
πορφυρίου, πολλὰς εἰκόνας ὀψόμεθα.

Εἰς τὸν αὐτόν.

πορφύριος λίβυς οὗτος. ἀεθλοφόροις δ' ἐπὶ νίκαις
μοῦνος παντοδαποὺς ἀμφέθετο στεφάνους.
νίκη γὰρ βασίλεια μεριζομένη κατὰ δῆμον,
χρώμασι καὶ πέπλοις συμμετέβαλλε τύχας.
ἥρμοσε δ' αὐτὸν ἔχειν βροτοῖς πλέον. ἔνθεν ἀέθλων
χρύσεος ἀντ' ἀρετῆς, χάλκεος ἀντὶ πόνων.

Εἰς τὸν αὐτόν.

τίς τελέθεις φίλε κοῦρε γενειάδος ἄκρα χαράσσων;
ὦ ξένε, πορφύριος. τίς πατρίς; ἡ λιβύη.
τίς δέ σε νῦν τιμᾶ σῷ; ὁ ἄναξ, χάριν ἱπποσυνάων.
τίς μάρτυς τελέθει; δῆμος ὁ τῶν βενέτων.
ἔπρεπέ σοι λύσιππον ἔχειν ἐπιμάρτυρα νίκης
πορφύριε, πλάσσειν ἴδμονα πορφύριε.

Εἰς τὸν αὐτόν.

Τοῦτον πορφύριον, λιβύη τέκε, θρέψε δὲ ῥώμη,
νίκη δ' ἐστεφάνωσεν ἀμοιβαδὸν. ἄλλοτ' ἀπ' ἄλλου
χρώματος, ἄκρα φέροντα καρήατι σύμβολα νίκης.
πολλάκι γὰρ δήμους ἠλλάξατο, πολλάκι πώλους.
καὶ νῦν μὲν, πρῶτος, τοτὲ δ' ὕστατος, ἄλλοτε μέσσος
πάντας ὁμοῦ νίκησε καὶ ἀντιπάλους, καὶ ἑταίρους.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῆς νίκης, καὶ ἀλεξάνδρου βασιλῆος,
ἕστης, ἀμφοτέρων κύδεα δρεψάμενος.

Εἰς τὸν αὐτόν.

Πάντα τύχης ὀφθαλμὸς ἐποπτεύει. ἀλλ' ἐπὶ μούνοις
πορφυρίου καμάτοις, ἕλκεται ὄμμα τύχης.

Εἰς τὸν αὐτόν.

Πορφύριον λήξαντα πόνων, λύσαντά τε μίτρην,
καὶ πάρος ἀντ' ἀρετῆς, χάλκεον ἑσταότα,
τῇδε πάλιν χαλκοῦ τε, καὶ ἀργύρου ἱδρύσαντο.
πρέσβυ σὺ δὲ ξείνων ἀντιάσας γεράων,
δήμου μὲν βοόωντος ἑλὼν παλινόρσον ἱμάσθλην.
ὡς δὲ δὶς ἡβήσας, μαίνεαι ἐν σταδίοις.

Εἰς τὸν αὐτόν.

Σὴν προχάλην μάγιστα, καὶ ἀσπίδα δῆμος ἀγαυὸς,
ἤθελέ σε στῆσαι διπλόον ὥσπερ ἔδει,
ἡνίοχον κρατερὸν, καὶ ἀριστέα. διχθὰ δὲ χαλκὸς
οὐκ ἐχύθη, ψυχὴν σεῖο τυπωσάμενος.

Εἰς τὸν αὐτόν.

πορφύριον σταδίοισι, τίνος χάριν ἡνιοχῆα
δῆμος ὁ πρῶτα φέρων ἀνθέτο τῶν πρασίνων;

κῦδος

αὐτὸς ἄναξ κήρυξε. τί γὰρ πλέον; ὅττι γεραίρει
εἵνεκεν εὐνοίης, εἵνεκεν ἱπποσύνης.

Εἰς τὸν αὐτόν.

Πορφυρίῳ μετ' ἄεθλα γέρας πόρεν ἄξιον ἔργων
κοίρανος ὁ πρασίνοις τῶν χαριζόμενος.
δὴ πάλι γὰρ δῆμος προφερέστατα ἔργα κομίζων,
ἤνεσε Καλλιόπαν, καὶ πάλι Πορφύριον.
διπλόον οὔνομα τῶν, τόπερ λάχε Κάλλιος ἥρως
οὗτος, ὁ τεθρίπποις κῦδος ἑλὼν ἀρετῆς.

Εἰς τὸν αὐτόν.

Ὤφελες ὅπλα φέρειν, οὐ φάρεα ταῦτα κομίζειν,
ὡς ἐλατὴρ τελέθειν, καὶ πολέμων πρόμαχος.
εὖτε γὰρ ἦλθεν ἄνακτος ὀλεσσιτύραννος ἀκωκή,
καὶ σὺ συναιχμάζων ἥψαο ναυμαχίης.
καὶ διδύμης πολύμητι σοφῆς ἐδράξαο νίκης,
τῆς μὲν, πωλομάχου. τῆς δὲ, τυραννοφόνου.

Εἰς τὸν αὐτόν.

Οὐ μόνον ἐν σταδίοις σε κατέστεφε πότνια νίκη,
ἀλλὰ καὶ ἐν πολέμοις δεῖξεν ἀεθλοφόρον.
εὖτ' ἂν ἄναξ πολέμιζεν ἔχων πρασίνους ὑποεργοὺς
ἄγρια μαινομένῳ ἐχθρῷ ἀνακτορέῳ,
καὶ πέσεν αἰνοτύραννος ἀποφθιμένης τότε Ῥώμης,
ἦμαρ δ' Αὐσονίης ἦλθεν ἐλευθερίης.
τοὔνεκα τοῖς μὲν, ἔδωκεν ἄναξ γέρας, ὡς πάρος εἶχον.
σοὶ δὲ τύπον, τέχνῃ ἔξοχε Πορφύριε.

Εἰς τὸν αὐτόν.

Ὑμετέρων κήρυκες ἀμεμφέες εἰσὶν ἀγώνων,
οἱ καὶ ἀπ' ἀντιβίων Πορφύριε στέφανοι.
πάντας γὰρ σταδίοισιν ἀμειβαδὸν αἰὲν ἐλέγχεις
ἀντιτέχνους, τῆς σῆς παίγνιον ἱπποσύνης.
τοὔνεκα καὶ ξεῖνον προβεβηῖον εὕραο μοῦνος,
εἰκόνα χαλκείην δήμων ἐν ἀμφοτέρων.

Εἰς τὸν αὐτόν.

Γλώσσης χαλκὸν ἔτευξεν ὁμοίϊον ἡνιοχῆϊ.
εἴθε δὲ καὶ τέχνης ὄγκον ἀπειργάσατο,
ὄγκον ὁμοῦ καὶ κάλλος. ὅπερ φύσις ὀψὲ τεκοῦσα,
ὤμοσεν, ὠδίνειν δεύτερον οὐ δύναμαι.
ὤμοσεν, εὐόρκοις ὑπὸ χείλεσι. Πορφυρίῳ γὰρ
πρώτῳ, καὶ μόνῳ, πᾶσαν ἔδωκε χάριν.

Εἰς τὸν αὐτόν.

Εἰ φθόνος ἠρεμέοι, κρίνειν δ' ἐθέλοιεν ἀέθλους,
πάντες Πορφυρίου μάρτυρές εἰσι πόνων.
ναὶ τάχα καὶ φήσαιεν ἀριθμήσαντες ἀγῶνας,
βαιὸν τῶν γέρας ποσσατίων καμάτων.

ὅσσα γὰρ ἡνιοχῆας ἀεὶ μεμερισμένα κοσμεῖ,
εἰς ἓν ἀολλίσσας, τηλίκος ἐξεφάνη.

Εἰς τὸν αὐτόν.

Αἰδομένη χαλκῷ σε πόλις τεκτήνατο γεραίρειν.
ἤθελε γὰρ χρυσῷ. ἀλλ' ἴδεν οὐ νέμεσιν.
εἰ δὲ τεὴν μέλπων οὐ παύεται ἠθάδα νίκην,
ξυγνώμων δῆμος Πορφυρίῳ πρασίνων,
ἔμπνοα σοὶ ξύμπαντες ἀγάλματα. πᾶς δὲ πολίτης
καὶ χρυσὸς τούτοις εἰς ἐμὴν ἐρχόμενος.

Εἰς τὸν αὐτόν.

Οὔπω σοὶ μογέοντι τύχη πόρεν ἄξια νίκης.
νίκαι γὰρ τῆς σῆς μείζονες εὐτυχίης.
ἀλλὰ μετὰ πρώτῳ σταθέρῳ, καὶ ἀρείονι μίμνοις,
τὴν φθονερὴν τήκων δυσμενέων κραδίην.
οἳ σέθεν εἰσορόωντες ἀεὶ νικῶσαν ἱμάσθλην,
μέμφονται σφετέρην αἰὲν ἀταρβαλίην.

Εἰς τὸν αὐτόν.

Ἄλλοις μὲν γεράων πρόφασις χρόνος. οἱ δ' ἐπὶ νίκαις
κρινόμενοι, πολιῆς οὐ χατέουσι κόμης,
ἀλλ' ἀρετῆς, ὅθεν εὖχος ἀνάπτεται. εἷς ἀπὸ τοίων
Πορφύριος δώρων δὶς λάχεν ἀγλαΐην,
οὐκ ἐτέων δεκάδας, νίκης δ' ἑκατοντάδας αὐχῶν
πολλάς, καὶ πάσας συγγενέας χαρίτων.

Εἰς τὸν αὐτόν. Λεοντίου σχολαστικοῦ.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη
φίλατο. μυθεῦνται ταῦτα παλαιγενέων.
νῦν δὲ νέος τις μῦθος ἀείσεται, ὡς τάχα Νίκη,
ὄμματι, καὶ δίφρους φίλατο Πορφυρίου.

Εἰς Καλλιόπαν.

Πρεσβυτέρους κοῦρος μὲν ἐὼν, πρέσβυς δέ τε κούρους
νικᾷς, τεθρίππων κέντορας ἀθλοφόρων.
ἓξ δ' ἐτέων ἀνύσας δεκάδας, στήλην ἐπὶ νίκαις
εἷλες Καλλιόπα νεύματι κοιρανίης,
ὄφρα μένοι καὶ ἔπειτα τεὸν κλέος. αἴθε τοι εἴη
ὡς κλέος ἀθάνατον, καὶ δέμας ἀθάνατον.

Εἰς τὸν αὐτόν.

Σῆς τόδε διφρελάτειρα τὸ χάλκεον ἄνθετο Νίκη
δείκηλον μορφῆς Καλλιόπα ζαθέας,
πρέσβυς ὅτι σφριγόωντας ἱπποδιώκτας πλέον ἀλκᾷ
νικήσας, γεραροὺς δ' ὢν νέος, ἐν σοφίῃ
ἤθεσιν ἐλευθερόποις. Βένετοι σέο τεῦξαν δέμας
δισσά, τὰ μὲν, τέχνας ἆθλα. τὰ δέ, ἀφύεος.

Εἰς τὸν αὐτόν.

Σὺν γήρας, νεότητι τεὴν ὑπερέδραμε νίκας.
καὶ πάντων κρατέεις πάντοτε Καλλιόπα.

γῆθεν

ἔνθεν ἄναξ, καὶ δῆμος ἐλεύθερος αὖθις ἐγείρει
σοὶ γέρας, σοφίης μνῆμα, καὶ ἠνορέης.

Εἰς τὸν αὐτόν.

οὗτος ἐγερσινίκης τίνος τύπος, ὃν δὴ ἐγείρει
δῆμος ἀριζήλων Καλλιόπα στεφάνων.
οὔτε γὰρ ἡνίοχός σε παρέτραπεν, οὔτε χαλινοῖς
δύσνομος ἱππείη τοῖς ἀπίθησε γένυς.
μοῦνος δ' ἢ νίκης γέρας ἄρνυσαι. ἢ παρὰ πᾶσι
δόξαν ἔχεις ἀέθλων ἆθλα λιπὼν ἑτέροις.

Εἰς τὸν αὐτόν.

Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον, ὅττι γεραίρει
εἰκόνι χαλκοτύπῳ σοὺς βασιλεὺς καμάτους;
δῆμος ὁ μυριόφωνος; ὅλη πόλις; εὖτε καὶ αὐτὴ
δυσμενέων παλάμη σοῖς ἐπένευσε πόνοις;

Εἰς Φαυστῖνον.

Μητέρες εὐάθλων γεράων, φρένες, οὐ κράτος ἥβης,
οὐ τάχος ἱπποσύνης, οὐ χρόνος εὐτυχίης.
ἱλήκοι Φαυστῖνε τεὸς νόος, ᾧ τάδε πάντα
ἕσπεται, ᾧ νίκη σύντροφος ἀθάνατος.

Εἰς τὸν αὐτόν.

Πρίν σε νέον Φαυστῖνε, νόος πεφόβητο γερόντων.
νῦν δέ σε πρεσβυγενῆ, κάρτος ἔφριξε νέων.
δεύτερα δ' εὗρος πάντα τεὸς πόνος. ὅς σε γεραίρει
πρέσβυν ἐν ἠϊθέοις, ἐν δὲ γέρουσι, νέον.

Εἰς Κωνσταντῖνον.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
ᾤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

Εἰς τὸν αὐτόν.

Χάλκεος οὐκ ἔστης βιόων ἔτι Κωνσταντῖνε.
ἀντὶ γὰρ εὐκλείης, ἤρκεσε βασκανίη.
ὡς δ' ἔθανες, τότε δή σε πόλις ξύμπασα γεραίρει
οἷς δύναται, τί δὲ σῆς ἄξιον ἱπποσύνης;

Εἰς τὸν αὐτόν.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
πλῆτο κατηφείης ἱπποσύνης στάδιον.
τερπωλὴ δ' ἀπέλειπε θεήμονας, οὐδ' ἐν ἀγυιαῖς
κείνας τὰς φιλίας ἔστιν ἰδεῖν ἔριδας.

Εἰς τὸν αὐτόν.

Χρύσεον ἀντ' ἀρετῆς γέρας ἔπρεπε Κωνσταντίνῳ,
οὐδ' ἔργα τῆς τέχνης τοῖον ἐνεγραμμένης.
κουρίζων, νίκησεν ἀειδομένους ἐλατῆρας.
γηραλέος δὲ, νέους δεῖξεν ἀφαυροτέρους.
ὅν τινα καὶ μετὰ πότμον ἀειμνήστῳ τινὶ θεσμῷ
δῆμος καὶ βασιλεύς, ἵδρυσαν ἁζόμενοι.

Εἰς τὸν αὐτόν.

Εἰκόνα Κωνσταντῖνε τεὴν ἀνέθηκε πολῖται,
μυρόμενοι ψυχῆς τέρψιν ἀποιχομένης,
σοὶ κλέος ὁππότε δῆμος ἐπισφρηγίζε θανόντι,
μνήσατο σῶν καμάτων καὶ μετὰ πότμον ἄναξ.
οὕνεκεν ἱπποσύνης φιλοκέρτομος ὤλετο τέχνη,
ἣν σὺ παυσαμένην πᾶσαν καὶ ἀρξαμένην.

Εἰς τὸν αὐτόν.

Εἰσέτι μὲν ζώοντι πόλις ποτὲ Κωνσταντίνῳ,
εἰκόνα χαλκείην βαιὸν ἔκρινε γέρας.
ᾔδεε γὰρ πᾶς δῆμος ὅσους ἐπὶ κύδεϊ νίκης
ἀμφὶ ἀεθλεύων ἀμφέθετο στεφάνους.
ὡς δ' ἔθανεν, ποθέουσα, φίλον τύπον ἄνθετο τόνδε,
ὄφρα καὶ ἐσομένοις, μνῆσιν ἔχει καμάτων.

Εἰς τὸν αὐτόν.

Οἱ Βένετοι πρασίνοισιν ἐναντίοι αἰὲν ἐόντες,
εἰς ἓν ὁμοφροσύνης ἦλθε βόησαν ὅρον,
ὥς τε σε Κωνσταντῖνε λαβεῖν ἐπιτύμβιον εὖχος,
πᾶσιν ἀειδόμενον, πᾶσιν ἀρεσκόμενον.

Εἰς τὸν αὐτόν.

Ἀντολίης, δύσιός τε, μεσημβρίης τε, καὶ ἄρκτου,
σὸς δρόμος ὑψιφανὴς ἀμφιβέβηκεν ὅρους
ἄφθιτε Κωνσταντῖνε, θανεῖν δέ σε μήτις ἐνίσπῃ,
τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' ἀΐδης.

Εἰς τὸν αὐτόν.

Ἐγγύθι τῇ σφετέρης γενεῆς λάχεν εἰκόνα τήνδε.
ἔπρεπε γὰρ βιοτοῖς εἰν ἑνὶ χώρῳ ἔχειν,
οἳ καὶ ἐνὶ σταδίοις ἀρετῇ κλέος ἴκελον εὗρον,
ἰσαρίθμων στεφάνων θυμὸν ἑλόντες ἴσον.

Εἰς τὸν αὐτόν.

Τὸν Φαυστινιάδην πόλις ἄνθετο Κωνσταντῖνον,
γείτονα μὲν γενεῆς, κρέσσονα δ' ἡνιόχων.
δὴν γὰρ ἀεθλεύσας, οὐκ ἤμβροτεν. ἀλλ' ἐπὶ νίκῃ
παύσατο, σὺν νίκῃ καὶ πάρος ἀρξάμενος.
ὃν καὶ κοῦρον ἐόντα, παλαίτεροι ἡνιοχῆες
στεψάμενοι σταδίοις, εἶσαν ἀγωνοθέτην.

Εἰς τὸν αὐτόν.

Σοὶ τόδε Κωνσταντῖνε τεὴ τρόφος ὤπασε νίκη.
παιδόθεν ἑσπομένη πᾶσαν ἐφ' ἡλικίην.
πέντε γὰρ ἐν σταδίοις δεκάδας τελέσας ἐνιαυτῶν,
οὐδ' ὅσον, οὐδ' ὀλίγον εὕρεο λειπόμενον.
ἀλλ' ἔτι κουρίζων τε, καὶ ἄχνοος, ἄνδρας ἐνίκας
ἥλικας, ἡβήσας, γηραλέος δὲ, νέους.

Εἰς τὸν αὐτόν.

Ἤθελε Κωνσταντῖνον ἀεὶ πόλις ἡνιοχεύειν,
ἤθελεν, ἀλλὰ πόθῳ οὐκ ἐπένευσε φύσις.

ἔνθεν

φθῖτ' ἐὼν τόδ' ἄγαλμα παραίφασιν εὗρε φθόνου,
ὄφρα ἑ μὴ λήθη, καὶ χρόνος, ἀμφιβάλῃ.
ἀλλὰ μὲν οἱ ποθέουσιν ὁμῶς, ζῆλος δ' ἐλατῆρσι,
κόσμος δὲ σταδίοις, ἐσσομένοις δὲ, φάτις.
καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας,
ὀλβίσει προτέρην, ἣν μὴν ἴδεν γενεήν.

Εἰς τὸν αὐτόν.

Πέντε καὶ εἴκοσι μοῦνος ἄεθλα Κωνσταντῖνος
εἰς μίαν ἠριγένειαν ἑλὼν, ἤμειψε μὲν ἵππους
ἀντιπάλοις. κείνους δὲ λαβὼν, οὓς πρόσθεν ἐνίκα,
τοῖς αὐτοῖς πάλιν εἷλε μίαν τε, καὶ εἴκοσι νίκας.
πολλάκι δ' ἀμφοτέρων μερέων ἔρις ἔμπεσε δήμῳ
τίς μὲν ἔχοι. κείνῳ δὲ δόσαν κρίσιν ἐκ δύο πέπλων.

Εἰς τὸν αὐτόν.

Ἔγρεο Κωνσταντῖνε. τί χάλκεον ὕπνον ἰαύεις;
σεῖο δίφρους ποθέει δῆμος ἐνὶ σταδίοις.
σῆς τε διδασκαλίης ἀπολειφθέντες ἡνιοχῆες,
εἴαται ὀρφανικοῖς παισὶν ὁμοιότατοι.

Εἰς Οὐράνιον.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντί τ' ἀέθλων,
τοῦτο γέρας νίκη δὶς πόρεν οὐράνιε,
δῆμος ἀπ' ἀμφοτέροιο. σὺ γὰρ πάρος ἐν Βενέτοις μὲν
εἴκοσι κυδίστων στέμμα φόρεις ἐτέων.
παύσαο δ' ἱπποσύνης. πρασίνων δέ σε δίζετο δῆμος·
τοῖς δὲ, σὺ μὲν, νίκην. οἱ δ' ἄρα, σοὶ τὸ γέρας.

Εἰς τὸν αὐτόν.

Ἀμφοτέροις εἷς μοῦνος ἀριστεύσας παρὰ δήμοις,
κῦδος ἀπ' ἀμφοτέρων ἔλλαχεν Οὐράνιος,
εἰσέτι διφρεύων. τὸ δέ οἱ γέρας, ἤλυθε πρῶτον
ἐκ πρασίνων, οἷς δὴ γείτονα χῶρον ἔχει.
αὐτοὶ καὶ σταδίοιο πεπαυμένον, ἤγαγον αὖθις
ἐς δίφρους, νίκης μνωόμενοι προτέρης.

Εἰς τὸν αὐτόν.

Παυσάμενον σταδίων βασιλεὺς ἐπ' ἀγακλέϊ νίκῃ,
αὖθις ὑπὲρ δίφρων βῆσεν ἀεθλοφόρων
οὐράνιον, δήμοισι φέρων χάριν. οὐ ποθέει γὰρ
ἡ πόλις Οὐρανίου νόσφιν ἀεθλοσύνας.
τοὔνεκα διφρεύοντα τὸ δεύτερον, ὑστατίης τε
νίκης, καὶ προτέρης, στῆσεν ἀγασσαμένη.

Εἰς τὸν αὐτόν.

Ἶσον κυδαλίμοις Φαυστινιάδαις τε, καὶ αὐτῷ
Φαυστίνῳ βασιλεὺς στῆσε παρ' ἀμφοτέροις
οὐράνιον. τοῦ δῆμος ἀμετρήτους διὰ νίκας,
ἠγαθέου Πέλοπος θῆκεν ἐπωνυμίην.

ὡς ἀεὶ

ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον,
τούσδ' ἐλὶς ἀδρέων φθέγξεται ἀτρεκέως.

Εἰς τὸν αὐτόν.

Οὐράνιος νίκαισιν ἔχει πέλας, ὁπλοτέρῳ τε
ῥώμην. τῇ μὲν, ἐών. τῇ δ' γῆν, κῦδος ἐλών.
νικᾷ δ' ἀμφοτέρωθεν, ἐπεὶ ποτὲ δεξιὸς ἦεν
τῇ καὶ τῇ προθέειν, ἠδὲ παρεξελάαν.
τοὔνεκα καὶ χρυσῷ μιν ἀνεγράψαντο μετάλλῳ,
κυδίστῳ κτεάνῳ κύδιμον ἡνίοχον.

Εἰς Ἰουλιανόν.

Τοῦτον Ἰουλιανὸν Τυρίης βλάστημα λεβαίης
ἡνίοχον, πολλοὺς δεξάμενον στεφάνους,
αὐτὸς ἄναξ, καὶ δῆμος ἅπας, καὶ πότνια βουλὴ,
ἔστησαν, κοινὴν ψῆφον ἐνεγκάμενοι.
γήραϊ γὰρ σταδίων ἀπεπαύσατο. πᾶσι δὲ φίλτρον
κάλλιπεν, οἷσιν ἔρως ἦν θέειν ἀντιπάλων.

Εἰς Ἀναστάσιον Θωμᾶ πατρικίου, καὶ λογοθέτου τοῦ δρόμου.

Τὸν θρασὺν ἡνιοχῆα, λελασμένον ἅρματος ἄθλων,
ἐνθάδ' Ἀναστάσιον κείμενον, οὖδας ἔχει.
ὃς πόσους ἀνεδήσατο πρὶν στεφάνους, ὅσα ἄλλοι
ἔδρακον ἡνιόχων ἤματα ἱππασίης.

Εἰς Πορφύριον, μέρους Βενέτων.

Ἐν γῇ κρατήσας παντὸς ἁρματηλάτου.
καλῶς ἐπήρθη καὶ πρὸς αἰθέρα τρέχειν,
Πορφύριος τὸ θαῦμα δήμου Βενέτων.
νικῶν γὰρ οὗτος πάντας γῆς διφρηλάτας,
ἄνεισιν, ὡς ἂν καὶ σὺν ἡλίῳ δράμοι.

Εἰς τὸν αὐτόν.

Ἴσλον ἀνθῶν πρῶτος οὗτος, ἡνίας
Πορφύριος Κάλχαντος εἷλκε Βενέτου.
ἐκπλήττομαι δὲ πῶς γράφει χεὶρ ἐμπνόους
τούτου τοὺς ἵππους. καὶ γὰρ αὖ πλήξει πάλιν,
οἶμαι δραμεῖται νῖκος εὑρεῖν καὶ πάλιν.

Εἰς Φαυστῖνον, μέρους πρασίνου.

Σκόπει τὸ δρᾶμα μηχανουργοῦ τοῦ δήμου.
εἰμὴ γὰρ ἐστέγαστο καρτερᾷ σκέπῃ,
πρὸς οὐρανὸς ἂν ὤρτο Φαυστῖνος τρέχων,
ὡς ζῶν σὺν ἵπποις τὸ κλέος πρὶν πρασίνων.
ἆρον στέγος γὰρ, καὶ φθάνει πρὸς αἰθέρα.

Εἰς τὸν αὐτόν.

Φαυστῖνος οὗτος ὁ πρὶν ἁρματηλάτης,
ὃν δῆμος εὑρὼν τοῦ μέρους τῶν πρασίνων,
τὴν ἧτταν ἠγνόησε παντελῶς δρόμῳ.

γήρᾳ μὲν ἦν, ὡς βλέπεις. τὸ δὲ σθένος,
ἦν τις νεάζων, οὐ δῆλος ἡττώμενος.

Εἰς Κωνσταντῖνον ἡνίοχον λευκῶν.

Λευκοῦ μεθέλκων ἡνίας Κωνσταντῖνος,
σὺ μὴ καθεῖρκτο στερρότητι τοῦ δήμου.
σὺ τρεῖς νίκας πρῶτος, αἰθέρα φθάνων.
πνοῆς ἀκοῦσθεν εἶδεν αἰθεροδρόμον.
τέχνη με πείθει σὲ τὸν ἔμπνοον βλέπειν.

Εἰς τὸν αὐτόν.

Κωνσταντῖνος ἦν, ἀλλὰ τοῖς πάλαι χρόνοις
λευκῆς χρόας τέθριππον ἕλκων εὐστρόφως.
ἀφ' οὗ δὲ τοῦτον ἥρπασε δράκων, ἔδυ
τὸ φῶς ἁμίλλης ἱππικῶν δρομημάτων,
καὶ πᾶσα τέρψις τοῦ θεάτρου, καὶ τέχνη.

Εἰς ἰουλιανὸν ἡνίοχον ῥουσίων.

Χεὶρ ἥδε γυμνοῖ σοὺς πάλαι τεθνηκότας.
ἰουλιανὸς καὶ γὰρ ὡς πάλαι σθένει,
ἕλκων μεθέλκων ῥουσίας τὰς ἡνίας.
καὶ νῦν γραφεὺς, ἕστηκεν ὕψου σὺν δίφρῳ,
τὸ νεῦμα χεὶρ μένει δὲ, τὴν νύσσαν δότε.

Εἰς τὸν αὐτόν.

Ἰουλιανὸς οὗτος ἅρμα ῥουσίου
ἔχων, ἐνίκα σοὺς ἀντίους δρόμῳ.
ἀλλ' εἰ γραφεὺς παρεῖχε καὶ πνοῆς χάριν,
ἕτοιμός ἐστι καὶ πάλιν διφρηλάτης
καὶ πρόσθεν ἐλθεῖν, καὶ λαβεῖν καὶ τὸ στέφος.

πορφυρείων. Quatuor fuerunt agitatorũ factiones. Veneta aut Cærulea, Albata aut alba. Rosea russata rubra uel rubens, Prasina quæ & uiridis & uirens. Domitianus ad has quatuor, alias aurati purpureiq; panni addidit. Alciatus, Põponius Lętus, & Domitius, horum ludorum præmiũ mappam fuisse existimant, cuius nullam hic mentionẽ fieri mirũ est. Quid? quos Coracis aurigæ capiti ut uictoris coronã imponit Ammianus Marcellinus lib. 14. Quid? quod Circẽsibus signũ dari per mappã solitum. quod tali casu (uerba Cassiodori lib. Variarũ tertio) fluxit in morẽ. Cum Nero prandiũ protenderet & celeritatẽ ut assolet auidus spectãdi populus flagitaret, ille mappã qua tergẽdis manib. utebatur iussit abijci per fenestrã. hinc tractum est ut ostensa mappa certa uideatur esse promissio Circensiũ futurorũ. Martialis lib. 12. Cretatam pretor cum uellet mittere mappam. Iuuenalis. interea Megalesiacæ spectacula mappæ. Trãquil. in Nerone. aliquo seruo mittente mappam. κάλχαντος filiũ. ἄναξ. Constantinopolitanus imperator. ἐγείρει. statuã eius erigit. στεφάνοις. uictoriæ præmijs. τοῦτον τοῖς ἄλλοις. in hoc alijs tantum similem quod æream imaginem habeat. placet omnino μὲ iterum assumere, aut οὐ τὸν non τοῦτον scribere. ἀνακτορέοιο θοώκου, ubi sedebat imperator. ἔλαυνε. equos ad cursum impellebat. ἐτέων. annorum. senum agitatorum qui multos annos populum delectarint. ἐν νίκαις. cum toties alios uicerit. διδυμάονα σελήνη. figmenti causam omnibus noti detegit lib. secundo Plinius. Aphrodisæus. καθάπερ καὶ ὁ πρῶτος εὑρὼν διδυμάων τὸν δρόμον τῆς σελήνης

σελήνης, ἀγρυπνῶν τὰς νύκτας, καὶ προσέχων αὐτῇ τῷ δρόμῳ, καὶ ζητῶν τὰς κινήσεις, τὰς ἡμέρας ἐκάθευδε. μυθεύουσιν οὖν τὴν σελήνην ποθῆσαί τοῦτον καὶ ἐλθεῖν πρὸς αὐτὸν καθεύδοντα, καὶ ὥσπερ ὑποδεδωκέναι ἑαυτὴν τῇ λύσει τῆς αἰτίας τῷ φιλοσόφῳ. Lucianus περὶ ἀστρολογίας. ὁ ἐνδυμίων μὲν τὰ ἐν τῇ σεληναίῃ διετάξατο. φαέθων δὲ, τὸν ἠελίου δρόμον ἐξεκρίνατο. alia Theocriti scholiastes Idyll. 3. φέλατο. in Latmo & Aselenis montib. Apoll. 4. Argonaut. cõmentarius. ὁ ὁμόφρονος. suæ quoq; uenetæ partis. κρᾶτα. caput. ἀμογέων. facile, nullo labore. ἐφεσπομένα. aduersario nunquã præeũte. sed tantũ à tergo sequẽte. ἠϊθέων. scribe ἠϊθέω. γέρας. statuã. ἄλλοις πολιοῖς. senibus. supra. εἶδ' ἐτέων γέρας ἦλθε. λερεσσονας. præstãtiores. te sępius uictorẽ. ἀντιπάλων δῆμος. cõtrariæ factiones. ᾗσι. cui te. οἱ νίκης πρόσθεν. ut plurimũ uictores. οἷς πρόσθεν. quibus uicerat. οἷς ἔλαβεν. quibus uicti fuerãt aduersarij aurigatores. παυσαμένοις. rude donatis & exautoratis. ἀεθλεύοντι δὲ μόνῳ. adhuc in stadio decurrẽti. γέρας. imaginẽ. ἑὸς. suos uictores. ἀντιπάλων. ante à se uictorũ. in hoc summa Porphyrij dexteritas ostendit. αἱ πάντων ψῆφοι. 4. sectarũ. ἐόντι δρηθεύοντα. adhuc artem exercentẽ non senio cõfectum nec post obitũ ut cæteros. δῆμος. mea ueneta factio. οἱ δ' ἕτεροί με. russati. prasini. νίκης. uictoriã. μὴν. nũquid. κρείσσονας. uictores agitatore Porphyrio. δεῖξα χερὸς τόσσης. nã uictis prius à me equis uici. τέχνης. aurigãdi. ὁ νίκην οὔποτ' ἀμειβομένην. à Porphyrio nõ recedentẽ. Homeri ἑτεραλκέα νίκην intuet. κοίρανος αὐσονίων. imperator Cõstantinopolitanus Venetis fauẽs, suosq; iudicãs. χρώμασι. denominatis à colore. 4. factionib. ὁ πέπλοις. pannis. χρύσεος. ὁ χάλκεος. inaurata ęreaq; statua illustris. ἄναξ. imperator. ῥώμης. Cõstantinopolis. καρήατι. in capite. δήμους. factionẽ. ἀντιπάλους. sibi oppositos quadrigarios. καὶ ἑταίρους. sui pãni. τύχης ὀφθαλμός. illud respicit. δίκης ὁ διὸς ὀφθαλμός. Hesiodus. πάντα ἰδὼν διὸς ὀφθαλμός. ἑλκετ' ὄμμα. nec alio spectat. μέζων ζώνην. supra. ζώνην ἱππόδρ. ξείνων. nouorũ & inauditorũ. βοόωντος. clamãte & obsecrãte populo. δὶς ἡβήσας. nã iam senex artẽ desierat. ἡνίοχον, ὁ ἄριστα. dixit enim βοχαλων μάστιγα, καὶ ἀσπίδα. πρῶτα. primas. semper uictor. ἔργα. peritiã & uictorias. καλλιόπαν. Calliopã agitatorẽ. διπλόον οὔνομα τοῦτο. siquidẽ Porphyrius & agitatoris, & fortis militis gloriã nomẽq; inuenit. id apertius ostendunt sequentia epigrãmata. ἥρως οὗτος. Porphyrius. ἀρετῆς. uirtutis bellicę. αἰχμῇ. mucro, bellũ, in quo imperator regẽ quempiã fudit. πτολεμάχου. in Hippodromo. πολύμητι. prudens. ὑπόεργος. pro eo depugnãtes. ἀναξ δ' ἐγὼ. cũ Athenodoro rege dimicãs. ἄναξ. forte Anastasius imperator. ἀκοντήρανος. importunus tyrãnus. ῥώμης. Cõstantinopoleos. αὐσονίης. Cõstantinopolitani imperij. ἤλυθεν. effulsit. τοῖς μὲν. prasinis. ἀντιβίων. aliarũ factionũ. ἀντιτέχνους. agitatores. δήμων τῶν ἀμφοτέρων. Veneto & Prasino potẽtissimis sectis, in quas diuisus Byzantinus populus seditione orta, magnarũ sibi cladiũ auctor fuit, uti narrat Procopius. ὁ φήσαιεν. omes, nõ ἴσασιν. ἀγῶνας. Porphyrij. γέρας, statuæ honos. τοσσατίων. tantorũ. μεμβρισμένα. cũ uerbi causa quis quoniã decies uicerit, statua sit donatus & alius atq; identidẽ alius, quot statuas meruit Porphyrius plures unus, q; simul omnes uictorias adeptus. μεμερισμένα. alijs contributi sigillatim honores, positæq; statuæ. τηλίκος. nullo in honore. οὐ νέμεσιν. quæ omne quod immoderatũ est atq; insolẽs punit. ἀγάλματα. tibi statuæ uice sunt ciues uniuersi. πολυχρόσος. omne enim cũ hac fama tua collatũ aurum, inutile censendũ. ἄξια. præmia, quæ uictoriæ tuæ merentur. μείζονα δὲ. quã ut cõpensari queant. μέρει πρώτῳ. Prasinorũ factioni. ἀντίπαλον. qui tecũ certare audeãt. πρόφασις χρόνος. quod diu populo inseruierint. ἀγλαΐην. splendidã imaginem in manus. ἐτέων δηνέας. nõ canos suos sed uictorias prædicans. κέντρας τεθρίππων. sic apud Homerũ. κέντρον θ' ἵππων. νεύματι κοιρανίης. im-

perato

peratoris iussu. ἀλκᾷ. robore. ἱπποσύνῃ. equorũ agitandorũ peritia. σεῦ δ' ἄμμορος. factio tua. δ' ὀξείης. τέχνης. δῆμος στεφάνων. quia sæpenumero uiceris. πρὶν ἔπαφεν. decepit fefellit. ἱππέων γένος. os equi. ἆθλα λιπεῖν. statuæ honorẽ. πόλις. Byzantiũ. ὑπεῖξε πόνοις. ante, σὲς καμάτους γεραίρει. ᾧ. cui. φροντίς. consiliũ & prudẽtia. δίδουσι, omnes tibi subseruiẽtes & cedẽtes. ἄξιον. nihil sane. πλὴν κατηφείης. triste & mœstũ erat. τὰς φιλίας. ciues pro colore ac panno amice cõtendentes. κουρίζων. adolescẽs. ὁππότε. deest alterũ π. μετὰ πότμον. post obitũ tuum. τύπον. εἰκόνα. εὐχῷ. statuã. σὸς δρόμος. solis cursum superat. τῶν γὰρ ἀνικήτων. iterũ uides ἀνικήτων nõ ἀκινήτων. mori eos nõ putat Christodorus, quorũ laus perennis est. σφετέρους γονῆας. patrẽ Faustinũ & Vraniam signat. ἐν ἑνὶ χώρῳ. ut nõ inferiore aut minus honorato in loco posita esset Cõstantini statua. γείτονα τῶν γονέων. patri uicinum. εἴσαν. ἵδρυσαν. ἢ ἐπιγίνωσκον. οὐδ' ἴδον nec uir uiros nec adolescẽs adolescentes, tibi cedentes tantũ εὗρον inuenisti. ἀλλ' ἔτι κρείζων. &c. ἥλικας. adolescẽtes. ἡβῶντας. iam adultæ ætatis. πόθῳ. ciuitatis desiderio. ἑὸν ὁρῶντων. suæ erga te beneuolentiæ. ἑ. ipsum Constantinũ. λήθη. obliuio. μιν. ipsum. ἐκ δύο πέπλων. ceruleum & uiridem pannũ intelligit. εἰς μίαν ἠριγένειαν. uno die. εἵατο. sedent. αὐτὸ γέρας. statuã. ἐστὶ πρὶν ἀφραίνειν. ante obitũ. οὐρανίου νόσφιν. Vranio nõ certãte. φαυστινιάδῃ. Cõstantino Faustini filio. πέλοπος ἐπώνυμον. qui Oenomaum Myrtili aurigæ perfidia uicit. Diodorus lib. 5. & Pindari glossematarius. ὡς αἰεὶ τὸν ὅμοιον. Homeri uersus est Odyss. ρ. quẽ explicat περὶ φιλίας Plato. νικαίων. Niceæ natus est. ὁπλοτέρην ῥώμην. nouã Romam. βουλή. senatus. τυρίης πόλιος. Tyros Phœniciæ est ciuitas. ἤνθεον. florebat. inerat. ἀντιπάλων. qui amabant aduersarios. ἡνιόχων ἅμιλλα. quoties alij certarũt. id est semper palmã retulit. ἐπήρθη. Porphyrij statua. βενέτου. δήμου. τοῦ δήμου. structuræ. ἴουλον. primã habens barbã. στέγος. στέγασμα. substentaculũ. retinaculũ. ἠγνόησε. nunquã uictus est. λευκοῦ. δήμου. πέπλου. albatæ factionis. τοὺς τρεῖς. tres alios pãnos. δράκων. Mercurij Necropõpi caduceus in quo duos dracones inuicẽ complexos insculpebãt. aut Pluto ὃς τοῦ ἀΐδου, ἢ διὰ τὸ φυλακτικὸν καὶ ἄγρυπνον. diespiter Lactantio, qui Gellio & Varroni est Iupiter. quid Plutarchus. ἀλλὰ δράκοντας ἀγρίους καλεῖτε καὶ παρδάλεις καὶ λέοντας. χάρον. magis arrideret. ἔδυ. perijt. χείρ. excussoris manus. ὡς πάλαι. cũ in uiuis esset. ῥουσίου. russati panni. ut supra λευκοῦ. τὸ νεῦμα. currat signum si ei innuas.

## ΕΝ ΤΩΔΕ ΤΩ ΕΚΤΩ ΤΜΗΜΑΤΙ

ἀναθηματικὰ ἐπιγράμματα ἔχοντι, τάδε τὰ κεφάλαια περιέχεται.


| | | |
|---|---|---|
| Εἰς ἀναθήματα ἀγαλμάτων | Εὐκτικά | Παρὰ ναυτῶν |
| Εἰς ἀναθήματα τῶν ἀθλητῶν | Εἰς θήρας | Ναυηγῶν |
| Παρὰ ἁλιέων | Ἰσόψηφα | Νέων |
| Ἀντιστρέφοντα | Καρκινωτά | Παιζόντων |
| Παρὰ Βακχευομένων | Παρὰ κυνηγετῶν | Ποιμένων |
| Γερόντων | Κυνηγῶν | Στρατιωτῶν |
| Γεωργῶν | Κιθαρῳδῶν | Ταχυγράφων |
| Γυναικῶν | Μαγείρων | Χειρωνακτῶν |
| Ἐρωτικά | Εἰς ναούς | |

# EPIGRAMMATUM GRAECORUM, IOANNIS BRODAEI TURONENSIS SCHOLIIS illustratorum, Liber sextus.

## ΕΙΣ ΑΓΑΛΜΑ ΤΩ ΗΛΙΩ ΠΑΡΑ ΤΩΝ ΡΟΔΙΩΝ.

ΑΥΤΩ σοὶ πρὸς Ὄλυμπον ἐμακύναντο κολοσσὸν
τόνδε, Ῥόδου ναέται Δωρίδος ἀέλιε,
χάλκεον, ἁνίκα κῦμα κατευνάσαντες Ἐνυοῦς,
ἔστεψαν πάτραν δυσμενέων ἐνάροις.
οὐ γὰρ ὑπὲρ πελάγους μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ
ἁβρὸν ἀδουλώτου φέγγος ἐλευθερίας.
τοῖς γὰρ ἀφ' Ἡρακλῆος ἀεξηθεῖσι γενέθλας
πάτριος ἐν πόντῳ, κἠν χθονὶ κοιρανίη.

Μακεδονίου ὑπάτου.

Τὸν κῶα, τὸν πάσης κρατερῆς ἐπιίσμονα θήρης,
ἔξεσε μὲν Λεύκων, ἄνθετο δ' Ἀλκιμένης.
Ἀλκιμένης δ' οὐχ εὗρε τί μέμψεται. ὡς δ' ἴδ' ὁμοίην
εἰκόνα παντοίῳ σχήματι φαινομένην,
κλοιὸν ἔχων, πέλας ἦλθε, λέγων, Λεύκωνα κελεύειν
ξὺν κυνὶ, καὶ βαίνειν. πεῖθε γὰρ ὡς ὑλάων.

Μυροῦς.

Νύμφαι Ἀμαδρυάδες, ποταμοῦ κόραι, αἳ τάδε βένθη
ἀμβρόσιαι ῥοδέοις στείβετε ποσσὶν ἀεὶ,
χαίρετε, καὶ σώζοιτε Κλεώνυμον. ὃς τάδε καλὰ
εἵσαθ' ὑπαὶ πιτύων ὔμμι θεαὶ ξόανα.

Ἀντιπάτρου.

Ἡ τὰ πέδιλα φέρουσα, Μενεκράτις. ἡ δὲ τὸ φᾶρος,
Φημονόη. Πρηξὼ δ' ἡ τὸ κύπελλον ἔχει.
τῆς Παφίης δ' ὁ νεὼς, καὶ τὸ βρέτας. ἄνθεμα δ' αὐτῶν,
ξυνόν. Στρυμονίου δ' ἔργον Ἀριστομάχου.
πᾶσαι δ' ἀσταὶ ἔσαν, καὶ ἑταιρίδες, ἀλλὰ τυχοῦσαι
Κύπριδος εὐκρήτου, νῦν ἑνὸς εἰσὶ μία.

### Ioannis Brodæi Turoneñ. Scholia.

ΡΟΔΟΥ Δωρίδος. Strabo lib. 14. Δωριεῖς δ' εἰσὶν οἱ Ῥόδιοι ὥσπερ Ἁλικαρνασεῖς καὶ Κνίδιοι καὶ Κῷοι. Thucydides. Ῥόδιοι δὲ καὶ Κυθήριοι Δωριεῖς ἀμφότεροι. Aristides. Ῥοδίοις περὶ ὁμονοίας. ὥστ' οὐδὲν ἦν εὑρεῖν ὡς ἔπος εἰπεῖν παρ' ὑμῖν ὄνομα, ὅτι μὴ Δώριον ἀπὸ τῶν ὑμετέρων ἔργων ἀρξαμένων. idem Rhodiaco, τὸ πάτριον τοῖς Δωριεῦσι σώζοντες φρόνημα. χάλκεον, fatetur Gregorius Nazian-

Nazianzenus, & Lucianus in Ioue Tragœdo. φύνδις. belli. φυνώ (inquiūt grāmatici) ἐπὶ θορύβου ἤρας παρὰ τὸ ἀνύειν καὶ φονεύειν, ὡς πολεμικὰ ἀνυὼ καὶ φυνώ. ἔστι δὲ πλεῖστον πρόσωπον, ὡς φόβος καὶ ὄφις. ὁ γὰρ ὑπὲρ πελάγους. Suidas in uoce κολοσσαεὺς & Plinius 34. cap. 7. quod mari hostes profligarint. ἄνθεσαν. ἀνέθεσαν. καὶ ἐν γῇ. sed etiā quia in terra est subaudi. Quid sit apud Tertull. lib. aduersus Marcio. 3. Rhodia lex, scilicet, Nauclero illi nō quidē Rhodia lex sed Pōtica cauerat, edisserit Harmenopulus. nō enim quantū suspicor alludit ad legē Rhodiā de iactu. τὰ ναῦται πάντα καὶ ὅσα ἐπὶ θάλασσαν κεῖνται, ῥοδίων τέμνεται νόμῳ, καὶ ἐπὶ τῶν ῥοδίων δικάζεται νόμος, ὅταν μὴ ἄλλος νόμος φαινόμενος τοῖς τῶν ῥοδίων νόμοις εὑρίσκεται. εἰσὶ γὰρ οἱ τῶν ῥοδίων νόμοι τῶν ἄλλων ναυτικῶν νόμων παλαιγενέστεροι. ἀφ᾽ ἡρακλῆος γενέθλης. à Tlepolemo. ὃν τέκεν Ἀστυόχεια βίῃ ἡρακληείῃ. Homerus Iliad. β. historiā narrat cū Strabone lib. 14. illud etiā explicāte ἐν πόντῳ κοιρανίη. ac lib. α. μετὰ δὲ τὴν ὀλυμπίων τῆς θέσεως, ἐθάῤῥησαν πρῶτοι ῥόδιοι θαλαττοκρατοῦντες ἐπὶ πολὺ ἀπολῦσαι τῷ τόπῳ. κεραστρῆς. lupos. apros. uenantē. ἴδε. uidit. λυκῶνα. qui canē fecerat. κλοιὸν ἔχων. collare, meliū, cui alliget funis ac dominū comitetur. καὶ βαίνειν. ingredi. ambulare. ποταμοῦ κόρας. Oceani, è quo flumina ac fontes emanare uolūt. ποταμὸν sane uocat Homerus nisi obsistat Crates. uel ποταμοῦ Acheloi, aut uicini amnis. ex humore tū nasci tū nutriri arbores putat Myro nec nō Pindarus. ὕδωρ δ᾽ ἀλλ᾽ ἀφρόδα. Aristoteles ea impugnat. τοῦδε βένθος. hunc fluuiū. ὑπαί. ὑπό. ξυνόν. his tribus commune. στρυμονίου. Amphipolitani. νυῶ ἑνός. mariti.

ΑΠΟ ΑΘΛΗΤΩΝ.

Φιλοδήμου.

Κέντρα διωξικέλευθα, φιλοῤῥώθωνά τε κημόν,
τόν τε περὶ στέρνοις κόσμον ὀδοντοφόρον,
καὶ σουΐνην ῥάβδον ἐπὶ προθύροισι Πόσειδον,
ἄνθετό σοι νίκης Χάρμος ἀπ᾽ ἰσθμιάδος,
καὶ ψήκτρην ἵππων βρυσίτριχα, τήν τ᾽ ἐπὶ νώτου
μάστιγα, ῥοίζου μητέρα θηροβόλην.
ἀλλὰ σὺ κυανοχαῖτα, δέχου τάδε, τὸν δὲ Λυκίνου
υἱα, καὶ εἰς μεγάλην στέψον ὀλυμπιάδα.

Φιλίππου.

Τίς τὸν ἄχνυν Ἑρμῆν σε παρ᾽ ὑσπλήγγεσσιν ἔθηκεν;
ἑρμογένης. τίνος ὤν; Δαιμονέως. ποδαπός;
ἀντιοχεύς. τιμῶν σε χάριν τίνος; ὡς συναρωγὸν
ἐν σταδίοις. ποίοις; ἰσθμόθι, κὴν νεμέᾳ.
ἔτρεχε γάρ; καὶ πρῶτος. ἔχων τίνας; ἐννέα παῖδας.
ἔπτη δ᾽ ὥσαν ἔχων τοὺς πόδας ἠερίους.

διωξικέλευθα. ad iter impellentia. φιλοῤῥώθωνα. camū gutturis amantē. καὶ σουΐνην ῥάβδον. forte σχοινίνην ῥάβδον. Cretēsem. σουΐα Cretę est oppidū. placet κ᾽ οἱ σουΐνην. Vimineā. πόσειδον. tibi equestris equorūq; domitor Neptune, cuiq; agones Isthmij cōstituti. καὶ ψήκτρην. strigilē. λυκίνου υἱα. Charmū. τοῖς ὑσπλήγγεσσι. certaminibus ac gymnasiis præesse Mercuriū patefactū est. ἑρμογένης. Hermogenis nobilissimi cursoris Hippos cognominati mentio est Pausaniæ Elia. 2.

ΑΠΟ ΑΛΙΕΩΝ. Λεωνίδου.

Εὐκαμπὲς ἄγκιστρον, καὶ δούρατα δουλιχόεντα,
χὠρκύνην, καὶ τὰς ἰχθυδόκους σπυρίδας,

καὶ τὸν νηκτοῖσιν ἐπ' ἰχθύσι τεχνηθέντα
κύρτον, ἁλιπλάγκτων εὕρεμα δικτυβόλων,
τρηχύν τε τριόδοντα ποσειδάωνιον ἔγχος,
καὶ τοὺς ἐξ ἀκάτων διχθαδίους ἐρέτας,
ὁ γριπεὺς Διόφαντος ἀνάκτορι θήκατο τέχνης,
ὡς θέμις, ἀρχαίης λείψανα τεχνοσύνης.

Φιλίππου.

Δούνακας ἀκροδέτους, καὶ τὴν ἁλινηχέα κώπην,
γυρῶν τ' ἀγκίστρων λαιμοδακεῖς ἀκίδας,
καὶ λίνον ἀκρομόλιβδον, ἀπαγγελτῆρά τε κύρτου
φελλόν, καὶ δισσὰς χοινοτενεῖς σπυρίδας,
καὶ τὸν ἐγερσιφαῆ πυρὸς ἔγγονον ἔμφλογα πέτρον,
ἄγκυράν τε νεῶν πλαζομένων παγίδα,
Πείσων ὁ γριπεὺς Ἑρμῇ πόρεν, ἔντρομος ἤδη
δεξιτερὴν πολλοῖς αὐθόμενος καμάτοις.

Αδήλου.

Ἑρμείη, σήραγγος ἁλίκτυπον ὃς τόδε ναίεις
εὔστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας,
δέξο σαγηναίοιο λίνου τετριμμένον ἅλμῃ
λείψανον, αὐχμηρῶν ξανθὸν ὑπ' ἠιόνων,
γρίπους τε, πλωτῶν τε πάγην περιδινέα κύρτον,
καὶ φελλὸν κρυφίων σῆμα λαβόντα βόλων,
καὶ βαθὺν ἱππείης πεπεδημένον ἅμματι χαίτης,
οὐκ ἄτερ ἀγκίστρων λιμνοφυῆ δόνακα.

Αδήλου.

Δαίμονι τῇ συρίῃ τὸ ματτὴν ῥιβὼν Ἡλιόδωρος
δίκτυον ἐν ναοῦ τοῖσδ' ἔθετο προθύροις.
ἁγνὸν ἀπ' ἰχθυβόλου θήρης τόδε. πολλὰ δ' ἐν αὐτῷ
φυκί' ἀπ' εὐόρμων εἵλκυσεν αἰγιαλῶν.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Κεκμηκὼς χρονίῃ πεπονηκότα δίκτυα θήρῃ
ἄνθετο ταῖς νύμφαις τοῦτο γέρων Κινύρης.
οὐ γὰρ ἔτι τρομερὴ παλάμη περιηγέα κόλπον
εἶχεν ἀκοντίζειν οἰχομένοιο λίνου.
εἰ δ' ὀλίγον δῶρον τελέθει δόσις, οὐ τόδε νύμφαι
μέμψις, ἐπεὶ Κινύρα ταῦθ' ὅλος ἔσκε βίος.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό

Ταῖς νύμφαις Κινύρης τόδε δίκτυον. οὐ γὰρ ἀείρει
γῆρας ἀκοντιστὴν μόχθον ἐκηβολίης.
ἰχθύες ἀλλὰ νέμοισθε γεγηθότες, ὅττι θαλάσσῃ
δῶκεν ἔχειν Κινύρου γῆρας ἐλευθερίην.

Θεαιτήτου σχολαστικοῦ.

Ἰχθυβόλον πολυωπὸν ἀπ' εὐθήρου λίνον ἄγρης,
τῶν τ' ἀγκιστροδέτων συζυγίην δονάκων,

καὶ

καὶ πιστὸν βυθίων παγίδων σημάντορα φελλὸν,
καὶ λίθον ἀντιτύπῳ κρούσματι πυρσοτόκον,
ἄγκυράν τ' αἰεὶ δὶς, ἐχενηΐδα, δεσμὸν ἀέλλης,
στρεπτῶν τ' ἀγκίστρων ἰχθυπαγῆ στόματα,
δαίμοσιν ἀγροδότῃσι θαλασσοπόροις πόρε Βαίτων,
γήραϊ τουσφόρῳ βεβαρημένης παλάμης.

Ἰουλιανοῦ εἰς τὸ αὐτό.

Καμπτομένους δόνακας, κώπην θ' ἅμα νηὸς ἱμάσθλην,
γυρῶν τ' ἀγκίστρων καμπυλόεσσαν ἴτυν,
εὐκόλπου τε λίνοιο περίπλεα κύκλα μολίβδῳ,
καὶ φελλοὺς κύρτων μάρτυρας εἰναλίων,
ζεῦγός τ' εὐπλεκέων σπυρίδων, καὶ μητέρα πυρσῶν
τήνδε λίθον, νηῶν θ' ἕδρανον ἀσταθέων
ἄγκυραν, γριπεὺς ὁ βιοώνιε σοὶ τάδε Βαίτων
δῶρα φέρει, τρομεροῦ γήραος ἀντιάσας.

Μαικίου.

Αἰγιαλῖτα Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
δῶρα παρακταίης σοὶ τάδ' ἐπ' ὠφελίης
θύννων, εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
φράξαντες γλαυκαῖς ἐν παρόδοις πελάγευς,
φηγίνεον κρητῆρα, καὶ αὐτούργητον ἐρείκης
βάθρον, ἰδ' ὑαλέην οἰνοδόκον κύλικα,
ὥσαν ὑπ' ὀρχηθμῶν λελυγισμένον ἔγκοπον ἴχνος
ἀμπαύσῃς, ξηρὴν δίψαν ἐλαυνόμενος.

Φιλίππου.

Δίκτυά σοι μολίβῳ στεφανούμενα, δυσιθάλασσα,
καὶ κώπην, ἅλμης τὴν μεθύουσαν ἔτι,
κητοφόνον τε τρίαιναν ἐν ὕδασι καρτερὸν ἔγχος,
καὶ τὸν ἀεὶ φελλοῖς κύρτον ἐλεγχόμενον,
ἄγκυράν τε νεῶν στιβαρὴν χέρα, καὶ φιλοναύτην
σπέρμα πυρὸς σώζειν πέτρον ἐπιστάμενον,
ἀρχιθάλασσε Πόσειδον, Ἀμύντιχος ὕστατα δῶρα
θῆκατ', ἐπεὶ μογερῆς παύσαθ' ἁλιπλανίης.

Μαικίου κοΐντου.

Ἀκταίης νησῖδος ἁλιξάντοισι Πρίηπε
χοιράσι, καὶ ῥηχεῖ τετραπόμενος σκοπέλῳ,
Σοὶ Πάεις ὀστρακόδερμον ὑπ' εὐθήροισι δαμέντα
ὁ γριπεὺς καλάμοις κάραβον ἐκρέμασεν.
σάρκα μὲν ἔμπυρον αὐτὸς ὑφ' ἡμιβρῶτον ὀδόντα
θεὶς μάκαρ, αὐτὸ δέ σοι τοῦτο πόρε σκύβαλον.
ὣς σὺ δίδου μὴ πολλά, δι' εὐάγρου δὲ λίνοιο
δαῖμον, ὑλακτούσης νηδύος ἡσυχίην.

Ἀπολλωνίδου.

Τρίγλαν ἀπ' ἀνθρακιῆς, καὶ φυκίδα σοὶ λιμενῖτιν
ἄρτι μάλα δωροῦμαι Θῆρις ὁ δικτυβόλος,

καὶ ζωρὸν κραδίας ἰσχαλέα, καὶ τρύφος ἄρτου
αὔον ἀποθραύσας, τὴν πενιχρὴν θυσίην.
ἀνθ᾽ ἧς μοι πληθύοντα δίδου θηράμασιν αἰεὶ
δίκτυα. σοὶ δέδοται πάντα μάκαιρα λίνα.

Στατυλλίου φλάκκου.

Ῥαιβοσκελῆ, δίχηλον, ἀμμοδιώταν,
ὀπισθοβάμον᾽, ἀτράχηλον, ὀκτάπουν,
νηκτὰν τ᾽ ὀβρυμνόνωτον, ὀστρακόχροα,
τῷ πανὶ τὸν πάγουρον ὀρμινοβόλος
ἄγρας ἀπαρχὰν ἀντίθησι Κώπασος.

καὶ δονάκεσσι. Calamos piscatorios quos statim δονάκας uocat, aut tela quibus thynnos iaucinant piscatores. Strabo lib. α. ὁ δ᾽ ἐπὶ τῆς πρῴρης ἑστὼς δόρυ ἔχων &c. εἶτ᾽ ἐξεπιπάττεσθαι ἐκ τοῦ σώματος τὸ δόρυ χωρὶς τῆς ἐπιδορατίδος. χόρμιον. καὶ ὁρμιάν. σπυρίδας. sportas. nassas. καὶ τριόδοντα. fuscinam. tridentem Aristoteles lib. de hist. animal. 4. καὶ λαμβάνονται τυπτόμενοι τοῖς τριόδουσι, λαμβάνονται δὲ καὶ λάβρακες καὶ χρυσόφρυες καὶ κεστρεῖς καὶ ὅσοι τοιοῦτοι τριόδουσι. Oppian. ἁλιευ. γ. ἄλλοι δ᾽ οὐτάζουσι τανυγλώχινι βιαίνῃ ἔλλοπας. idem lib. ε. ὅθεν illud quo Thraces Delphinos petunt, uocat ἀκοντιστῆρα. τρίαιναν τὴν ἀκίδα καλοῦσι. δικθαδέους ἐρέτας. Remos. tonsas. erat enim Diophāti cymbula δίκωπος seu δίσκαλμος. ἀνάκτορι τέχνης. Mercurio. uel Pani. Oppianus. ἁλιευτ. γ. ἑρμεία σὺ δέ μοι. &c. καὶ τέλος ἄγρης παντοίης ἐπέφηνας, ἐπ᾽ ἰχθύσι κῆρας ὑφαίνων. πανὶ δὲ κορυνήτῃ βυθίην παρακάτθεο τέχνην παιδὶ τεῷ. Sophoclis interpres. οἱ ἁλιεῖς τιμῶσι τὸν πᾶνα, ὡς νόμιμον θεόν. confitetur Suidas in dictione ἁλιπλαγκτος. At Theocriti glossematarius. φασὶ δὲ καὶ πίνδαρος τὸν ἁλιέων ἀπόλλωνα φροντίζειν. Eusebius. ἐν δὲ τούτοις τὸν ἥφαιστον. εὑρεῖν δὲ καὶ ἄγκιστρον, καὶ δέλεαρ, καὶ ὁρμιὰν, καὶ κυδίαν. ἀκροδέτους. in summo ligatos. ἀγκίστρων. hamorum. ἀκρομόλιβδον. quo retia immerguntur. κύρτον. Ego in hoc loco retis expono. Oppianus Halieut. 3. ἄλλοι δ᾽ αὖ κύρτοισιν ἐπιφροσύνα μᾶλλον ἔχουσιν Leonidas ante. καὶ τὸν ὑπὸ ῥηχοῖσιν ἐπ᾽ ἰχθύσι τεχνηθέντα κύρτον. licet Hesychio κύρτος sit ἀγγεῖον πλεκτὸν ᾧ οἱ ἁλιεῖς χρῶνται. φελλόν. suber, iacta retia indicans. ἔμφλογα πέτρον. pyretē. ex quo calybe alioue excussorio ignis euocetur, sulphure, arido fomite fungoue aut exusto iunco aut linteolo excipiēdus. ἐγγυον. sponsorem. ἐγρεσιφαῆ. lumen excitantē. πεῖσμα. uinculum, retinaculū. ὄβριμος. tremēs. senex, ἁλίκτυπον. marinis undis pulsatū. ἰχθυβόλοισι. mergis piscatoribus. λίνον. scribe λίνα. sagenæ. uerriculi. πλωτῶν. pisciū. γρίπους. retia. ἅμματι χεύσης. τῇ ὁρμιᾷ. λιμνοφυῆ. in stagno & palude natum. δαίμονι τῇ συρίῃ. Lucianus in commentario de Syria dea. ἄγονον ἰχθ. piscibus carens. κεκμηκώς. κάμνω. ἀκοντίζειν. iacere. βίος. ex eo uictitabat. τὸ δὲ δίκτυον. dicauit supple poetæ. θάνατο. πόρε. ἔθος αὖθις. dicunt. γῆρας. senectutis infirmitas. θαλάσσης. piscibus. λίνον. δίκτυον. συζυγίην δονάκων. duos calamos. πασσάλων. δικτύων. ἀυλιστῶν. Varinus. πυριτόκον, actis scintillis ignem gignentem. ἐχενηΐδα. anchoram, scapham in salo fundantem ac retinentem: piscis uero echeneis (Philes ναυκρατὴν uocat, quidam è latinis remoram) stare cogit nauigia. hoc asseruit Plin. & Basilius εἰς τὴν ἑξαήμερον ὁμιλίᾳ ζ. cum multis. Lucanus: non puppim retinens euro tendente rudētes in medijs echineis aquis. Echinus legi nequit. ne quem fallat Platina. Plutarchus huius miraculi causam reddere conatur Sympos. 2. segmēto. 7. at Aeschylus cōtrarios uentos ἐχενηΐδας nominat. σόματα. hamos. γνὲς ἱμάσθλην. metaphora ab aurigæ flagello detorta. ἴτυν. hamum recuruum.

μολιβδίς. quo retia in profundo contineantur. est & μολυβδαίνα, ὁ πρὸς τῇ ὁρμιᾷ ἢ τῷ ἀγκίστρῳ περιτιθέμενος μόλιβδος, διὰ τὸ θᾶττον καθιέναι, ὃ δεῖ καθίεσθαι τὸ ἀγκίστρον. κύρτων. δικτύων. ζεῦγος. par, ante συζυγίαν. πυρσῶν. ignis è silice excussi. μάρτυρας. indices. ἑδράνου ἕδρασμα. stabilimentum nauium retinaculum. ἑρμεῖα. Mercuri. δῆσε. ligauit. ἂν δὲ ποσειδάωνα. Neptuno. ἔνθα μάκαρ. uale. sis felix. ἄλυτος. insolubilis. ἡ βάσκει. quæ accedit. properat. ἔτι σπαίροντ'. palpitantē adhuc uiuumq́ capularem senem. μεδέων ἢ χθονί, καὶ πελάγει. idem infra Macedonius. ναίεις ὦ πόντου βασιλεῦ, καὶ κοίρανε γαίης. nam Ioui Neptuno & Plutoni terra est communis ut refert Homerus Iliad. ο. γαῖα δ' ἔτι ξυνὴ πάντων, ἢ μακρὸς ὄλυμπος. αἰγιαλῖται. ἐπάκτιοι. litoralis. ἁλιευόντων. piscatores. ἀκταίης non procul à litore exceptæ. λίνου βυσσώμασι. septis, uel profundis retibus. φηγίνεον. faginum. θρέακς. θρέακη δένδρον οὐ τὰ φύλλα οἱ μυρμῆκοι ἀποσφαγνύουσι, ἀλλὰ τὸ ψυκτικὰ τὸ καὶ ἔστα, Nicandri glossematarius in Alex. quid in Theriacis? θρέακη εἶδος βοτάνης, ἥ τις φύλλα ἔχει τῷ κισσῷ παραπλήσια μακρότερα δὲ ἢ βραχύτερα. Dioscorides lib. α. φηγὸν δένδρον δὲ θαμνῶδες, ὅμοιον μυρσίνῃ μακρότερον δὲ πολλῷ. ὑάλεον. rectius ligneā aut testaceam dixisset, nam Homero & priscis illis quos tanquam scopum intueri debent cæteri poetæ ignotū fuit uitrum. ἔγκοπον ἴχνος. labore ac tripudio fatigatos pedes. δυσθάλασσα. cum in mare iacta sunt, ῥίαιναν ῥίοδον τὰ prius nominauit Leonidas. χέρα. retinaculum. ἀλεξάνεμοι. uentos arcētibus. σκύλαβον. putamen testaceum. ὑλακτούσης νηδύος. uentris ac stomachi latrantis. λιμένιον. in portu captū. ἢ ζωρόν. uino meraco calycem implens. πάντα. nō solum uenatoria, sed etiam piscatoria retia. ῥαιβοσκελῆ. obtortos atq́ in obliquū flexos pedes habentē. hæc sunt paguri cancri epitheta. ἀμμοδυνόταν. in harena latitantem. ὀπισθοβάμονα. retrogradum. ὀκτάπουν. octonis pedibus præditum, & λειμονώτου duro & munito dorso. κώπασος. Copasus piscator.

## ΑΝΤΙΣΤΡΕΦΟΝΤΑ.

Νικοδήμου ἡρακλεώτου πάντα.

Πηνελόπη, τόδε σοι φᾶρος, καὶ χλαῖναν ὀδυσσεὺς
ἥκει ἔχων, δολιχὴν ἐξανύσας ἀτραπόν.
Τὸν ῥαγόπωγ' ἐμὲ Πᾶνα φίλον βρομίοιο, καὶ ὑὸν
ἀρκάδιος, ἀντ' ἀλκᾶς ἔγραφεν ὠφελίων.
Ἀθροπης διάκρυον ἰδρῶς, καὶ λείψανα δείπνων
δύσνομα, καὶ ποινὴν ἔγραφεν ὠφελίων.
Πραξιτέλης ἔπλασε Δανάην, καὶ φάρεα νυμφῶν
λύγδινα, ἢ πέτρης Πᾶνά με πεντελικῆς.
Κύπριδι κουροτρόφῳ δάμαλιν ῥέξαντες ἔφηβοι,
χαίροντες, νύμφας ἐκ θαλάμων ἄγομεν.
Αἰθομένας ὑπὸ δᾶσιν ἐν εὐρυχόρῳ πατρὸς οἴκῳ,
παρθένον ἐκ χειρῶν ἠγαγόμην Κύπριδος.
Ἀσκανίη μέγα χαῖρε καλή, ἢ χρύσεα Βάκχου
ὄργια, καὶ μύσαι πρόκειται θυίεω.

Ὅπως ἀντιστρέφονται ταῦτα,
παράδειγμα.

Θυίεω πρόκειται μύσαι καὶ ὄργια Βάκχου
χρύσεα, καὶ καλὴ χαῖρε μέγ' ἀσκανίη.

φᾶρος καὶ χλαῖναν. Alcinoi & Phæacum munera. βρομίοιο. Liberi patris. καὶ ἡὐ ἀρκάδος. Mercurij in Arcadia regnātis, id ex Homero probauimus. ἀντ᾽ ἀλκῆς. quod ei periclitanti auxilio fuissem. ἀδρόπτης δαίτρυνου. Thieste per concubitum Aeropes arietem aureū, id est fuluos ouium greges aut phialam auream ariete signatam priuare rato, sceleri locus nō defuit. nam & illam eripuit uiro filiosq́; ex ea cōcepit. ob id bellum inter fratres accensum, pulsusq́; regno est Thiestes. notissima est fabula. δαίτνων. appositorum in cōuiuio filiorum. ἰφῆς. an δισφῆς. δαναΐδων. Superius libro quarto. αἵ τε γελῶσαι νύμφαι πραξιτέλους, ἥ τε καλὴ δανάη. λύγδινα. è marmore Pario candidissimo. eum lapidem cœpere Lichnitē appellare. Parius (uerba Seruij) candidissimus est lapis Lygdius nomine. is nascitur in Paro insula. Martialis. candida non tacita respondet imagine Lygdos. πάριος δὲ λίθος, ὁ καλούμενος λύγδινος. Pindari scholia. nec impedit Plinius lib. 36. paululū distare ab eo in unguentorū fide multi existimant Lygdinos in tauro repertos. Lygdinos enim candoris eximij uocat. uide Suidam. πέτρος πεντελικῆς. Stephanus. πεντέλη δῆμος αἰγηΐδος φυλῆς. Vitruuius. & primum Athenis murum qui spectat ad Hymettū montem & Penteleusem. Cic. ad Attic. Hermæ illi tui Pentelici. Pausanias in Atticis. ὄρη δὲ ἀθηναίοις ἐστὶ πεντελικόν, ἔνθα λιθοτομίαι. Et λίθος ὁ πεντέλησιν εἰργασμένος. Et. μνῆμά τε ἐδείκνυτο, καὶ περὶ πεντέλησιν ὄντων λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ. Pētelico lapide marmorarios usos mille exemplis ex eodem Pausania liquet. δάμαλιν ῥέξαντες. immolata uacca. ἀσκανίη. Ascania oppidum est. θυίεω. Bacchi.

## ΑΠΟ ΒΑΚΧΕΥΟΜΕΝΩΝ.

### Ἀλεξίου.

Μῆτερ ἐμὴ γαίη, φρυγίων θρέπτειρα λεόντων,
μόνης μύσταις οὐκ ἀπάτητον ὄρος,
σοὶ τόδε θῆλυς Ἄλεξις ἑῆς οἰστρήματα λύσσης,
ἄνθετο, χαλκοτύπου παυσάμενος μανίης.
κύμβαλά τ᾽ ὀξύφθογγα, βαρυφθόγγων τ᾽ ἀλαλητὸν
αὐλῶν, οὓς μόσχου λοξὸν ἔκαμψε κέρας,
τύμπανά τ᾽ ἠχήεντα, καὶ αἵματι φοινιχθέντα
φάσγανα, καὶ ξανθάς, τὰς πρὶν ἔσεισε κόμας.
ἵλαος ὦ δέσποινα, τὸν ἐν νεότητι μανέντα,
γηραλέον προτέρης παῦσον ἀγριοσύνης.

### Μακεδονίου ὑπάτου.

Κισσοκόμα Βρομίῳ σάτυρον σεσαλαγμένον οἴνῳ
ἀμπελοεργὸς ἀνὴρ ἄνθετο Δαμαγόρας.
τῷ δέ, καρηβαρέοντι, δέρην, τρίχα, κισσόν, ὀπώρην,
πάντα λέγεις μεθύειν, πάντα συνεκλέλυται.
καὶ φύσιν ἀφθόγγοισι τύποις μιμήσατο τέχνη,
ὕλης ἀντιλέγειν μηδὲν ἀναχομένης.

### Ἀγαθίου σχολαστικοῦ.

Βασσαρὶς Εὐρυνόμη σκοπελοδρόμος, ἥ ποτε ταύρων
πολλὰ τανυκραίρων στέρνα χαραξαμένη,
ἡ μέγα καγχάζουσα λεοντοφόνοις ἐπὶ νίκαις,
παίγνιον ἀτλάτου θηρὸς ἔχουσα κάρη,

ἱλ

ἱλήκοις Διόνυσε, τεῆς ἀμέλησε χορείης,
Κύπριδι βακχεύειν μᾶλλον ἐπειγομένη.
θῆκε δέ σοι τάδε ῥόπτρα. παραρρίψασα δὲ κισσόν,
χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.

Τοῦ αὐτοῦ.

Πορφυρὶς ἡ κνιδίη τὰ στέμματα, καὶ τὸ δίθυρσον
τοῦτο τὸ λογχωτόν, καὶ τὸ ποδισφύριον,
οἷς ἀνέδην βακχεῦεν, ὅτ᾽ ἐς Διόνυσον ἐφοίτα,
κισσῷ τὴν στέρνοις νεβρίδ᾽ ἀναπτομένη,
ἁβροκόμη Διόνυσε, τεῷ παστάδι ἠώρησεν
ταῦτα, τὰ τοῦ κάλλους κόσμια, καὶ μανίης.

θρέπτειρα λεόντων. Cybelæ ut Homerus in eius hymno canit, εὔαδεν ἠδὲ λύκων κλαγγὴ χαροπῶν τε λεόντων. Orpheus. ταυροφόνων ζεύξασα ταχύδρομον ἁρμαλεόντων. φρυγίων. Rheam maxime Phryges uenerantur. θῆλυς ἄλεξις. cui ratus exectus. καὶ αἵματι. sanguine suo. παῦσον ἀγριοσωύης. ab insania & furore libera. κισσοκόμα. hedera coronato. τῷ δὲ. satyro. τέχνη. ars & peritia scalptoris. ἀντιλέγειν. nec artificis ingenio ac manibus obsistere ac repugnare. θηρός. leonis. χορείης. Bacchicæ saltationis. κισσόν. thyrsum hedera & pampinis inuolutum, aut coronas hederaceas. χρυσοδέτῳ σπατάλῃ. annulo. πορφυρίς. Bacchæ nomen. ἤδε τὸ δίθυρσον. thyrsi periphrasis. καὶ τὸ ποδισφύριον. pedum ornamentum. διόνυσον. Bacchi orgia. νεβρίδα. Ceruinam pellem cum hedera, pectori accommodans. ἀνώρησεν. scribe ἠώρησεν. appendit. καὶ μανίης. Bacchicæ insaniæ.

## ΑΠΟ ΓΕΡΟΝΤΩΝ.

Ἰσιδώρου σχολαστικοῦ.

Λέκτρα μάτην μίμνοντα, καὶ ἀπρήκτου σκέπας εὐνῆς,
ἄνθετό σοι μήνη, σοὶ φίλος ἐνδυμίων
αἰδόμενος. πολιὴ γὰρ ὅλου κρατέουσα καρήνου,
οὐ σώζει προτέρης ἴχνιον ἀγλαΐης.

Ἀγαθίου σχολαστικοῦ.

Σὸς πόσις ἀγχίσης, τοῦ εἵνεκα πολλάκι Κύπρι
τὴν πρὶν ἐς ἰδαίην ἔβρεχες ἠϊόνα,
νῦν μόλις εὗρε μέλαιναν ἀπὸ κροτάφων τρίχα κόψαι.
θῆκε δέ σοι προτέρης λείψανον ἡλικίης.
ἀλλὰ θεά, δύνασαι γάρ, ἢ ἡβητῆρα με τεῦξον,
ἢ καὶ τὴν πολιὴν, ὡς νεότητα δέχου.

μάτην μίμνοντα. frustra amantis blanditias expectantia. καὶ ἀπρήκτου. propter senium. μήνη. ô luna. πολιή. canicies. ἴχνιον ἀγλαΐης. Poetæ nunc in pueris flauam cæsariem nunc crines nigros cōmendant. ἀγχίσης. Homerus in hymno Veneris. νῦν μόλις. canus effectus. θῆκε. τὴν μέλαιναν τρίχα. δύνασαι γάρ. Phaonem iuuentuti restituit Venus, possunt & dij omnia.

## ΑΠΟ ΓΕΟΡΓΩΝ.

Φιλίππου.

Δράγματά σοι χώρου μικραύλακος ὦ φιλόπυρε
Δηοῖ, Σωσικλέης θῆκεν ἀρουροπόνος,

ἀσταχύων

εὐσταχύων ἀμήσας τὸν νῶτ' ἀσπόρου. ἀλλὰ καὶ αὖτις
ἐκ καλαμητομίης ἀμβλὺ φέροι δρέπανον.

Ἀγαθίου σχολαστικοῦ.

Χαλκὸν ἀροτρητῆρα, κλασιβώλακα, νειοτομῆα,
καὶ τὴν ταυροδέτην βύρσαν ἐπαυχενίην,
καὶ βουπλῆκτρον ἄκαιναν, ἐχετλήεντά τε γόμφον
Δηοῖ Καλλιμένης ἄνθετο γειοπόνος,
τμήξας εὐαρότου ῥάχιν ὀργάδος. εἰ δ' ἐπινεύσεις
τὸν στάχυν ἀμῆσαι, καὶ δρεπάνην κομίσω.

Λεωνίδου.

Γλευκοπόταις Σατύροισι, καὶ ἀμπελοφύτορι Βάκχῳ
ἡρῶναξ, πρώτης δράγματα φυταλίης
τρισσῶν οἰνοπέδων, τρισσοὺς ἱδρύσατο τούσδε
ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους.
ὧν ἡμεῖς σπείσαντες ὅσον θέμις οἰνοπὶ Βάκχῳ,
καὶ Σατύροις, Σατύρων πλείονα πιόμεθα.

Ἀδήλου.

Ὀξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον
ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων,
σφαιρηδὸν σταφυλῇσιν ἐπιτροχάοντα, δοκεύσας
Κώμαυλος, Βρομίῳ ζωὸν ἀνεκρέμασεν.

Ἀδέσποτον.

Κώμαυλος τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα
ῥᾶγας, ἀπέκτεινεν τοῦτον ἐπὶ θειλοπέδῳ.
αὐήνας δ' ἀνέθηκε φιλακρήτῳ Διονύσῳ,
τὸν τὰ Διωνύσου δῶρα λεϊζόμενον.

Βακχυλίδου.

Εὔδημος τὸν νηὸν ἐπ' ἀγροῦ τόνδ' ἀνέθηκε
τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ.
εὐξαμένῳ γάρ οἱ ἦλθε βοηθός, ὄφρα τάχιστα
λικμήσῃ πεπόνων καρπὸν ἀπ' ἀσταχύων.

Ἀγαθίου σχολαστικοῦ.

Εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης
Βακχιάδος, πουλὺν βότρυν ἀμεργόμενον.
ἀγρονόμῳ δ' ἀγόρευσα, καὶ ἔδραμεν. ἀπὸ δ' ἴδης δὲ
ἐγκέφαλον πλήξας, ἐξεκύλισε λίθῳ.
εἶπε δὲ καὶ χαίρων ὁ γεωπόνος, ἆ τάχα Βάκχῳ
λοιβῆς, καὶ θυέων μικτὸν ἔδωκα γέρας.

Τοῦ αὐτοῦ.

Λάσια Πὰν λοφιῆτα τάδε Στρατόνικος ἀροτρεὺς
ἀντ' εὐεργεσίης ἄνθετό σοι τεμένη.
βόσκε δ' ἔφη χαίρων τὰ σὰ ποίμνια, καὶ σέο χώρην
δέρκεο, τὴν χαλκῷ μηκέτι τεμνομένην.

αἴσιον εὑρήσεις τὸ ἐπαύλιον. φθάσε γάρ σοι
ἤδη τὴν ποίμνην, καὶ γάμον ἐκτελέσαι.

Φιλίππου.

Σπερμοφόρον πήρην ὠμαχθέα, καὶ λεσίβωλον
σφύρην, καὶ γαμψὰς πυρολόγους δρεπάνας,
καὶ τριβόλους ὀξεῖς ἀχυροτρίβας, ἰσοβόλην τε
σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν,
κέντρα τ' ὀπισθονυχῆ, καὶ βούστροφα δεῖμα τενόντων
καὶ τείνακας ξυλίνας χεῖρας ἀρουροπόνου,
γῆα πεπρωθεὶς Λυσίξενος ὤλακι πολλῷ,
ἐκρέμασεν Δηοῖ τῇ σταχυοστεφάνῳ.

Λεωνίδου.

Ἀγρονόμῳ τάδε Πανί, καὶ εὐαστῆρι Λυαίῳ,
πρέσβυς, καὶ νύμφαις ἀρκὰς ἔθηκε Βίτων.
Πανὶ μὲν ἀρτίζωον χίμαρον συμπαίστορα μητρός,
κισσοῦ δὲ Βρομίῳ κλῶνα πολυπλανέος,
νύμφαις δὲ σκιερῆς εὐποίκιλον ἄνθος ὀπώρης,
φύλλα τε πεπταμένων αἱματόεντα ῥόδων.
ἀνθ' ὧν εὔυδρον νύμφαι τόδε δῶμα γέροντος
αὔξετε, Πάν, γλαγερόν, Βάκχε, πολυστάφυλον.

Σαβίνου.

Πανί, Βίτων χίμαρον, νύμφαις, ῥόδα, θύρσα, Λυαίῳ,
τρισσῶν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φόβαις.
δαίμονες, ἀλλὰ δέχεσθε κεχαρμένοι. αὔξετε δ' αἰεί,
Πάν, ἀγέλην, νύμφαι, πίδακα, Βάκχε, γάνος.

Γετουλίκου.

Λάζεο τιμήεσσα Κυθηρείας ὑμνοπόλοιο
ἄψα τάδε λεπτὰ δῶρα Λεωνίδεω,
πεντάδα τὴν σταφυλῆς εὐρώγεα, καὶ μελιηδές
πρώϊον εὔφυλλον σῦκον ἀπ' ἀκρεμόνων,
καὶ ταύτην ἀπέτηλον ἁλινήκτειραν ἐλαίην,
καὶ ψαιστῶν ὀλίγων δράγμα πενιχραλέον,
καὶ σταγόνα σπονδὴν ἀεὶ θύεσσιν ὀπηδόν,
τῆς κύλικος βαιῷ πυθμένι κευθομένην.
εἰ δ' ὡς μευ βαρύγυιον ἀπώσαο νοῦσον, ἐλάσσεις
καὶ πενίην, δώσω πιαλέον χίμαρον.

Κορνηλίου Λογγίνου.

Ἐκ πενίης ὡς οἶσθα ἀκραιφνέος, ἀλλὰ δικαίης,
Κύπρι, τοῦτα δέχου δῶρα Λεωνίδεω,
πορφυρέην ταύτην εὐφυλλίδα, τήνδ' ἁλίπαστον
δρύπεπτα, καὶ ψαιστὸν τὴν νομίμην θυσίην.
σπονδὴν τὴν ἀσάλευτον ἀφυλίδα, καὶ τὰ μελιχρὰ
σῦκα. σὺ δ' ὡς νοῦσον, ῥῦσο καὶ πενίης.
καὶ τότε βουθυτέοντά μ' ἐσόψεαι. ἀλλὰ σύ, δαῖμον,
σπεύδοις ἀντιλαβεῖν τὴν ἀπ' ἐμεῦ χάριτα.

Ἀδδαίου

Lucianus in Lapithis. τῶν δὲ ἀπὸ τοῦ περιπάτου, Κλεόδημος, οἶδα τὸν στωμύλον, τὸν ἐλεγκτικὸν, ξίφος αὐτὸν οἱ μαθηταὶ καὶ κοπίδα καλοῦσιν. at Plutarchus in Phocione. ὁ δὲ Δημοσθένης, τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνισταμένου δὲ τοῦ Φωκίωνος, εἰώθει λέγειν ἀτρέμα πρὸς τοὺς φίλους, ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεστιν. ἀδεθεὶς ὄργων. Aelianus. νόμος καὶ οὗτος Ἀττικός. βοῦν ἀρότην καὶ ὑπὸ ζυγόν πονήσαντα σὺν ἀρότρῳ, ἢ καὶ σὺν τῇ ἁμάξῃ, μηδὲ τοῦτον θύειν, ὅτι καὶ οὗτος εἴη ἂν γεωργὸς, καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός.

## ΑΠΟ ΓΥΝΑΙΚΩΝ.

### Πλάτωνος.

Η σοβαρὸν γελάσασα καθ' ἑλλάδος, ἡ τῶν ἐραστῶν
ἑσμὸν ἐπὶ προθύροις Λαῒς ἔχουσα νέων,
τῇ Παφίῃ τὸ κάτοπτρον. ἐπεὶ τοίη μὲν ὁρᾶσθαι
οὐκ ἐθέλω, οἵη δ' ἦν πάρος, οὐ δύναμαι.

### Εἰς τὴν αὐτὴν Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Λαῒς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφὴν,
γηραλέης στυγέει μαρτυρίην ῥυτίδος.
ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
ἀλλὰ σύ μοι Κυθέρεια, δέχου νεότητος ἑταῖρον
δίσκον, ἐπεὶ μορφὴ σὴ, χρόνον οὐ τρομέει.

### Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Κάλλος μὲν Κυθέρεια χαρίζεται. ἀλλὰ μαραίνει
ὁ χρόνος ἑρπύζων σὴν βασίλεια χάριν,
δῶρον δ' ὑμετέροιο παραπταμένης με Κυθήρης
δείκνυσι καὶ δώρου πότνια μαρτυρίην.

### Λουκιανοῦ εἰς τὸ αὐτό.

Ελλάδα νικήσασαν ὑπέρβιον ἀσπίδα μήδων,
Λαῒς θῆκεν ἑῷ κάλλεϊ ληϊδίην.
μόνῳ ἐνικήθη ὑπὸ γήραϊ, καὶ τὸν ἔλεγχον
ἄνθετο σοὶ Παφίη, τὸν νεότητι φίλον.
ἧς γὰρ ἰδεῖν στυγέει πολιῆς παναληθέα μορφὴν,
τῆς δὲ συνεχθαίρει καὶ σκιόεντα τύπον.

### Ἀντιπάτρου σιδωνίου.

Κερκίδα τὴν φιλάοιδον ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἄρμενον ἐργασίης.
εἶπε, χαῖρε θεὰ, καὶ τήνδ' ἔχε. χήρη ἐγὼ γὰρ,
τέσσαρας ἐς ἐτέων ἐρχομένη δεκάδας.
ἀρνεῦμαι τὰ σὰ δῶρα. τὰ δ' ἔμπαλι, Κύπριδος ἔργων
ἅπτομαι. ὥρης γὰρ κρεῖσσον ὁρῶ τὸ θέλειν.

### Ἀδέσποτον εἰς τὸ αὐτό.

Κερκίδα τὴν φιλοεργὸν ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἄρμενον ἐργασίης,

παντὸς ἀπευξαμένη γυιῶν τότε τῶν ἐν ἐρίθοις
μόχθους, καὶ στυγερὰς φροντίδας ἱστοπόνων.
εἶπε δ' Ἀθηναίῃ, τῶν Κύπριδος ἅψομαι ἔργων,
τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη.

Παύλου σιλεντιαρίου.

Σοὶ τὰ λιποστεφάνων διατίλματα μυρία φύλλων,
σοὶ τὰ νοοπλήκτου πλαστὰ κύπελλα μέθης,
βόστρυχα σοὶ τὰ μύροισι δεδευμένα. τῇδε κονίῃ
σκῦλα ποθοβλήτου κεῖται ἀναξαγόρα.
σοὶ τάδε Λαῒς ἅπαντα. παρὰ προθύροις γὰρ ὁ δειλὸς
τοῖσδε σὺν ἀκρήβαις πολλάκι παννυχίσας,
οὐκ ἔπος, οὐ χαρίεσσαν ὑπόσχεσιν, οὐδὲ μελιχρῆς
ἐλπίδος ὑβριστὴν μῦθον ἐπεσπάσατο.
φεῦ. φεῦ. γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων,
μέμφεται ἀστρέπτων κάλλει θηλυτέρων.

Ἀδέσποτον.

Ἡ τοπρὶν αὐχήεσσα πολυχρύσοις ἐπ' ἐρασταῖς,
ἡ νέμεσιν δεινὴν οὐχὶ λαβοῦσα θεῶν,
μίσθια νῦν ἀπαθίοις πωλεῖ χροῒς πλωίσματα κρύα.
ὀψὲ γ' Ἀθηναίη Κύπριν ἐληΐσατο.

Νικάρχου.

Ἡ πρὶν Ἀθηναίης ἀπὸ κερκίσι, καὶ τὰ καθ' ἱστῶν
νήματα Νικαρέτη πολλὰ μιτωσαμένη,
Κύπριδι τόν καλαθόν τε, τὰ πηνία, καὶ τὰ σὺν αὐτοῖς
ἄρμεν', ὑπὸ προδόμου πάντα πυρῆς ἔθετο,
ἔῤῥετε φωνήσασα κακῶν λιμηρὰ γυναικῶν
ἔργα, νέων τήκειν ἄνθος ἐπιστάμενα.
εἵλετο δὲ στεφάνους, καὶ πηκτίδα, καὶ μετὰ κώμων
ἡ παῖς, τερπνὸν ἔχειν ἐν θαλίαις βίοτον.
εἶπε δέ, παντός σοι δεκάτην ἀπὸ λήμματος οἴσω
Κύπρι, σὺ δ' ἐργασίην καὶ λάβε, καὶ μετάδος.

Ἀρχίου.

Αἱ τρισσαί, Σατύρη τε, καὶ Ἡράκλεια, καὶ Εὐφρώ,
θυγατέρες Ξούθου καὶ Μελίτης, Σάμιαι,
ἁ μέν, ἀραχναίοιο μίτου πολυδίνεα λάτριν
ἄτρακτον δολιχᾶς οὐκ ἄτερ ἀλακάτας,
ἁ δέ, πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων,
εὔθροον ἁ τριτάτα δ' εἰροχαρῆ τάλαρον,
οἷς ἔχον χρηῦντα βίον δηναιὸν ἀθάνα
πότνια, ταῦθ' αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

Ἀγαθίου σχολαστικοῦ.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην, ἄνθετο Καλλιρόη.
εὕρετο γὰρ μνηστῆρα, τὸν ἤθελε, καὶ λάχεν ἥβην
σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

Παλλαδᾶ.

Αντὶ βοὸς, χρυσέου τ' ἀναθήματος, Ἴσιδι τοῦσδε
θήκατο τοὺς λιπαροὺς Παμφίλιον πλοκάμους.
ἡ δὲ θεὸς, τούτοις γάννυται πλέον, ἤπερ Ἀπόλλων
χρυσῷ, τὸν Λυδὸς Κροῖσος ἔπεμπε θεῷ.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ὦ ξυρὸν οὐράνιον, ξυρὸν ὄλβιον, ᾧ πλοκαμῖδας
κειραμένη πλεκτὰς, ἄνθετο Παμφίλιον,
οὐδέ τις ἀνθρώπων χαλκεύσατο. πὰρ δὲ καμίνῳ
Ἡφαίστου, χρυσέην σφῦραν ἀειραμένη,
ἁ λιπαροκρήδεμνος ἵν' εἴπωμεν καθ' ὅμηρον,
χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε χάρις.

Ἀντιπάτρου σιδωνίου.

Κερκίδα τὴν ὀρθρινὰ χελιδόνων ἆμα φωνᾷ
μελπομέναν, ἱστῶν Παλλάδος ἀλκυόνα,
τόν τε καρηβαρέοντα πολυρροίβητον ἄτρακτον,
κλωστῆρα στρεπτᾶς εὔδρομον ἁρπεδόνας,
καὶ τωλίας, καὶ τόνδε φιλαλάκατον καλαθίσκον,
στάμονος ἀσκητοῦ, καὶ τολύπης φύλακα,
παῖς ἀγαθοῦ Τελέσιλλα Διοκλέος, ἁ φιλοεργὸς,
εἰροκόμων κούρα θήκατο δεσπότιδι.

Τοῦ αὐτοῦ.

Παλλάδι ταὶ τρισσαὶ θέσαν ἅλικες, ἶσον ἀράχνᾳ
τεῦξαι λεπταλέον στάμον' ἐπιστάμεναι,
Δημὼ μὲν ταλαρίσκον εὔπλοκον, ἀρσινόα δὲ,
ἐργάτιν εὐκλώστου νήματος ἠλακάταν,
κερκίδα δ' εὐποίητον ἀηδόνα τὰν ἐν ἐρίθοις,
Βακχυλὶς, εὐκρέκτους ᾇ διέκρινε μίτους.
ζώειν γὰρ δίχα παντὸς ὀνείδεος εἵλεθ' ἑκάστη
ξεῖνε, τὸν ἐκ χειρῶν ἀρνυμένα βίοτον.

Φιλίππου.

Κερκίδας ὀρθρολάλοισιν χελιδόσιν εἰκελοφώνους,
Παλλάδος ἱστοπόνου λειομίτους κάμακας,
καὶ κτένα κοσμοκόμην, καὶ δακτυλότριπτον ἄτρακτον
σφονδυλοδινήτῳ νήματι νηχόμενον,
καὶ τάλαρον σχοίνοισιν ὑφασμένον, ὅν ποτ' ὀδόντι
ἐπλήρου τολύπῃ πᾶσα καθαιρομένη,
σοὶ φιλοεργὲ κόρη Παλλαντιὰς, ἡ βαθύγηρως
Αἰσινόη, πενίης δῶρον ἀνεκρέμασεν.

Λεωνίδου.

Τῆς πέζης τὰ μὲν ἄκρα τὰ δεξιὰ μέχρι παλαιστῆς,
καὶ σπιθαμῆς οὔλης, Βίτιον εἰργάζετο.
θἠτέρα δ' ἀντιάνειρα προσήρμοσε. τὸν δὲ μεταξὺ
μαίανδρον, καὶ τὰς παρθενικὰς, Βιτίη,

κούρη καλλίστη Διὸς Ἄρτεμι, ὥσπερ τὸ νῦμα
πρὸς ψυχῆς θείης τὴν προπόνηρον ὄψιν.

Ἀντιπάτρου.

Ἄρτεμι, σοὶ ταύταν ἱππάρθενε, πότνια γυναικῶν,
τὴν μίαν ἐκ βίοτας πέζαν ὑφηνάμεθα.
καὶ Βιτίη μὲν, τάσδε χεροὶ θαλίας κάμε κούρας,
λοξαῖς τε μαιάνδρου ῥεῖθρα πολυπλανέος.
ξανθὰ δ' Ἀντιάνειρα, τὸν ἀγχόθι μήσατο κόσμον
πὰρ λαιᾷ ποταμοῦ κεκλιμένον λαγόνι.
τὸν δέ νυ δεξιτερῶν νασμῶν πέλας ἱστοπάλαιστον
ὥσπερ ἰδ' ἀντιθάμη, Βίτιον ἐνύσατο.

Ἡδύλου.

Ἀμβρα, τόθ' ἁλουργὲς ὑπόδημα, τοί τε Λάκωνες
πέπλοι, καὶ λήρων οἱ χρύσεοι κάλαμοι,
πάνθ' ἅμα Νικονόη συνεπέκτισεν, ἣν γὰρ βρωτῶν,
καὶ χαρίτων ἡ πῶς ἀμβρόσιόν τι θάλος.
τοιγάρ, Ζεῦ, κεῖναν τι τὰ καλλιστεῖα γ' εἴληπε,
νηδεΐδα, καὶ χρυσέην τὴνδ' ἔθετο πρόχοον.

θυμόν. iuuenum multitudinem. γρῖα. anus & deformis. διαποίνη. Veneri. δίσκον. speculum. quod formæ testem iam appellat. οὐ τρομέει. diuina & immortalis, temporis iniuriam non formidans. χάριν. τὸ κάλλος. μαρτυρίην. speculum. ἐπὶ σιδαμήδων. apud Salaminam insulam & Plateas Bœotiæ urbem. ληΐδην. in prædam. ἔλεγχον. κάτοπτρον. σκιόεντα τύπον. imaginem. τὴν φιλαοιδόν. nam stridere solet radius. ἄνθεμα. ἀνάθεμα. donarium. ὥρης γάρ. ætatem iam ad senium appropinquantem superat libido. ἄρμενον. idoneum instrumentum. ἐν ὀρίθοις. lanificio. τὴν παιδός. Venerem tibi anteponens. φύλλων. à coronis per comessationes euulsorum. νοοπλήκτων. animum pungentis ac percutientis. ὠναξαγόρα. Anaxagoræ amatoris. ἀκρήβαις. adolescentibus. ἐπεσπάσατο. à me extorsit. ἄρμενα. conuenientia organa. πυρῆς. castigo θύρης aut πύλης. in uestibulo ianuæ fani tui. ἄνθος. florem. decus. ἐν θαλέαις. scribe θαλίαις. conuiuijs. δεκάτην οἴσω. Antiqui decimam partem bonorū suorum Herculi plerunque uouebant (quæ pars Herculana à Plauto dicitur) Sylla apud Romanis & Crassus ut opulentiores essent. Varinus. ἐδεκατεύοντο δέ φασι τὰ ἐκ τῶν πολεμίων ληφθέντα. οἱ δὲ, ἔθος ἦν φασὶν ἑλληνικὸν, τὰς δεκάτας τῶν προσγινομένων, καθιεροῦν τοῖς θεοῖς. Pausanias. κλεωναῖοι τὸ δ' ἄγαλμα θεῶν δεκάτην ἀνέθηκαν πολλῶν ἐκ πολίων χερσὶ βιασάμενοι. ἀπὸ λήμματος. è quæstu meretricio. ὄργασίην. lucrū. ἀραχναίοιο. tenuis siue Arachnen Idmonis filiam, siue araneum bestiolam spectes. ἀβριτάτα. tertia. ἐριοχαρῆ. lana gaudentem. δηναιόν. longæuum. τῆ παφίη στεφάνους. coronam ex oleastro qua sponsus sponsaque nuptiarum die coronabantur. Sabinus quidam θύρβον τὸ στέμμα τῶν γάμων ἔφη λέγουσι. Aristophanis enarrator. σίσυμα δὲ καὶ μήκωνα καὶ σισύμβρια φύλλα οἷς στεφανοῦνται οἱ νυμφίοι. Dioscorides. Sisymbrium sunt qui Serpyllum qui coronam Veneris qui herbam Veneream appellant. ἀρτέμιδι ζώνην. Suidas in uerbo. λυσίζωνος. αἱ γὰρ παρθένοι μέλλουσαι πρὸς μίξιν ἔρχεσθαι ἀνετίθεσαν τὰς παρθενικὰς αὐτῶν ζώνας τῇ ἀρτέμιδι. Apollonij scholia. λύουσι γὰρ τὰς ζώνας αἱ πρώτως τίκτουσαι καὶ ἀνατιθέασιν ἀρτέμιδι. ὅθεν καὶ λυσιζώνης ἀρτέμιδος ἱερὸν ἐν ἀθήναις. Theocritus. ἔνθα γὰρ εἰλάθυαν ἐβώσατο λυσίζωνον. Phurnutus in Artemi-

Artemide. ἣν εὔχονται ἐλθεῖν αὐταῖς ἠπίαν καὶ λυσίζωνον αἱ ὠδίνουσαι, λύουσαν τὸ ἐσφιγμένον τῶν κόλπων, καὶ ἀφροντιστότερον ποιοῦσαν ποιεῖν τὸ κυισκόμενον. ἥβην σώφρονα. hoc Palladi debuit, alia alijs deabus. παμφίλιον. Pamphilium mulier. ἴσαδε θήκατο σὺν πλοκάμους. Lucianus in commentario περὶ συρίης θεοῦ ad finem. quam eandem cum Syria dea existimauit Palladas atque alij complures. θεῷ. Apollini Delphico. κροῖσος. Herodotus in Clio. καθ' ὅμηρον. Iliad. 6. τὴν δὲ ἴδε προμολοῦσα χάρις λιπαροκρήδεμνος καλή. χάρις. altera Vulcani uxor. Lucianus. ἡ χάρις μὲν αὐτοῦ ἐν τῇ λήμνῳ συνῆσιν. ἡ δ' ἀφροδίτη ἐν τῷ οὐρανῷ. κερκίδα ἀλκυόνα. Radium Halcyonem. id est modulate canentem & stridentem. παλλάδος. textoriæ artis. ὄρθριον φωνᾷ. antelucana. At Athenæus. ἡ δὲ τῶν ἰσουργούντων ὠδὴ ἔλινος, ἡ δὲ ταλασιουργῶν ἴουλος. καρηβαρέοντα. ob frequentem conuolutionem. πολυρροίβητον. sibilantem. ἀρπεδόνας. fili laquei. καλαθίσκον. Archias. εἰροχαρῆ τάλαρον. ἐλύτας. lanæ. εἰροκόμων. ἐργοπόνων, ἐριεργῶν. κούρα δεσπότιδι. Mineruæ uirgini. ἴδον ἀράχνα. quam in araneam transformauit Minerua. Ouidius Metamorph. 6. ἠλακάταν, colum. ἀηδόνα. ante παλλάδος ἀλκυόνα appellauit. θυηκείους. repone θυηκείους. secretos. δίχα παντὸς ὀνείδους. parce & caste. κάλμακας. tibicines. δακτυλότριπτον. digitis cōtusum & attritū. σφονδυλοδινήτῳ. quod e ceruice, id est superiore fusi parte uersatur. ὀδόντων. lana pectine textorio purgata. κόρη παλλαντιάς. Minerua, a Pallante patre, quem, ne ab eo uitiaretur, occidisse fertur, uel quod apud Pallantem Lycaonis filium educata sit, aut a Tritone palude Pallantiade Callimacho. τὰ θίζας. fimbriæ. παλαιστάς. palmi. οὔλας pro ὅλας. μαίανδρον. flexuosum lumbum. Mæandrum. παρθενικάς. uirgines. πρὸς ψυχῆς θεῖναι. læto animo suscipe. τριπόνητον ἔριν. opus a tribus mulieribus magna contentione elaboratum. κάμε. fecit. κόσμον. concinnum opus. ποταμοῦ. Mæandri. uide Nonium Marcellum in uocabulo Mæander. & Virgilij Aeneid. 5. interpretes. Ibi uictori Chlamydem auratam quam plurima circum purpura Mæandro duplici Melibœa cucurrit. δεξιτερῶν νασμῶν. Mæandri, nam a sinistra parte acu pinxerat Antianira. λάκωνα τὰ πέπλα. an modici precij indumenta, qualia Laconum fuisse ostendit Aristoteles lib. ἠθικῶν νικομαχ. δ. an uestes Laconica purpura tinctæ. Pausanias. κόχλους δὲ ἐς βαφὴν πορφύρας παρέχεται τὰ ἐπιθαλάσσια τῆς λακωνικῆς ἐπιτηδειοτάτας μετά γε τῆς φοινίκων θάλασσαν. & Plin. lib. 9. cap. 36. an tunicæ quarum pinnæ nō sunt consutæ sed explicatæ. erant enim Spartanæ φαινομηρίδες. Plutarchus. ἡ δὲ τοῦ λυκούργου παντάπασιν ἀναπεπταμένη καὶ θῆλυς οὐδὲ τοῖς ποιηταῖς λόγον παρέσχηκε. φαινομηρίδας τε γὰρ αὐτὰς ἐπικαλοῦσι, ὡς ἴβυκος. Euripides in Andromacha. οὐδ' ἂν εἰ βούλοιτό τις σώφρων γένοιτο σπαρτιατίδων κόρη, αἳ ξὺν νέοισιν ἐξερημοῦσαι δόμους, γυμνοῖσι μηροῖς, καὶ πέπλοις ἀνειμένοις &c. σχιστοὶ χιτῶνες appellantur. & δωριάζειν τὰς γυμνὰς φαίνεσθαι γυναῖκας significat. καὶ λήρων. Hesychius. λῆροι τὰ περὶ τοῖς γυναικείοις χιτῶσι κεχρυσωμένα. οἱ χρύσεοι κάλαμοι. ex arundinibus contexti calathi. rectius fortasse θάλαμοι. κάλαθοι. aut θάλαροι. πάνθ' ἅμα. hæc simul omnia obligurriuit Niconoe. τὰ καλλιστεῖα. καλλιστεῖα certamen erat Lesbi de formæ muliebris præstantia ut docet Homeri glossographus, fuisse & alibi indicat Athenæus 13. dipnos. accipiū pro præmijs uirtutis. πριάπῳ (nō Paridi) omnibus Niconoen meretricibus anteponenti. νεβρίδα. quā Bacchæ induūt.

## ΕΡΩΤΙΚΩΝ.

Ἀγαθίου σχολαστικοῦ.

Δαφνιακῶν βίβλων ἀγαθίου ἐννέα εἰμί.
ἀλλά μ' ὁ τεκτήνας, ἄνθεο σοὶ παφίη.

οὐ γὰρ Πιερίδεσσι τόσον μέλω, ὅσσον ἔρωτι,
ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.
αἰτεῖ δ' ἀντὶ πόνων, ἵνα οἱ διὰ σεῖο παρείη,
ἢ τινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

Τοῦ αὐτοῦ.

Ἀνθετό σοι κρωβύλην, καὶ νεβρείδας ἡμέτερος Γαῦ
εὔϊε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.
ἐχὼ γὰρ φιλέει, καὶ πλάζεται. ἀλλὰ σὺ Βάκχε,
ἵλαθι τὴν ξυνὴν ἀμφιέποντι τέχνην.

Ἀντιφάνους.

Αὐτή σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαστῶν
Ἰνὼ λυσαμένη, κεστὸν ἔδωκεν ἔχειν,
ὥς κεν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς
ἀνέρας. ἐχρήσω δ' εἰς ἐμὲ πᾶσι μόνον.

Ἀδήλου.

Φρύνη τὸν πτερόεντα, τὸν εὐτέχνητον ἔρωτα,
μισθὸν ὑπὲρ τέκνων ἄνθετο Θεσπιάσι.
Κύπριδος ἡ τέχνη, ζηλούμενον, οὐκ ἐπιμεμφὲς
δῶρον, ὧν ἀμφοτέρους δ' ἔπρεπε μισθὸς, ἔρως.
δοιῆς ἐκ τέχνης αἰνέω βροτὸν, ὅς γε καὶ ἄλλοις
δοὺς, θεὸν ἐν σπλάγχνοις εἶχε τελειότερον.

Δαφνιακῶν βίβλων. Suidas in uoce ἀγαθίας. & ipse Agathias lib. de bello Gothorum 1. Et poeticæ artis suauitate delectabar, atq; adeo, ut in exametro breuia poemata quædam ediderim, quæ Daphnica nuncupantur, amatorijs fabulis uariata nõnullis, & eiusmodi plena deceptiunculis. πιερίδεσσι. musis, literarũ studijs. αἰτεῖ. postulat. διὰ σεῖο. per te, παρείη. eueniat. καλλείψας. καταλείψας. ἐκ παφίας. ob Venerem. ξυνὴν τέχνην. amãdi. αὐτή σοι. ὁ Ino. ipsa Venus. πᾶσι φίλτροις. ὑπὲρ τέκνων. amorũ Phrynes erga Praxitelẽ preciũ quos ab ipso amore deo ortos uult poeta, si quis pro liberorũ salute interpretatũ historiã proferat. ἡ τέχνη. hic marmoreus cupido. ὧν ἀμφοτέρους. ἀμφοτέροις. Phrynę & Praxiteli. βροτὸν Praxitelem. ἐν ἄλλοις. Phrynæ.

ΕΥΧΩΝ. Φιλίππου.

Ζηνὸς, καὶ Λητοῦς θηροσκόπε τοξότι κούρη
Ἄρτεμι, ἣ θαλάμους τοὺς ὀρέων ἔλαχες,
νοῦσον τὴν στυγερὴν αὐτῆμαρ ἐκ Βασιλῆος
ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων.
σοὶ γὰρ ὑπὲρ βωμῶν, ἀτμὸν λιβάνοιο Φίλιππος
ῥέξει καλλιθύτην ταῦρον ὀροιονόμον.

Διοδώρου.

Ἥτε Σάμου μεδέουσα, καὶ ἣ λάχες Ἴμβρασον Ἥρη,
δέξο γενεθλιδίους πότνια θυηπολίας.
μόσχων ἱερὰ ταῦτα, τὰ σοὶ πολὺ φίλτατα πάντων
ἴσμεν, ὅσοι μακάρων θεσμὸν ἐπιστάμεθα.
εὔχετ' ἀπισπένδων τάδε Μάξιμος, ἦ δ' ἐπινεῦσαι
ἔμπεδα μοιράων δ' οὐκ ἐπέγραψε λίνα.

Ἀντιπάτρου.

Λαμπάδα κηροχίτωνα, κρόνου τυφήρεα λύχνον,
σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ,
ἀντίπατρος πείσωνι φέρει γέρας. ἢν δέ μ' ἀνάψας
εὔξηται, λάμψω φέγγος ἀκρουσόθετον.

τῶν ὀρέων. Callimachus εἰς ἄρτεμιν. δὸς δέ μοι οὔρεα πάντα. νόθον. νόθον. ἐκ βασιλῆος. procul à Philippo rege. σάμιον μεδέουσα. Iuno. Virgil. post habita coluisse Samo genitali solo ubi adoleuit (unde Samos Parthenia) Iouiq́ nupsit, apud Homerū Iliad. δ. maxime gratæ Iunoni urbes sunt, ἄργος τε σπάρτη τε, καὶ εὐρυάγυια μυκήνη. καὶ ἣ λάχεν ἴμβρασον. Sami flumē. Samū ipsam. Stephano ἰάμβρασον typographorū incuria. nam Strabo, Plinius & geographi Imbrasum uno ore nominant. Apollonij scholiastes. ἴμβρασος γὰρ ποταμὸς ἐν σάμῳ. σάμιοι δὲ αὐτόθι τεθηλῶσαν νομίζουσιν ἐν τῇ νήσῳ τὴν θεὸν παρὰ τῷ ἰμβράσῳ ποταμῷ. Eadē Pausanias. Nicādri in Alexiphar. cōmentarij Imbrū uocant. ἴμβρος γὰρ ποταμὸς ἐν σάμῳ. Hallucinatur Ioannes Chronicus. ὁ ἐν σάμῳ τεθήνιος ὁ ἴμβρος καλεῖται. ἴμβρασος γὰρ ἀπὸ κηρῶν ὁ ἑρμῆς καλεῖται. γενεθλιδίους. die meo natali. μοιράων. siquidē è uita discessit. κρόνου λύχνον. Saturnalibus facem hāc dono Pisoni dedit Antipater. cur Saturnalibus Romæ mitterentur Cerei, monstrat lib. Saturnal. 1. cap. 7. Macrobius. τυφήρεα. fumigantem. ἀκρουσόθετον. τὸ εἰς θεὸν ἀκροὰς ἐρχόμενον.

ΘΗΡΩΝ. Ἀντιπάτρου.

Ἐκ ποτέ τις φρυγίοιο θεῆς σεσοβημένος οἴστρῳ,
ῥόμβησεν δονέων λυσσομανεῖς πλοκάμους,
θηλυχίτων, ἀσκητὸς εὐσπείροισι κορύμβοις,
ἁβρῶν τε στρεπτῶν ἅμματι κεκρυφάλων,
ἴδρις ἀνήρ, κοιλῶπιν ὀρειάδα δύσατο πέτρην,
ζωὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι.
τῷ δέ κεν ἀρρίγητος ἐπέσθορε ταυροφόνος θήρ,
ἐς τὸν ἑὸν προμολὼν φωλεὸν ἑσπέριος.
ἀθρήσας δ' ἐς φῶτα, καὶ ἀντρήεσσιν ἀϋτμὰν
μυκτῆρσι βροτέας σαρκὸς ἐρυσσάμενος,
ἔστα μὲν βλοσυροῖσιν ἐπ' ἴχνεσιν. ὄμμα δ' ἑλίξας,
βρυχᾶτο σφεδανῶν ὄβριμον ἐκ γενύων.
ἀμφὶ δέ οἱ σμαραγεῖ μὲν ἐναυλιστήριον ἄντρον,
ἄχει δ' ὑλαίας ἀγχινεφὴς σκόπελος.
αὐτὰρ ὁ, θαμβήσας φθόγγον βαρύν, ἐν μὲν ἅπαντα
ἐν στέρνοις ἐάγη θυμὸν ὀρινόμενον.
ἀλλ' ἔμπας, βρίμυκον ἀπὸ στομάτων ὀλολυγὰν
ἧκεν. ἐδίνησεν δ' εὐστροφάλιγγα κόμαν.
χειρὶ δ' ἀναρπάμενος μέγα τύμπανον, ἐπλατάγησεν,
δινωτὸν ῥείας ὅπλον ὀλυμπιάδος,
τὸ ζωῆς ἐπαρωγόν. ἀήθεα γὰρ τότε βύρσης
ταυρείου κενεὸν δοῦπον ἔδεισε λέων.
ἐκ δὲ φυγὼν, ὤρουσεν. ἴδ' ὡς ἐδίδαξεν ἀνάγκη
πάνσοφος, ἐξευρεῖν ἔκλυσιν ἀΐδεω.

Εἰς τὸ αὐτό.

Πυρσοῦ ὑπὲρ λέοντος ἀπεφλοιώσατο δέρμα
Σῶσος, ὁ βυπαλίων δουρὶ φονευσάμενος.

αὐτίκα κατὰ βρύχοντα τὸν
οὐδ' ἵκετ' ἐκ μάνδρας αὖτις ἐπὶ ξυλόχους.
μοχλεῖον δ' ἀπέπτυσεν ὁ θὴρ αὐθ' αἵματος ἅμα,
βληθεὶς, ἀχθεινὰν δ' ἦχε βοοκτασίαν.

Γαίκου.

Παῖδα πατὴρ Ἄλκων ὀλοῷ σφιγχθέντα δράκοντι
ἀθρήσας, δειλῇ τόξον ἔκαμψε χερί.
θηρὸς δ' οὐκ ἀφάμαρτε. διὰ στόματος γὰρ ὀϊστὸς
ἤιξεν, τυτθοῦ βαιὸν ὕπερθε βρέφους.
παυσάμενος δὲ φόνοιο, παρὰ δρυῒ τῇδε φαρέτρην
σῆμα καὶ εὐτυχίης θῆκε, καὶ εὐστοχίης.

φρικτοῖο θεῆς. Cybelles, cuius Galli furore corripiuntur. tametsi Hecate διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν βρέμω nominetur. δινέων. rotans. uersans. θηλυχίτων. muliebri ueste ornatus. ζωός. non Rheæ. ἀρρίγητος. minime frigens. θήρ. leo. φωλεόν. speleum in quo delitebat Gallus. μυκτῆρσι. naribus carnem humanam olfaciens. ὅβριμον. toto nisu. ἐκ γνάθων. è gula. σμαραγεῖ. circũ resonat. φωλεὸν λιθοειδές... in quo inhabitabat leo. ἔαξε θυμόν. fregit & despondit animum. ῥινὸς ὅπλον. tympanum. ὀλυμπιάδος. Ab Olympo Phrygiæ monte aut Lydiæ. an cælestis, καὶ οὐρανίας. βύρσης ταυρείου. tympani. ἔδεισε. timuit. ἀίδεω. mortis. ἐπεφλοιάζετο. deglupsit. βουπαλίων. pastor. ὁ θήρ. leo. ἀχθεινών. quippe qui cæsus est. παῖδα. Phalereum. Apollonius Argonaut. α. δὶμελιης τε φάληρος, ἄλκων μιν προέηκε πατὴρ ἑός. uide scholia. cui Athenienses postea aram erexerũt, ut tradit Pausanias. ἄλκων. Cretẽsis sagittarius. Valerius Flaccus. primo Argonaũ. insequeris casusq́ tuos expressa Phalere arma geris, uacua nam lapsus ab arbore paruũ ter quater ardenti tergo circumuenit anguis. stat procul intendens dubiũ pater anxius arcum. Sidonius Apollinaris. Alconem spicula nosse. δειλῇ χερί. ne filium trãsfodiat timente. ἤιξεν. ἦλθε.

ΙΣΟΨΗΦΑ.

Λεωνίδου ἀλεξανδρέως πάντα.

Θύει σοι τόδε γράμμα γενεθλιακαῖσιν ἐν ὥραις
Καῖσαρ, νειλαίη μοῦσα Λεωνίδεω.
καλλιόπης γὰρ ἄκαπνον ἀεὶ θύος. εἰς δὲ νέωτα
ἢν ἐθέλῃς, θύσει τοῦδε περισσότερα.

Τὴν δὲ Λεωνίδεω θάλλειν πάλι δέρκεο μοῦσαν,
δίστιχον, εὐθίκτου παίγνιον εὐεπίης.
ἔσται δ' ἐν κρονίοις Μάρκῳ περικαλλὲς ἄθυρμα
τοῦτο, καὶ ἐν δείπνοις, καὶ παρὰ μουσοπόλοις

Οἰδιπόδης, κάσις ἦν τεκέων, καὶ μητέρι πόσις
γίγνετο, καὶ παλάμαις ἦν τυφλὸς ἐκ σφετέρης.

Γέμματα τίς λιπόωντα; τίς ἄρεα τῷ πτολιπόρθῳ
βότρυς; τίς δὲ ῥόδων θῆκεν ἐμοὶ κάλυκας;
νύμφαις ταῦτα φέροι τίς. ἀναιμάκτους δὲ θυηλὰς
οὐ δέχομαι βωμοῖς ὁ θρασύμητις Ἄρης.

ΑΜΦ·

Ἄλλος ἀπὸ σαλίκων, ὁ δ' ἀπ' ἠέρος, ὃς δ' ἀπὸ πόντου
 Εὔπολι, σοὶ πέμπει δῶρα γενεθλίδια.
ἀλλ' ἐμέθεν δέξαι μουσῶν στίχον. ὅς τις ἀιεὶ,
 μίμνει καὶ φιλίης σῆμα, καὶ εὐμαθίης.

Λύκτιον ἰοδόκην, καὶ καμπύλον ἄρτεμα τόξον,
 Νῖκις ὁ Λυσιμάχου παῖς ἀνέθηκε Λίβυς,
ἰοὺς γὰρ πλήθοντας ἀεὶ λαγόνεσσι φαρέτρης,
 δορκάσι, καὶ βαλίαις ἐξεκένωσ' ἐλάφοις.

Εἷς πρὸς ἕνα ψήφοισιν ἰσάζεται, οὐ δύο δοιοῖς,
 οὐ γὰρ ἔτι στέργω τὴν δολιχογραφίην.

Τὴν τριτάτην χαρίτων ἀπ' ἐμεῦ πάλι λάμβανε βίβλον
 Καῖσαρ, ἰσηρίθμου σύμβολον εὐεπίης,
νεῖλος ὅπως καὶ τήνδε δι' Ἑλλάδος ἰθύνουσαν,
 τῇ χθονίῃ πέμψῃ δῶρον ἀοιδοτόκον.

Ἄλλος μὲν κρύσταλλον, ὁ δ' ἄργυρον, ὃς δὲ, τοπάζους
 πέμψουσι, πλούτου δῶρα γενεθλίδια.
ἀλλ' ἰδ' ἀγριππίνῃ δύο δίστιχα μουσῶν ἰσώσας,
 ἀρκοῦμαι δώροις, ἃ φθόνος οὐ δαμάσει.

νειλαίη μοῦσα. Alexandrinus Leonidas. καλλιόπης. poetarum. ἀκάπνου. cui nulla uictima immolatur. παίγνιον. παίγνιον genus est ludicri poematis quale Mnaseas Locrus uel Salpe Lesbia scripserunt & puerile delectamẽtum. ἰσόψηφα autem dicuntur epigrammata quæ totidem constant uersibus, ut hęc quaternis. ἐν κρονίοις. in saturnalibus. οἰδιπόδης. hoc distichũ ad antistrephonta pertinet. λιπόωντα. pinguia. νύμφαις τοῦτο φέροι τις. quibus terminoq; nihil animatum sacrificari mos fuit, sed libo farina ac fruge & mola salsa litabat antiquitas. Pausanias. μόναις δὲ ταῖς νύμφαις, οὐ νομίζουσιν οἶνον, οὐδὲ ταῖς δεσποίναις σπένδειν, οὐδ' ἐπὶ τῷ βωμῷ τῷ κοινῷ πάντων θεῶν. Sophoclis commentator. νηφάλια μὲν ἱερὰ θύουσι, μνημοσύνῃ, μούσαις, ἠοῖ, ἡλίῳ, σελήνῃ, νύμφαις, ἀφροδίτῃ οὐρανίᾳ. unde Silentiarius. νηφάλια σπένδω κύπριδι μειλίχια. Plautus. Cererine mi Strobile hi sunt facturi nuptias? qui? quia nihil temeti allatũ intelligo. Prisci herbis aut fructibus manu exceptis pro holocausto deos supplicarunt. quo exemplo Pythagoras nil animatum dijs immolandum censuit. Laertius. σφαγιάζειν θεοῖς προσφέρειν κωλύειν, μόνον δὲ τὸν ἀναίμακτον βωμὸν προσκυνεῖν. sunt aromata, quoniam in aris ad suffitus incẽdebantur thymiamata etiam dicta, nil aliud quam ut Thucydides, inquit ἁγνὰ θύματα, quæ nullo sanguine aram cruentabant. pete Suidam in uoce νηφάλιος θυσία. ἀπὸ σαλίκων. Ceruos, Apros, Damas. ἀπ' ἠέρος. aues. ἀπὸ πόντου. pisces. δῶρα γενεθλίδια. tuo natali die. res est ex Martiale perspicua. λύκτιον. Cretensem. Lyctos Cretæ est oppidum. λαγόνεσσι φαρέτρης. Pharetræ uterum implentes. δορκάσι. in transfigendis capreis & ceruis. εἷς πρὸς ἕνα. distichum. ψήφοισιν. albis aut nigris calculis. οὐ δύο δοιοῖς. non tetrastichum. ἰσηρίθμου. distichorum opusculum intelligit. νεῖλος ὅπως. Leonidas Alexandrinus. τήνδε. βίβλον. τῇ χθονίῃ. Agrippinæ Cæsaris orbis terrarum domini, uxori. κρύσταλλον. uasa Crystallina atque argentea. τοπάζους. Topazios. ἰδὲ. en ecce.

## ΚΑΡΚΙΝΟΙ ΣΤΙΧΟΙ ΕΜΜΕΤΡΟΙ.

Κατὰ ἀναποδισμόν.

Ἀθλήσας ἤδη πόλλ' ὡς ἀθλήσας ἦλθα.
ἀμήσας ἄρδην, ὀροφηφόρον ἤδρασα σῆμα.
ἀλύξας ὥρην ἰωμωμένην, ἥρωας ξύλα.

Εἰς Διομήδους τάφον.

Ἤδη μοι Διὸς ἄρα πηγὴ παρὰ σοὶ Διομήδη.
Νοσῶ σὺ δ᾽ ἐς ἕ ἴαμα ἰησοῦ, σῶσον.
Νῷ ἐλατὰ, μὴ θνητὰ, σοφὸς ἄτῃ, νοήματα λέων
Ἰδρὰ σὰ παρὰ χείλη ἤλιε, χαρὰ πᾶσα ῥεῖ.
Νίφον ἀνομήματα, μὴ μόναν ὄψιν.
Νόμον ὁ κοινὸς ἔχε σὸν οἰκονόμον.
Σοφὸς ἔγωγε ἤδη ὢν ἄνω, χαρὰ τῶν ἄνω. γελῶ τὰ
κάτω, λέγων αὖ ὦ ταραχῶν ἄνω, ἤδη ἔγωγε σοφός.

ἀθλήσας ἤδη. ex his uersibus ac sequẽtibus εἰς Διομήδους τάφον, nõ tolerabilio rem excerpi sensum puto quam ex uulgo notis carcinis ac retrogradis Latinis uersibus à cacodæmone ut blaterant cõpositis. Signa te signa temere me tangis & angis Roma tibi subito motibus ibit amor.

## ΑΠΟ ΚΗΠΩΡΩΝ.

Σκάπτειραν κήποιο φιλυδρήλοιο δίκελλαν,
καὶ δρεπάνην καυλῶν ἄσκυλον ἐκτομίδα,
τήν τ' ἐπινωτίδιον βροχετῶν ῥακόεσσαν ἀρωγόν,
καὶ τὰς ἀρρήκτους ἐμβάδας ὠμοβοεῖς,
τόν τε δι' εὐτρήτοιο πέδου δύνοντα κατ' ἰθὺ,
ἀρτιφυοῦς κράμβης πάσσαλον ἐμβολέα,
καὶ σκάφος ἐξ ὀχετῶν πρασιὴν διψῶσαν ἐγείρειν
αὐχμηροῖο θέρευς οὔποτε παυσάμενον,
σοὶ τῷ κηπωρῷ Ποτάμων ἀνέθηκε Πρίηπε,
κτησάμενος ταύτης ὄλβον ἀπ' ἐργασίης.

Ζωνᾶ.

Ἀρτιχανῆ ῥοιάν τε, καὶ ἀρτίχνουν τόδε μῆλον,
καὶ ῥυτιδόφλοιον σῦκον ἐπομφάλιον,
πορφύρεόν τε βότρυν μεθυπίδακα πυκνόρωγον,
καὶ κάρυον λεπτῆς ἀρτίδρυφον λεπίδος,
ἀγροιώτῃ τῷδε μονοστόρθυγγι Πριήπῳ,
θῆκεν ὁ καρποφύλαξ δενδριακὴν θυσίην.

Ἀδέσποτον.

Ἀλκιμένης ὁ πενιχρὸς ἐν σμικρῷ τινι κήπῳ,
τῷ φιλοκαρποφόρου γευσάμενος θέρεος.
ἰσχάδα, καὶ μῆλον, καὶ ὕδωρ, γῦρα Πανὶ κομίζω,
ὅττι σύ μοι βιότου τῶν ἀγαθῶν ταμίας.
ὧν τὰ μὲν, ἐκ κήποιο. τὰ δ' ὑμετέρης ἀπὸ πέτρης
δέξο. καὶ ἀντιδίδου, δὸς πλέον ὧν ἔλαβον.

Φιλίππου.

Ῥοιὴν ξανθοχίτωνα, γραιόφλοιά τε σῦκα,
καὶ ῥοδέας σταφυλῆς ὠμὸν ἀπανθόδιον,
μῆλόν θ' ἡδύπνουν λεπτῇ πεποκωμένον ἄχνῃ,
καὶ κάρυα χλωρῶν ἐκφανὲς ἐκ λεπίδων,

καὶ

καὶ σύκιον χλοάοντα τὸν ἐν φύλλοις πεδοκοίταν,
καὶ πέρκαν ἤδη χρυσοχροῦν ἐλάαν,
σοὶ Φιλοδῖτα Πρίηπε, φυτοσκάφος ἄνθετο Λάμων,
δένδρεσι, καὶ γυίοις εὐξάμενος θαλέθειν.

σκάπτειραν δίκελλαν. Lucianus. σκάπτε τῇ δικέλλᾳ. ἐκθυμίδα. exectricem. ἀσκύλον. scribe ἀγκύλον. curuam. ἐπινωτίδιον. humeris impositam. ῥακόεσσαν. uilem & detritam. βροχετῶν. βρόχων. ἀρωγόν. conseruatricem peram. ἐμβάδας. calceos. πέδων. soli. κατ' ἰθύ. recta non oblique. πάσσαλον. paxillum terræ infigunt olitores ac foramini herbarũ radices inserunt. σκάφος. quo hortus irrigatur. πρασιῶν ἐγέρσιν. ad suscitandos puluinorum toros, aut sulcorum tramites. ἀρτιχανῆ. nunc hiantem, maturam. ἀρτίχνουν. lanuginem habens. ῥυσιδοφλοιον. rugoso cortice. ἐπομφάλιον. rotundum. μεθυπίδακα. uinum stillantem. πυκνόρραγον. densum. λεπίδος. λεπίσματος. ἀντίδερον. τὸ τοῦ δέρματος δέρμα, λέπος. est enim superior siliqua tenuis si cum ligneo cortice conferatur. μονοστόρθυγγι. solitario ueretro. σόρθυγξ. hastæ cuspidem, capillum cum sordibus implicitum, & porcum apud Lycophronem significat. σόρθυγξ ὀδοντωτὸς τὸν κτανόντ' ἠμύνατο. ἰσχάδα. φήληξ, ὄλυνθος, σῦκον, καὶ ἰσχὰς διαφέρουσι. φήληξ γὰρ τὸ ἄγριον σῦκον λέγεται, ὄλυνθος, τὸ ἥμερον μὲν, ἄωρον δέ. σῦκον, τὸ ὥριμον. ἰσχὰς δὲ, τὸ ξηρανθέν. Hæc grammatici. ταμίας. dispensator. ἀπὸ πέτρης. ὕδωρ. ὧν ἔλαβον. à me. γεραιόφλοια. senili cortice, matura. ἐϋπαίδιον. ἀπότμημα. palmitem cum racemis. πεποκωμένον ἄχνῃ. tenui illa lanugine quasi lana conuestitum. ἐκ λεπίδων. è siliqua. πεδοκοίταν. substratis folijs humi iacentem, καὶ πέρκαν, scribo πέρκνην. nigram. καὶ γυίοις. membris ualere.

## ΑΠΟ ΚΥΝΗΓΩΝ.

Σατυρίου εἰς τρεῖς ἀδελφούς.

Θηροβότης δολιχὸν τόδε δίκτυον ἄνθετο Δᾶμις,
Πίγρης δ' ὀρνίθων λεπτόμιτον νεφέλην.
τριγλοφόρους δὲ χιτῶνας, ὁ νυκτοβάτης θέτο Κλείτωρ
τῷ Πανὶ, τρισσῶν ἐργασίην καμάτων.
ἵλαος εὐσεβέεσσιν ἀδελφειοῖς ἐπίνευσον
πτηνὰ, καὶ ἀγροτέρων κέρδεα, καὶ νεπόδων.

Εἰς τὸ αὐτὸ Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.

Γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θήρης
δέχνυσο Πάν. Πίγρης σοὶ γὰρ ἀπὸ πτερύγων
ταῦτα φέρει, θηρῶν Δᾶμις, Κλείτωρ δὲ θαλάσσης,
καί σφε δὸς εὐαγρεῖν, ἠέρα, γαῖαν, ὕδωρ.

Λεωνίδου εἰς τὸ αὐτό.

Οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι
ἀγρότα Πάν, ἄλλης ἄλλος ἀπ' ἀγρεσίης.
ὧν ἀπὸ μὲν πτηνῶν, Πίγρης τάδε, ταῦτα δὲ, Δᾶμις
τετραπόδων, Κλείτωρ δ' ὁ τρίτος, εἰναλίων.
ἀνθ' ὧν τῷ μὲν, πέμπε δι' ἠέρος εὔστοχον ἄγρην,
τῷ δὲ, διὰ δρυμῶν. τῷ δὲ, δι' ἠϊόνων.

Εἰς τὸ αὐτὸ Ἀντιπάτρου Σιδωνίου.

Πανὶ τάδ' αὔθαιμοι τρισσοὶ θέσαν ἄρμενα τέχνας,
Δᾶμις μὲν, θηρῶν ἄρκυν ὀρειονόμων.

κλείτωρ δὲ πλωτῶν τάδε δίκτυα. τῶν δὲ πετεινῶν
ἄῤῥηκτον Πίγρης τήνδε δεραιοπέδην.
τὸν μὲν γὰρ, ξυλόχων, τὸν δ' ἠέρος. ὃν δ' ἀπὸ λίμνης,
οὔποτε σὺν κενεοῖς οἶκος ἔδεκτο λίνοις.

Εἰς τὸ αὐτὸ Ζωσίμου.

Εἰναλίων Κλείτωρ τάδε δίκτυα, τετραπόδων δὲ,
Δᾶμις, καὶ Πίγρης, θῆκεν ὑπ' ἠερίων
Πανὶ, κασιγνήτων ἱερὴ τριάς. ἀλλὰ σὺ θήρην
ἠερίην, πόντῳ, κὴν χθονὶ τοῖσδε νέμε.

Εἰς τὸ αὐτὸ Ἀρχίου.

Σοὶ τάδε Πὰν σκοπιῆτα, πανναίολα δῶρα συναίμων
τρίζυγοι, ἐκ τρισσῆς θέντο λινοστασίης.
δίκτυα μὲν Δᾶμις, θηρῶν. Πίγρης δὲ, πετεινῶν
λαιμοπέδας. Κλείτωρ δ' εἰναλίφοιτα λίνα.
ὧν τὸν μὲν, καὶ αὖθις ἐν ἠέρι, τὸν δ' ἔτι θείης
εὔστοχον ἐν πόντῳ. τὸν δὲ, κατὰ δρυόχους.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ἀγραύλῳ τάδε Πανὶ βιαρκέος ἄλλος ἀπ' ἄλλης
αὔθαιμοι τρισσοὶ δῶρα λινοστασίης.
Πίγρης μὲν, δειραχθὲς εὔβροχον ἅμμα πετεινῶν.
Δᾶμις δ' ὑλονόμων δίκτυα τετραπόδων,
ἄρκυν δ' εἰναλίων Κλείτωρ πόρεν. οἷς σὺ δι' αἴθρης,
καὶ γᾶς, καὶ πελάγευς, εὔστοχα πέμπε λίνα.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Ταῦτά σοι ἐκ τ' ὀρέων, ἔκ τ' αἰθέρος, ἔκ τε θαλάσσης
τρεῖς γνωτοὶ, τέχνης σύμβολα Πὰν, ἔθεσαν.
ταῦτα μὲν εἰναλίων Κλείτωρ λίνα. κεῖνα δὲ, Πίγρης
οἰωνῶν. Δᾶμις τὰ τρίτα τετραπόδων.
οἷς ἅμα χερσαίησιν, ἅμ' ἠερίησιν ἐν ἄγραις
ἀγρεῦ, ἅμ' ἐν πλωτοῖς, ὡς πρὶν ἀρωγὸς ἴθι.

Εἰς τὸ αὐτὸ τοῦ αὐτοῦ.

Τρίζυγες οὐρεσίοικοι κασίγνητοι τάδε τέχνας,
ἄλλος ἀπ' ἀλλοίας σοὶ τάδε Πὰν, ἔθεσαν.
καὶ τὰ μὲν, ὀρνίθων Πίγρης. τὰ δὲ, δίκτυα θηρῶν
Δᾶμις. ὁ δὲ Κλείτωρ, εἰναλίων ἔπορεν.
τὸν, ὁ μὲν, ἐν ξυλόχοισιν. ὃ δ' ἠερίησιν ἐν ἄγραις
αἰέν. ὃ δ' ἐν πελάγει εὔστοχον ἄγρην ἔχοι.

Εἰς τὸ αὐτὸ Ἀλεξάνδρου.

Πίγρης ὀρνίθων ἄπο δίκτυα. Δᾶμις ὀρείων,
Κλείτωρ δ' ἐκ βυθίων, σοὶ τάδε Πὰν, ἔθεσαν,
ξυνὸν ἀδελφειοὶ θήρης γέρας. ἄλλος, ἀπ' ἄλλης
ἵδρυτα γαίης, ἵδρυτα καὶ πελάγευς.
ἀνθ' ὧν τῷ μὲν, ἅλος. τῷ δ' ἠέρος. ᾧ δ' ἀπὸ δρυμῶν,
πέμπε κράτος, ταύτην δαῖμον ἐπ' εὐσεβίην.

Εἰς

Εἰς τὸ αὐτὸ Ζωσίμου Θασίου.

Σοὶ τάδε Πὰν θηρευτὰ ἀνηρτήσαντο συναιμοι
δίκτυα, τριχθαδίης δῶρα κυνηγεσίης.
πίγρης μὲν, πτηνῶν. Κλείτωρ, ἁλός. ὃς δ' ἀπὸ χέρσου
Δᾶμις, τετραπόδων ἀγκύλος ἰχνελάτης.
ἀλλὰ σὺ κὴν δρυμοῖσι, καὶ εἰν ἁλὶ, καὶ διὰ μέσσης
ἠέρος, εὔαγρον τοῖσδε δίδου κάματον.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τρισσὰ τάδε τρισσοὶ θηραγρέται, ἄλλος ἀπ' ἄλλης
τέχνης, πὰρ νηῷ Πανὸς ἔθεντο λίνα.
πίγρης μὲν, πτηνοῖσιν ἐφεὶς βόλον. ἐν δ' ἁλίοισι,
Κλείτωρ. ἐν θηρσὶ, Δᾶμις ὀρειονόμοις.
τοὔνεκα Πὰν, τὸν μέν τι δι' αἰθέρος, ὃν δ' ἀπὸ λόχμης
τὸν δὲ, δι' αἰγιαλῶν θὲς πολυαγρότερον.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Εὐθὺ μὲν ἀγραύλων τόδε δίκτυον ἄνθετο θηρῶν
Δᾶμις, καὶ Πίγρης πτηνολέτιν νεφέλην.
ἁπλόταταν δ' ἁλὶ τὸν μιτόρραφες ἀμφίβληστρον
Κλείτωρ, ξυνθήρῳ Πανὶ προσευξάμενοι.
τοὔνεκα Πὰν, κρατερῷ πόρε Δάμιδι ληΐδα θηρῶν,
Πίγρῃ δ' οἰωνῶν, Κλείτορι δ' εἰναλίων.

Εἰς τὸ αὐτὸ Ἰουλιανοῦ Διοκλέους.

Δίκτυά σοι τάδε Πὰν, ἀνεθήκαμεν οἶκος ἀδελφῶν
οἱ τρεῖς, ἐξ ὀρέων, ἠέρος, ἐκ πελάγους.

δικτυβόλει, κύτῳ δ' ἄγκεσι θηροτόμοις.
τὸν τρίτον ἐν πτηνοῖσιν ἐπίβλεπε. σοὶ γὰρ ἀπ' αὐτῶν
δαῖμον ἔχεις ἡμέων δῶρα λινοστασίης.

Ἀλφειοῦ μιτυληναίου εἰς τὸ αὐτό.

Πανὶ κασιγνήτων ἱερὴ τριὰς, ἄλλος ἀπ' ἄλλης
ἄνθετ' ἀπ' οἰκείης σύμβολον ἐργασίης.
πίγρης, ὀρνίθων. ἁλίων ἀγρεῖα, Κλείτωρ.
ἔμπαλιν ἰθυτενῶν Δᾶμις ἀπὸ σταλίκων.
ἀνθ' ὧν εὐαγρίην, ᾧ μὲν, χθονὸς, ᾧ δὲ, διδοίης
ἐξ ἁλός. ᾧ δὲ, νέμοις ἠέρος ὠφελίην.

Λεωνίδου ταραντίνου.

Ο κρὴς Θηρίμαχος, τὰ λαγωβόλα Πανὶ Λυκαίῳ
ταῦτα πρὸς ἀρκαδικοῖς ἐκρέμασε σκοπέλοις.
ἀλλὰ σὺ Θηριμάχῳ δώρων χάριν ἀγρότα δαῖμον,
χεῖρα κατιθύνοις τοξότιν ἐν πολέμῳ.
ἔν τε συναγκείαισι παρίστασο δεξιτερῇσι,
πρῶτα διδοὺς ἄγρης δῶρα κατ' ἀντιπέλων.

Παύλου σιλεντιαρίου.

Σοὶ τόδε πεντταίχμοισι ποδῶν ὡπλισμένον ἀκμαῖς
ἀκροχανὲς φονίῃ κρατὶ συνεξερύσας,

ἄνθετο δέρμα λέοντος ὑπὲρ πίτυν αἰγιπόδῃ Πὰν
τεῦκρος ἄραψ, καὶ τὴν ἀγρότιν αἰγανέην.
αἰχμῆς δ' ἡμιβρῶτι τύποι μίμνουσιν ὀδόντων.
ἣ ἔπι βρυχητὴν θὴρ ἐκένωσε χόλον.
ὑδριάδες νύμφαι δὲ σὺν ὑλονόμοισι χορείην
στῆσαν, ἐπεὶ καὶ τὰς πολλάκις ἐξεφόβει.

Ζωνᾶ.

Τοῦτό σοι ὑλειῶτα κατ' ἀγκεῖδος πλατάνοιο
δέρμα, λυκορραῖστης ἐκρέμασεν,
καὶ τὰν ἐκ κοτίνοιο καλαύροπα. τάν, ποκα τῆνος
πολλάκι ῥομβητὰν ἐκ χερὸς ἠκροβόλει.
ἀλλὰ τὺ Πὰν βωῖτα, τὰ μὴ πολύολβά τε δέξαι
δῶρα, καὶ διαγρεῖν τῷδ' ἐπίνευσον ὄρει.

Ἀντιπάτρου.

Γηραλέον νεφέλας τρύχος τόδε, καὶ τριέλικτον
ἰχνοπέδαν, καὶ τὰς νευροτενεῖς πάγιδας,
κλωβούς τ' ἀμφιρρῶγας, ἀνασπαστούς δέ τε ῥάγχας
καὶ πυρὶ θηγαλέους ὀξυπαγεῖς στάλικας,
καὶ τὰν ἰξοφόρον δρυὸς ἰκμάδα, τόν τε πετεινῶν
ἀγρευτὰν ἰξῷ μυδαλέον δόνακα,
καὶ κρυφίου τρίκλωστον ἀπὸ σπαστῆρα βόλοιο,
ἀρχήν τε γλαυκῶν λαιμοπέδαν γεράνων,
σοὶ Πὰν ὦ σκοπιῆτα, γέρας θέτο παῖς Νεολάδα,
Κράμβις ὁ θηρευτὴς, ἀρκὰς ἀπ' ὀρχομενοῦ.

Λεωνίδα. οἱ δὲ, Μνασάλκου.

Τὰν ἔλαφον Κλεόλαος ὑπὸ κναμοῖσι λοχήσας,
ἔκτανε Μαιάνδρου πὰρ τριέλικτον ὕδωρ,
θηκτῷ δὲ σαυρωτῆρι. τὰ δ' ὀκτάρριζα μετώπων
φράγμαθ' ὑπὲρ κραναὰν ἄλλος ἔπαξε πίτυν.

Ἀντιπάτρου.

Τὰν ἔλαφον Λάδωνα, καὶ ἀμφ' Ἐρυμάνθιον ὕδωρ,
νῶτά τε θηρονόμου φορβομένην Φολόης,
παῖς ὁ Θεαρίδεω λασιώνιος εἷλε Λυκόρμας,
πλήξας ῥομβωτῷ δούρατος οὐριάχῳ.
δέρμα δὲ, καὶ δικέρατον ἀπὸ στόρθυγγα μετώπων
σπασσάμενος, κούρᾳ θῆκε παρ' ἀγροτίδι.

Σιμμίου.

Δέρμα, καὶ ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος
ἀμφιτρυωνιάδα κείμεθ' ἀνὰ πρόπυλον,
τεσσαρακαιδεκάδωρα. τὸν αὐχήεντα Φιλίππω
αὐτόμενον, κατὰ γᾶς ἤλασε δεινὸς ἄκων,
βούβοτον ὀρβηλοῖο παρὰ σφυρόν. ἁ πολύολβος
ἡμαθία, τοίῳ κραίνεται ἁγεμόνι.

Εἰς τὸ αὐτὸ Ἀντιπάτρου.

Τὸν πάρος ὀρβηλοῖο μεμυκότα δείρατι ταῦρον,
τὸν πρὶν ἐρημοτὰν θῆρα μακηδονίας,

Δαρδανίων ὀλετῆρ', ὁ Μακηδόνιος τέλε Φίλιππος,
πλήξας αἰγανέᾳ βρέγμα κυναγέτιδι.
καὶ τάδε σοι βριαρᾶς ἡράκλεες οὐ δίχα βύρσας
θῆκεν ἀμαιμακέτου κρατὸς ἔρεισμα κέρα.
σᾶς τοι ὅδ' ἐκ ῥίζας ἀναδέδρομεν. οὔτι ἀεικὲς
πατρῴας ζαλοῦν ἔργα βοοκτασίας.

Εἰς τὸ αὐτὸ Σιμμίου.

Σοὶ γυίας ἀλκᾶεντα μενυαμάχε τόνδε Φίλιππος
δέρμα τανασμύκου λευρὸν ἔθηκε βοός.
αὐτοῖς σὺν κεράεσσι τὸν βρεχμῷ κυδιόωντα
ἔσβεσεν ὀρβηλοῦ τρηχὺν ὑπὸ πρόποδα.
ὁ φθόνος αὐαίνοιτο. τεὸν δ' ἔτι κῦδος ἀέξοι,
ῥίζα βροιαίου κράντορος ἠμαθίας.

Ἀντιπάτρου.

Ἁ φόρμιγξ, τά τε τόξα, καὶ ἀγκύλα δίκτυα Φοίβῳ
Σώσιδος, ἐκ τε Φίλας, ἐκ τε πολυκράτεος.
χὠ μὲν ὀϊστευτήρ, κεραὸν βιόν. ἁ δὲ λυρῳδός,
τὰν χέλυν. ὁ δ' ἀγρευτήρ, ὤπασε πλεκτὰ λίνα.
ἀλλ' ὁ μὲν, ὠκυβόλων ἰῶν κράτος. ἁ δὲ, φέροιτο
ἄκρα λύρας. ὁ δ' ἔχοι πρῶτα κυναγεσίας.

Ἀδήλου.

Καυθίδες θαρσεῖτε. τὰ γὰρ τοῦ κρητὸς ἐχέμμα
κεῖται ἐν ὀρτυγίῃ τόξα παρ' ἀρτέμιδι.
οἷς ὑμέων ἐκένωσεν ὄρος μέγα. νῦν δὲ πέπαυται
αἶγες, ἐπεὶ σπονδὰς ἡ θεὸς εἰργάσατο.

Αἴγιδος.

Καὶ στάλικας, καὶ πτωκὰ λαγωβόλα, σοὶ τάδε Μάδων
φοῖβε σὺν ἰξευταῖς ἐκρέμασεν καλάμοις.
ἔργων δ' ὀλίγων ὀλίγην δόσιν, ἢν δέ τι μεῖζον
δωρήσῃ, τίσει τῶνδε πολυπλάσια.

Ἀγαθίου σχολαστικοῦ.

Σοὶ μάκαρ αἰγίκναμε, παράκτιον ἐν περιωπὰν
τὸν τράγον ὧδε σᾶς ἔγετ' ἀθηροσύνας.
Οἱ γὰρ κασοφίδων ὑλακά, καὶ τείσομος αἰχμὰ
θῦνάδε, καὶ ταχινῆς ἔργα λαγοσφαγίης.
δίκτυά τ' ἐν ῥοθίοις ἁπλούμενα, καὶ καλαμευτὰς
καμνόντων, καὶ μογερῶν πεῖσμα σαγηνοβόλων.
ἄνθετο δὲ Κλεόνικος, ἐπεὶ καὶ πόντιον ἄγραν
ἄνυε, καὶ πτῶκας πολλάκις ἐξεφόβει.

λεπτομίτων νεφέλην. aucupatorij retis genus est Nephele. μακώνιον καὶ δίκτυον κιχλῶν uocant. Galenus. καὶ δίκτυον ἐπλέξατο, καὶ πόρκον, καὶ γρῖφον, καὶ νεφέλην. Artemidorus. αἱ δὲ λεγόμεναι νεφέλαι, καὶ ὅσα ἄλλα πλεκτὰ ὅσα πρὸς θήραν ὀρνέων πεποιημένα. τὸ δὲ δίκτυον. Carbasa uenatoria. χιτῶνας. ἀμφίβληστρον, retis genus. quidam τριγλοφόνους legunt. ἀγροτέρων. terrestrium animalium. γνωτῶν. fratrũ. ἀπὸ πτερύγων. è uolucrib. ὑγρά. in aere, in mari, in terra. ἀγρεσίης. ἄγρης. ἄρκυν. rete

uenatoriũ. pro piſcatorio uſurpatur quoq;. ἄρκυν δ' ἁναλίων. δορκοπέδην. la-
queũ. ἐκ λίμνης. ἀπὸ τῆς θαλάσσης. Sophocles. μηλίδα παρὰ λίμνην. Hom. ἠέλιος
δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην. Et. βαθείῃ δ' ἔμπεσε λίμνῃ. & ἀνεδύσατο λίμνης.
θῆκεν ὑπ' ἀνθήκην. τρίζυγες. tres. βιαρκέος. uictũ ſuppeditãtis. διαρραχθὲς. τὸ τῶν δ'
ἐρῶν ἁλιευόμενον ἢ λυπῶν χοινίον. τετραπόδων. θηρῶν. δι' αἴθερος. in aere. οὐρεσιοίκε. in mõ-
tibus habitans. ἱδρυτά. dedicata. ἀγκύλος. uerſutus. potens. θές, fac. τὸ δ' ἁλίοισι.
τὸ περὶ λίνα. ἐκ μοίρας. portionẽ. πανὶ λυκαίῳ. à Lycæo Arcadiæ mõte aut Lycæa
urbe. Scio ex Pauſania Lyceum montẽ Ioui quoq; ſacrũ, et Pomponio Sabino
Lycæũ Pana & Iouẽ eundem cẽſeri. τῷ τε συναγκείαισι. ſcribe σὺν ἐγχέαισι. inue-
nio & ἀγκύλαισι. & ἀγκυλίδεσσι. Archias. οἷς ἅμα χερσαίησιν, ἅμ' ἠπείροισιν τῇ ἄγραις
ἀγρεῦ. κατ' ἀντιπάλων. dijs enim quorũ ope hoſtes ſe profligaſſe iudicabãt mili-
tes ſpoliorũ partem offerebant. Sophocles in Aiace flagellif. ἦ ῥα κλειτῶν φάρων
ψευδέσι δώροις, ἤ τιν' ἐνυάλιος μομφὰν ἔχων ξυνοῦ δορὸς νυχίοις μαχαναῖς ἐτίσατο
λώβαν. ἀκμαῖς. acutis unguibus. φονίῳ κρατί. à truculento capite. poetæ ἡ κρὰς καὶ
τὸ κάρα dicũt. ἀκροχανὲς δέρμα. hiante rictu. αἰγανέην. iaculũ. αἰχμῇ. teli cuſpidẽ
ſemeſæ. θήρ. fera. leo. τῆνος. ille. βουνίτα. montes & colles frequentans. νεφέλας.
retia. ἰσχνοπέδαν. exile uinculũ. ἀμφιρρῶγας. πάνθηρα διαρρωγότας ἀνασπωμένας κλω-
βούς. κλωβοί. retis ſpecies eſt. ἀνασπάσας τε διάρραγγας. ἀνασπάσας. ἀποσπάσας. ἐπίσπα-
σον. τὸ ἀπὸ τῆς ἀγχόνης καὶ τοῦ βρόχου ἀποσπᾶσθαι. διαρραγχέας τὰς τῆς δειρῆς ἀγχόνας καὶ πνιγό-
νας διαρραγχέας πάγας. hæc Varinus. προκαῆ. præuſtos. δρυὸς ἰκμάδα. uiſcũ. δόνα-
κα. calamũ aucupatoriũ. τείνασον. funem oblongũ. epidromidẽ. epidromũ. pe-
ridromũ. quo retia pandunt cõtracta & cõtrahunt ex Pauſan. δίκτυα. retis. ἀπ' ὀρ-
χομενοῦ. Orchomenũ modo Arcadiæ eſt oppidum. κναμοῖσι. ſaltu. colle. τριλλίστου
ὕδωρ. Pauſanias in Arcad. ποταμῶν δὲ ὁπόσοις ἴσμεν, μαίανδρος μὲν σκολιῷ μάλιστα
κάτεισι τῷ ῥεύματι, ἔς τε τὸ ἄνω καμπὰς καὶ αὖθις ἐπιστροφὰς παρεχόμενος πλείστας. Stra
bo. ἐντεῦθεν δ' ἤδη μέγας γενόμενος μαίανδρος σκολιὸς ὢν εἰς ὑπερβολὴν, ὥστε ἐξ ἐκεί-
νου τὰς σκολιότητας ἁπάσας μαιάνδρους καλεῖσθαι. ἔπαξε. ἔπηξε. λάδωνα. Erymãtus &
Ladon Arcadiæ amnes. φολόης. Arcadici mõtis à Pholo Centauro. Strabo. καὶ ἡ
φολόη ὄρος ἀρκαδικόν. ἔειλάχω. σαυρωτῆρι. ῥομβωτῷ. oblongo. σόρθυγγα. acuta ceruæ
cornua. ἀγρότιδι. Dianę. κέρα. κέρατα. ἐκ βασιλῆος. à Philippo rege dicata. ἀμφιβου-
νιάδα. fani Herculis. τεσσαρακαιδεκάδωρα. 16. palmorũ. tametſi ὀργυιαῖα ſenum
pedum & quaternũ cubitorũ ſint. Homerus Odyſſ. λ. τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδε-
κάδωρα πεφύκει. ἀντόμενον. obuiũ. ἄκων. haſta. uenabulũ. βούβοτον. pabulo abũdans.
ὀρβηλοῖο. mõtis Macedonici. σφυρόν. πόδα. πρόποδα. ζάθεον, felix Macedonia, cui tã
robuſtus atq; animoſus rex imperat. δειραίοις. iugo. δρυμωτάν. qui uexauit & ha-
bitatoribus uacuã prouinciã reddidit. δαρδανέων. populorũ Myſis & Triballis
confiniũ. φίλιππος. Philippus Perſei pater. κεραύνιος. fulmineus. Virgil. duo ful
mina belli Scipiadas. βρέγμα. caput. ἐκ ῥίζας. è ſtirpe & progenie tua. ἀναδεικνύμε-
νον. Philippus. πατρῴας βοοκτασίας. nam taurũ Cretenſem interfecit Hercules,
& Acheloum flumen in taurũ transformatũ domuit. πατρῴας addit quod Ma-
cedoniæ reges ab Hercule genus ducant. Hercules, Hyllus, Cleodæus, Ariſto-
machus, Temenes, Perdiccas, Argæus, Philippus, Aeropus, Alcetas, Amyn-
tas, Alexãder, Amyntas, Philippus, Alexander magnus & reliqui. nõnullis in
præſentia adhærere nõ poſſum Herculẽ prætereuntibus. μυναμάχε. Theſſalo-
rum centaurorũ domitor. hoc ante docuimus. τανυμήκη. malim τανυμύκλον.
μύκλος ceruix. μύκης. pudendũ eſt. βρεχμῷ. aut βρεγμῷ. capite. βεροιαῖε. Macedo
nis. à Berœa urbe. σώσιδος. Soſidis donaria ſunt. χώρου. Soſis. βιόν. arcũ. ἁ δὲ λυρῳ-
δός. Phila. χέλυν. φόρμιγγα. ὤπασε. Polycrates. ἄκρα πρῶτα. primas. κυνίδας. ceruę

capreæ

capreæ, in Cyntho Deli monte pascētes. Aristophanes δήλιε, κυνθίαν ἔχων ὑψικέρατα πέτραν. Euripides. ἄρτεμιν ἃ παρὰ κύνθιον ὄχθον οἰκεῖ. Suidas in uocabulo κυνθιάδων, & Stephanus in uoce Δῆλος. Strabo, ὑπέρκειται δὲ τῆς πόλεως ὄρος ὑψηλὸν ὁ κύνθος καὶ τραχύ. ἔχεμμα. ἔχεμα. μ. pleonasmo arcus & sagittæ, animalia petita sistentes, Etymologicus in uoce βέλεμνα. alij ἔχεμμα. Echemmæ. ἐν ὀρτυγίῃ. in Delo. ἁ θεός, affixis ædis tholo arcubus. ὠκέα λαγωβόλα. celeres sagittas. Leonidas. ὁ κρὴς θηρίμαχος, τὰ λαγωβόλα πανὶ λυκαίῳ. αἰγίκναμε. capripes. ὠδῖς σᾶς. pentametrum ita emenda. τὸν τράγον ἐκ δισσᾶς ἄγρος θηροσυνάς. δισσᾶς. marinæ & terrestris. κασορίδων. Canum. Xenophon in Cyneg. ἔχουσι δὲ αἱ μὲν κασορίαι τὴν ἐπωνυμίαν ταύτην, ὅτι κάστωρ ἡσθεὶς τῷ ἔργῳ αὐτὰς διεφυλάξεν. & Pollux lib. 5. Virgilio fortasse Georg. 8. Amyclæi canes nominantur. Armaq; Amyclæumq; canē. altrices quippe fuerūt Castoris & Pollucis Amyclæ, Spartanos tutius interpretaberis, quos nō postremæ nobilitatis fuisse ex Oppiano atq; alijs tritum est. ἐν ῥοθίοις. in alto. κάμνων. scribe κανόν. calamus piscatorius. καὶ πόντιον ἄγραν. supra δισσᾶς θηροσυνάς.

## ΑΠΟ ΚΙΘΑΡΩΔΩΝ.

Παύλου σιλεντιαρίου.

Τὸν χαλκοῦν τέττιγα λυκωρέϊ λοκρὸς ἀνέθηκεν
 Εὔνομος, ἀθλοσύνας μνᾶμα φιλοστεφάνου.
ἦν γὰρ ἀγὼν φόρμιγγος. ὁ δ' ἀντίος ἵστατο πάρθις.
 ἀλλ' ὅκα δὴ πλήκτρῳ λοκρὶς ἔκρεξε χέλυς,
βραγχὸν τετριγυῖα λύρας ἀπεκόπτετο χορδά.
 πρὶν δὲ μέλος σκάζειν εὔποδος ἁρμονίης,
ἁβρὸν ἐπιτρύζων κιθάρας ὑπερέζετο τέττιξ,
 καὶ τὸν ἀποιχομένου φθόγγον ὑπῆλθε μίτου.
τὰν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἠχὼ
 πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίης.
τῷ σε μάκαρ Λητῷε τεῷ τέττιγι γεραίρει,
 χάλκεον ἱδρύσας ᾠδὸν ὑπὲρ κιθάρας.

Μακεδονίου ὑπάτου.

Τὴν κιθάρην Εὔμολπος ἐπὶ τριπόδων ποτὲ φοίβῳ
 ἄνθετο, γηραλέην χεῖρ' ἐπιμεμφόμενος.
εἶπε δὲ μὴ ψαύσαιμι λύρης ἔτι, μηδ' ἐθελήσω
 τὴν πάρος ἁρμονίης ἐμμελέτημα φέρειν.
ἠϊθέοις μελέτω κιθάρης μίτος, ἀντὶ δὲ πλήκτρου
 σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισόμεθα.

Λεωνίδου.

Οὐ μόνον ὑψηλοῖς ἐπὶ δένδρεσιν οἶδα καθίζων
 ἀείδειν, ζαθερεῖ καύματι θαλπόμενος,
ποίκιλος ἀνθρώποισι κελευθήτῃσιν ἀοιδός,
 θηλείης ἔρσης ἰκμάδα γευόμενος,
ἀλλὰ καὶ εὐπήληκος ἀθηναίης ἐπὶ δουρὶ
 τὸν τέττιγ' ὄψει μ' ὦ 'νερ ἐφεζόμενον.
ὅσον γὰρ μούσαις ἐστέργμεθα, τόσον ἀθήνη
 ἐξ ἡμέων. ἡ γὰρ παρθένος αὐλοθετεῖ.

Ἀδήλου.

Τὸν νυμφῶν θεράποντα, φιλόμβριον, ὑγρὸν ἀοιδόν,
 τὸν      κρυφίαις τερπόμενον βάτραχον,

χαλκῷ στηλώσας τίς ὁδοιπόρος, εὖχος ἔθηκεν
καύματος ἐχθροτάτου δίψαν ἀκεσσάμενος.
πλαζόμενον γάρ ἔδειξεν ὕδωρ εὔκηρον ἀείσας
κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι.
φωνὴν δ᾽ ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων,

λυκώρεϊ. Delphico Apollini à Lycorea urbe iuxta Delphos. Pausanias in Phocicis. Strabo lib. 9. τὸ δὲ νῦν οἱ δελφοὶ κατέχουσι περιοικίδες χωρίον. ὑπερκεῖσθαι ἡ αὐτοῦ ἡ λυκωρεία. ἐφ᾽ οὗ τόπου πρότερον ἵδρυντο οἱ δελφοὶ ὑπὲρ τοῦ ἱεροῦ. Apollonij glossemata. λυκωρείοιο. ἀντὶ τοῦ δελφικοῦ. οἱ γὰρ δελφοὶ τὸ πρῶτον λυκωρεῖς ἐκαλοῦντο. ἀπὸ τινος κώμης λυκωρείας. ἰσαῦ πάρθυς. forte πάρθις. & supra lib. 4. πάρθιν ὁ λοκρὸς ἐγώ. Strabo Aristonem nō σπάρθιν nominat. quid si πάρθις ἀντὶ τοῦ παρθένιος cū Etymologico, id est spurius Aristo. nūcupati sunt autē ex Lacedæmonijs Parthenij qui eo bello quod cū Messenijs gessere ex ancillis procreati sunt. Hesych. παρθένιοι, οἱ μετὰ τὸν μεσσηνιακὸν αὖθις πόλεμον γενόμενοι ἐκ τῶν θεραπαινῶν. ij demū patria cedētes duce Phalāto Tarentū occuparūt ibiq; cōsederunt. Cæterū Messenios multos post Aristomenis bella annos Messenā urbem in Pelopōneso cōdidisse ex Pausania liquet. Messenia itaq; primū regio fuit, deinde Messena ciuitas post Leuctricam cladē, quæ ideo adiecimus ne cui Iustinus fraudi sit. eam ciuitatem Arcadię esse Marcellus Virgilius nō recte cēset. ὅκα. quādo. λοκρὶς χέλυς. Aristonis Locri cithara. βραγχόν. rauce. Strabo lib. 6. hæc enucleat. τετριγυῖα. strepēs, stridēs. ἀπεκόμπασε. fracta exilijt. εὔποδος. εὐρύθμου. aptæ. cōcinnæ. ἁβρόν. suauiter. ὑποτρύζων. cantillans. μίτοι. chordæ. ἠχώ. sonū. λητῷος. Apollo. ᾠδόν. cantorē. ἠιθέοις. adolescētib. βομβεῦσα. tremētes, præ senio. καθίζων. τέττιξ. πτόινος. gratis modulans. δὲ ὑμνῶν. στέργετ᾽. ἡ γὰρ παρθένος. Minerua uirgo. αὐλοβετεῖ. nostro cantu delectatur, ex quo fistulā proiecit. χαλκῷ στηλώσας. eius æream statuā erigēs. εὖχος. uotum. ἀκεσσάμενον uel ἀκεσσάμενος. ἡγήτειραν. præeuntē. uiæ ducem.

ΑΠΟ ΜΑΓΕΙΡΩΝ. φιλίππου.

ξίφη τὰ πολλῶν κνωδάλων λαιμητόμα,
πνευμόφους τε ῥιπίδας πυρίμους,
ἰθμόν τε πουλύτρητον, ἠδὲ τετράπουν
πυρὸς γέφυραν ἐσχάραν κρεαδόκον,
ζωμήρυσίν τε τὴν λίπους ἀφρολόγον,
ὁμοῦ κρεάγρῃ τῇ σιδηροδακτύλῳ,
βραδυσκελὴς ἄφηκε, σοὶ Τιμασίων
ἔθηκεν, ἄκμης γήρως ὀρφανισμένος.

Ἀρίστωνος.

Χύτρον τοι, ταύτην τε κρεάγρίδα, καὶ βαθυκαμπῆ
κλᾷδα συῶν, καὶ τὰν ἐτνοδόκον τορύναν,
καὶ τὰν εὐρίναν ῥιπίδα, τὸν εὐχαλκόν τε λέβητα
σὺν πελέκει, καὶ τὰν λαιμοτόμον σφαγίδα,
ζωμοῦ τ᾽ ἀμφ᾽ ὀβελοῖσιν ἀρυστρίδα, τόν τε μαγείρων
σπόγγον ὑπὸ στιβαρᾷ κεκλιμένον κοπίδι,
καὶ τόνδ᾽ εὐκάρανον ἀλοτρίβα, σὺν δὲ, θυείαν
εὐπετρον, καὶ τὰν κρεοδόκον σκαφίδα,
ὀψοπόνος Σπινθὴρ Ἑρμῇ τάδε σύμβολα τέχνας
θήκατο, δουλοσύνας ἄχθος ἀπωσάμενος.

ΑΠΟ

ΑΠΟ ΜΕΘΥΣΩΝ.

Ἐρατοσθένους.

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο Βάκχῳ.
δέχνυσο δ' εὐμενέως. ἄλλο γὰρ οὐδὲν ἔχει.

λαιμοτόμα. guttur incidētia. ῥιπίδας. flabellū. ἠθμὸν. per η enuntiandū ἠθμὸν, διυλιστήριον. colū. ζωμήρυσιν. instrumentū popinariū, quo ebulliente spumā defecamus. βραδυσκελῆ. tarde gradiēs, claudicās. χύτρον seu χύτραν. ollā. κρεάγριδα, κρεάγραν. λύκον. ἁρπάγην. qua carnes ex olla extrahunt. βαθυκαμπῆ. τὸν πολὺ καμπτόμενον κλεῖδα συῶν. clauē caulæ suū. θρώναν. Chytropodē, ollam cū pedibus, quibusdā θρύον tudecula est. ἐτνοδόκον. fabā elixā coquendā suscipientē. πλεκτάν. Ex pēnis auiū contextā. σφαγίδα. iugulantē gladiū. ζωμοῦ ἀρυστρίδα. iuris, brodij. cyathū. sextariū. ἀμφ' ὀβελοῖσι. prope aut cū uerubus. τόν τε μαγεῖαν. Suidas μαγίδα scribit, τὴν ἀπομάσσοντα, abstergentē. δικάρανον ἀλετρίβα. pistillū biceps. adi Varinū in uoce ἀλετρίβανον. θυείαν. mortarium. σκαφίδα. aut σκάφην.

ΕΙΣ ΝΑΟΥΣ. Σιμωνίδου.

Τούσδε ποθ' Ἕλληνες ῥώμῃ χερὸς, ἔργον ἄρηος,
εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλεύθερον Ἑλλάδι κόσμον
ἱδρύσαντο Διὸς βωμὸν ἐλευθερίου.

λήματι. animi fiducia & robore. Διὸς βωμὸν ἐλευθερίου. Strabo lib. 9. εἴρηται δ' ὅτι πρὸ τῆς Πλαταιᾶς ὁ Ἀσωπός. ἐνταῦθα Μαρδόνιον & τὰς τριάκοντα μυριάδας Περσῶν αἱ τῶν Ἑλλήνων δυνάμεις ἄρδην ἠφάνισαν. ἱδρύσαντό τε ἐλευθερίου Διὸς ἱερὸν & ἀγῶνα γυμνικὸν στεφανίτην ἀπέδειξαν, ἐλευθέρια προσαγορεύοντες. Pausan. in Bœoti. οὐ πόῤῥω δὲ τοῦ κοινοῦ τῶν Ἑλλήνων Διός ἐστιν ἐλευθερίου βωμός. Aristides in Panathen. & ὧν ᾗ βωμὸς ἐλευθερίου Διός. Plutarchus in Aristide. περὶ δὲ θυσίας ἐρωμένοις αὐτοῖς, ἀνεῖλεν ὁ Πύθιος Διὸς ἐλευθερίου βωμὸν ἱδρύσασθαι. mendosum hoc epigramma restitue apud eundem Plutarchū in opusculo περὶ τῆς Ἡροδότου κακοηθείας. inuenies & Διὸς ἐλευθερίου βωμὸν in Thalia Herodoti, & στοὰν τοῦ Διὸς ἐλευθερίου apud Platonem περὶ πλούτου. de quibus hic non agimus.

ΑΠΟ ΝΑΥΤΩΝ.

Μακεδονίου ὑπάτου.

Νηὰ Ποσειδάωνι πολύπλανος ἄνθετο Κράντος,
ἔμπεδον εὐνηοῦ πέζαν ἐρεισάμενος,
αὔρας οὐκ ἀλέγουσαν ἐπὶ χθονός. ἧς ἔπι Κράντος
εὐρὺς ἀνακλινθεὶς, ἄτρομον ὕπνον ἔχει.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Νηὰ σοι ὦ πόντου βασιλεῦ, καὶ κοίρανε γαίης,
ἀντίθεμαι Κράντος μηκέτι τεγγομένην,
ναῦν, πολυπλανέων ἀνέμων πτερόν. ἧς ἔπι, δειλὸς
πολλάκις ᾠισάμην ἐμπελάαν Ἀΐδῃ.
πάντα δ' ἀπειπάμενος, φόβον, ἐλπίδα, πόντον, ἀέλλας,
πιστὸν ὑπὲρ γαίης ἴχνιον ἱδρυσάμην.

εὐνηοῦ. fani tui ô Neptune. ἄτρομον. procellas nō formidantē. & κοίρανε γαίης. uocatur enim Neptunus ἐνοσίγαιος & ἐνοσίχθων. πτερόν. σκιήν. uel pennas.

ΑΠΟ ΝΑΥΑΓΩΝ. Λουκιανοῦ.

Γλαύκῳ, καὶ Νηρεῖ, καὶ Ἰνοῖ, καὶ Μελικέρτῃ,
καὶ βυθίῳ Κρονίδῃ, καὶ Σαμόθρᾳξι θεοῖς,

σωθεὶς ἐκ πελάγους Λουκίλλιος, ὧδε κέκαρμαι
τὰς τρίχας ἐκ κεφαλῆς. ἄλλο γὰρ οὐδὲν ἔχω.

Λουκιλλίου.

Εἰκόνα τὴν κήλης Διονύσιος ὧδ' ἀνέθηκε,
σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος.
τοῖς μηροῖς αὐτὴν γὰρ ὑποστήσας, ἐκολύμβα.
ἔσω καὶ κήλας ἐν τισιν εὐτυχίη.

λυκιανοῦ. repone λουκιλλίου. Τῷ βυθίῳ κρονίδῃ. Neptuno Saturni filio maris deo καὶ Σαμόθραξι θεοῖς. Cabiris. horũ meminit Herodotus in Euterpe. Varro lib. de lingua Latina 4. Pausanias in Bœoticis & Apollonij primo Argonaut. Scholiastes. τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθράκῃ ἀγομένας. ὡς εἴτις μυηθείη ἐν τοῖς κατὰ θάλασσαν χειμῶσι διασώζεται. &c. ὧδε κέκαρμαι τὰς τρίχας. Artemidorus Onirocrit. α. ναυαγήσαντων γὰρ ἢ ἐκ μεγάλης σωθέντων νόσου ξυρῶνται οἱ ἄνθρωποι. Iuuen. Satyra 12. ibi uertice raso garrula securi narrare pericula nautæ. τῆ κήλης. Herniæ.

ΑΠΟ ΝΕΩΝ. Θεοδωρίδου.

Αλικες ἅτε κόμαι, καὶ ὁ Κρώβυλος, ὃς ἄπο Φοίβῳ
πέξατο μολπαστὰν κῶμος ὁ τετραέτης.
αἰχμηταν δ' ἐπέθυσαν ἀλέκτορα, καὶ πλακόεντα
πίας ἠγνοκδίνου πίονα τυροφόρου.
ὦ πολλοὶ, θέρς τὸν Κρώβυλον εἰς τέλος ἄνδρα
οἴκου, καὶ κτεάνων χεῖρας ὑπέρθεν ἔχειν.

Τοῦ αὐτοῦ.

Καλῷ σὺν τέττιγι Χαρίδαμος τρίχα τήνδε
κουρόσυνον, κούραις θῆκ' ἀμαρυνθιάσι,
σὺν βοὶ χερνιφθέντα. πάϊς δ' ἴσον ἀστέρι λάμπει.
πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος.

Κριναγόρου.

Εσπερίου Μάρκελλος ἀνερχόμενος πολέμοιο
σκυλοφόρος, κραναῆς τέρμα παρ' ἰταλίης,
ξανθὴν πρῶτον ἔκειρε γενειάδα. βούλετο πατρὶς
οὕτω, καὶ πέμψαι παῖδα, καὶ ἄνδρα λαβεῖν.

Αδήλου.

Ωραῖον ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἰούλους
κειράμενος, γλυκύων ἄρσενας ἀγγελίας.
Φοίβῳ θῆκε Λύκων πρῶτον γέρας. εὔξατο δ' οὕτως
καὶ πολιὴν λευκῶν κεῖραι ἀπὸ κροτάφων.

ἁλικες ἅτε κόμαι. Ephebi olim Apollini aut fluminibus capillũ & barbam primũ tondebãt. Callimachus εἰς Δῆλον. παῖδες δὲ θέρος τὸ πρῶτον ἰούλων ἄρσενες ἠιθέοισιν ἀπαρχόμενοι φορέουσι. ubi χαίτην ἥλικα appellat. Plutarch. in Theseo ἔθους δ' ὄντος ἔτι τότε τοὺς μεταβαίνοντας ἐκ παίδων ἐλθόντας εἰς Δελφοὺς ἀπάρχεσθαι τῷ θεῷ τῆς κόμης. Hom. Iliad. ψ. στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην, τήν ῥα σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν. Pindari enarrator. τὰς μὲν γὰρ πρώτας κόμας τοῖς ποταμοῖς οἱ ἀρχαῖοι ἀπεκείροντο, σύμβολον τοῦ ἐξ ὕδατος εἶναι πάντων τὴν αὔξησιν. καὶ ὁ κρώβυλος. Thucydidis interpres. κρώβυλος δέ ἐστιν εἶδος πλέγματος τῶν τριχῶν, ἀπὸ ἐκατέ-

ἐκατέρων εἰς ὀξὺ ἀπολῆγον. ἐκαλεῖτο δὲ τῶν μὲν ἀνδρῶν κρώβυλος. τῶν δὲ γυναικῶν, κόρυμβος. τῶν δὲ παίδων, σκορπίος. Lucianus in uotis. καὶ τοῖς προγόνοις ἡμῶν ἐδόκει καλὸν εἶναι κομᾶν τοὺς γέροντας, ἀναδεδεμένους κρώβυλον ὑπὸ τέττιγι χρυσῷ ἀνειλημμένον. ἃς ἀπὸ, φοίβῳ πέξατο. ἃς ἀπέξατο. quas quadriennio pexuerat iuuenilis lasciuia. φοίβῳ. ut eas tandē Apollini dicaret. μολπαστᾷ. Cantori. musico. Hesychio μολπαστὰς, συμπαίκτης. τυροφόρον. placentā in qua caseus admixtus. ὦ 'πολλον. ὁ Apollo. τὸν κρώβυλον. Crobylum puerum. ἐκ κτεάνων. fac ut emācipatus suiq; sit iuris. κρώβυλον σὺν τέττιγι. uidetur Charistenes Atheniensis fuisse, cui populo antiquitus mos erat capillorū cincinnis aureas cicadas addere. Thucydides lib. 1. πρῶτοι δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο, καὶ χρυσῶν τεττίγων ἐνέρσει κρώβυλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. κούραις ἀμαρυνθιάσι. horis ac lucis præsidibus deabus. ταῖς ἐπιτέτραπται μέγας οὐρανός, Οὔλυμπός τε. ait Homerus. χερνιφθέν. immolato. ἱερεῖς. Hispani rectius quam Italici. ἐς πολιήν. canos capillos.

## ΑΠΟ ΠΑΙΖΟΝΤΩΝ.

Λεωνίδου.

Εὔφημόν τοι σφαῖραν, ἐϋκρόταλόν τε Φιλοκλῆς
  Ἑρμείᾳ ταύτην πυξινέην πλαταγήν,
ἀστραγάλας θ', οἷς πόλλ' ἐπεμήνατο, καὶ τὸν ἑλικτὸν
  ῥόμβον, κουροσύνης παίγνι' ἀνεκρέμασεν.

Ἀσκληπιάδου.

Νικήσας τοὺς παῖδας, ἐπεὶ καλὰ γράμματ' ἔγραψε
  Κόνναρος, ὀγδώκοντ' ἀστραγάλους ἔλαβεν.
κἀμὲ χάριν μούσης τὸν κωμικὸν ὧδε Χάρητα
  πρέσβυτιν, θορύβῳ θῆκε με παιδαρίων.

σφαῖραν. pilam lusoriam à Galeno tantopere laudatam. pilarū multas fuisse species nō ignoramus. πυξινέην πλαταγήν. Platage instrumentum est sonorum & obstreperum ex ligno ut hic Leonidas ostendit, aut ex ære ut Apollonius. χαλκείην πλαταγὴν, ἐνὶ χερσὶ τινάσσων. Aristoteles Politic. 8. ἅμα δὲ, καὶ δεῖ τοὺς παῖδας ἔχειν τινὰ διατριβὴν, καὶ τὴν ἀρχύτου πλαταγὴν οἴεσθαι γενέσθαι καλῶς, ἣν διδόασι τοῖς παιδίοις, ὅπως χρώμενοι ταύτῃ μηδὲν καταγνύωσι τῶν κατὰ τὴν οἰκίαν. οὐ γὰρ δύναται τὸ νέον ἡσυχάζειν. ἐπεμήνατο, uehementius lusit. τοὺς παῖδας. condiscipulos. μούσης. quòd illum erudiuerim. χάρητα. me Charetem doctorem & ludi magistrum. θορύβῳ. in gymnasio.

## ΑΠΟ ΠΟΙΜΕΝΩΝ.

Ἀγαθίου σχολαστικοῦ.

Δικραίρῳ, διφυεῖ, δασυκνάμῳ, δασυχαίταν
  ἴξαλον, εὐσκάρθμῳ, λόχμιον, ὑλοβάτᾳ
Πανὶ φιλοσκοπέλῳ, λάσιον παρὰ πρῶνα Χαρικλῆς
  κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον.

Λεωνίδου.

Τοῦτο χιμαιροβάτᾳ Τελέσων αἰγόνυχι Πανὶ
  τὸ σκῦλος ἀγρείας τεῖνε κατὰ πλατάνου,
καὶ τὰν ῥαιβόκρανον ἐϋστόρθυγγα κορύναν,
  ᾗ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους,
γαυλούς τε γλαγοπῆγας, ἀγωγαῖόν τε κυνάγχαν
  καὶ τὰν εὐρίνων λαιμοπέδαν σκυλάκων.

Ἰωάννου ποιητοῦ τοῦ βαρβουκάλλου.

Πειθοῖ ἡ Παφίᾳ, πακτὰν, καὶ κηρία σίμβλων
τᾶς καλυκοστεφάνου νυμφίος Εὐρωνόμης,
ἑρμόφιλας ἀνέθηκεν ὁ βουκόλος. ἀλλὰ σὺ χριῶθε
ἀντ' αὐτᾶς, πακτάν. ἀντ' ἐμέθεν, τὸ μέλι.

Μακεδονίου ὑπάτου.

Δάφνις ὁ συρικτὰς τρομερῷ ποδὶ γήραϊ κάμνων,
χειρὸς ἀκρυγκλᾶς τάνδε βαρυνομέναν
Πανὶ φιλαγραύλῳ νομίαν ἀνέθηκε κορύναν,
γήραϊ ποιμενίων παυσάμενος καμάτων.
εἰσέτι γὰρ σύριγγι μελίσδεται. εἰσέτι φωνὰ
ἄτρομος ἐν τρομερῷ σώματι ναιετάει.
ἀλλὰ λύκοις σίντῃσιν ἀν' οὔρεα, μή τις ἐμεῖο
αἰπόλος ἀγγέλλῃ γήραος ἀδρανίην.

Ἀδεσπότου.

Αὐλοὺς Πανὶ Μελίσκος, ὅδε ξυνέπεμψε γέρας ἄειρειν
τούτοις. ἐκ καλάμων οἶστρον ἐπισπασάμενον.

Ἀνύτης.

Φριξοκόμᾳ τάδε Πανὶ, καὶ αὐλιάσιν θέτο νύμφαις
δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος,
αἵ μιν ὑπὸ ζαθέοιο θέρευς μέγα κεκμηῶτα
παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

δικεραίρῳ. bicipiti. κεραία. caput est. εὐσκάρθμῳ. τῷ ποδί. τῷ κινητῷ. ueloci. κνακῷ. rufum. χιμαροβάτᾳ. capras ineūti. Lucianus in colloquio Panos & Mercurij. δε γόνυχι. Capripedi. τὸ σκύλος. hanc pellem. τεῖνε. extēdit. θῆκε. posuit. ῥαιβόκρανον. capite incuruo & obtorto. γλαγοπῆγας. in quibus lac concrescit. κυνάγχαν. numellam, lorum quo ducitur canis. λαιμοπέδαν. collare. πακτάν. Suidas in uoce πηκτή. ἀντ' αὐτᾶς. illius nomine. τάσδε. τᾶσδε. τῆσδε. γήραϊ. propter seniū. ἀδρανίην. quippe qui si hoc audierint, huc tuto accedant. μελίσκος. subaudi ἀνέθηκε. οἶστρον. amorem. Syringem enim amauit Pan. Ludit in uocibus, αὐλὸς καὶ καλαμος. τάδε. lege τόδε.

## ΑΠΟ ΣΤΡΑΤΙΩΤΩΝ.

Σιμωνίδου.

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος,
νηοῦ ὑπ' Ἀθηναίης κεῖται ὑπορόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαῒ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

Μνησάρχου.

Σοὶ μὲν καμπύλα τόξα, καὶ ἰοχέαιρα φαρέτρα,
δῶρα παρὰ Προμάχου Φοῖβε τάδε κρέμαται.
ἰοὺς δὲ πτερόεντας, ἀνὰ κλόνον ἄνδρες ἔχουσιν
ἐν κραδίαις, ὀλοὰ ξείνια δυσμενέων.

Ἀντιπάτρου Σιδωνίου.

Τὰν πρὶν ἐνυαλίοιο, καὶ εἰράνας ὑποφῆτιν,
μέλπουσαν κλαγγὰν βάρβαρον ἐκ στομάτων,

χαλκοπτυχῆ σάλπιγγα, γέρας Φορμίων ἀθλῶν
λήξας καὶ πολέμου, καὶ θυμέλας, ἔθετο.

Σιμωνίδου.

Οὕτω σοὶ μελίη ταναὴ ποτὶ κίονα μακρὸν
ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά.
ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι
πυκνὰ κραδαινομένη δηΐῳ ἐν πολέμῳ.

Παύλου σιλεντιαρίου.

Ἀσπίδα ταυρείην, δρύμα χροός, ἀντιβίων τε
πολλάκις ἐγχείην γευσαμένην χολάδων,
καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα,
καὶ κόρυν, ἱππείαις θριξὶ δασυνομένην,
ἄνθετο Μνησίμαχος γέρας Ἄρει, γηραλέον νῦν
ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

Τοῦ αὐτοῦ.

Ζηνὶ τόδ' ὀμφάλιον σάκος ῥύφος, ᾧ ἔπι, λαιὴν
ἔγχος ἀριστεύων, ἄνθετο Νικαγόρας.
πᾶν δὲ τὸ λοιπὸν, ἀκόντων, ἰσήριθμός τε χαλάζῃ
χερμὰς, καὶ ξιφέων ὀξυκόλαψε γένυς.
ἀλλὰ καὶ ἀμφίδρυπτον ἐὸν τόδε, χειρὶ μεναίχμᾳ
σώζετο Νικαγόρᾳ, σῶζε δὲ Νικαγόραν.
θεσμὸν τὸν σπάρτας μενεφύλοπιν. ἀμφὶ βοείᾳ
τήνδε τις ἀθρήσει πάντα φυλασσόμενον.

Παλλαδᾶ.

Τὸν θῶ, καὶ τὰς κνῆ, ταῦτ' ἀσπίδα, καὶ δόρυ, καὶ κρᾶ,
Γοργοπτιλέκεος ἄνθετο Τιμοθέω.

Εἰς τὸ αὐτὸ Εὐδημίου ἰλλουστρίου.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος, ἀθλῶν
ῥῦφος τημβιάδης γέλλιος εὑρέμασιν.

Ἀντιφίλου.

Δοῦρας Ἀλεξάνδροιο, λέγει δέ σε γράμματ' ἐκείνου
ἐκ πολέμου θέσθαι σύμβολον ἀρτέμαδε,
ὅπλον ἀνικήτοιο βραχίονος. ἆ καλὸν ἔγχος,
ᾧ πόντος, καὶ χθὼν εἶκε κραδαινομένῳ.
ἵλαθι δοῦρας ἀταρβές. ἀεὶ δέ σε πᾶς τις ἀθρήσας,
ταρβήσει, μεγάλης μνησάμενος παλάμης.

Ἡγησίππου.

Ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνορος ἧμαι
ναῷ ὑπορρόφιος Παλλάδος ἀλκιμάχας,
πολλὰ σιδαρείου κεκονιμένα ἐκ πολέμοιο,
τόν με φοβοῦντ' ἀεὶ ῥυομένα θανάτου.

Ἀδήλου.

Ἤδη τῇδε μένω πολέμου δίχα, καλὸν ἄνακτος
στέρνον ἐμῷ νώτῳ πολλάκι ῥυσαμένα.

καίτοι τηλεβόλους ἰούς, καὶ χερμάδια δεινὰ
μυρία, καὶ δολιχὰς ἐξαμόλια κάμακας,
οὐδέ ποτε κλαυνοῖο λιπεῖν πολυμάκεα πάχων
φημὶ τὸν βλοσυρὸν φλοῖσβον ἐνυαλίου.

Λεωνίδου.

Ὀκτώ τοι θυρεούς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς
θώρηκας, τόσσας δ' αἱμαλέας κοπίδας,
ταῦτ' ἀπὸ Λευκανῶν κορυφάσια σῦλα τ' ἀθάνᾳ
ἄγορ Εὐάνθευς θῆχ' ὁ Βιαιομάχας.

Τοῦ αὐτοῦ.

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον ἀθάνᾳ
Πύρρος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατῶν,
πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν. οὐ μέγα θαῦμα,
αἰχμηταὶ καὶ νῦν, καὶ πάρος Αἰακίδαι.

Τοῦ αὐτοῦ.

Οἵδ' ἀπὸ Λευκανῶν θυρεάσπιδες, οἵδε χαλινοὶ
στοιχηδόν, ξεστοί τ' ἀμφίβολοι κάμακες,
δέδμηνται, ποθέουσαι ὁμῶς ἵππους τε, καὶ ἄνδρας
Παλλάδι. τοὺς δ' ὁ μέλας ἀμφέχανεν θάνατος.

Μελεάγρου.

Τίς τάδε μοι θνητῶν περὶ θριγκοῖσιν ἀνῆψε
σκῦλα, πανεχθίστην τέρψιν ἐνυαλίου;
οὔτε γὰρ αἰγανέαι περιαγέες, οὔτε τι πήληξ
θύλοφος, οὔτε φόνῳ χρανθὲν ἄνηρε σάκος.
ἀλλ' αὔτως γανόωντα, καὶ ἀστυφέλικτα σιδήρῳ,
οἷά περ οὐκ ἐνοπᾶς, ἀλλὰ χορῶν ἔναρα.
οἷς θάλαμον κοσμεῖτε γαμήλιον. ὅπλα δὲ λύθρῳ
λειβόμενα βροτέῳ, σηκὸς Ἄρηος ἔχοι.

Φιλίππου.

Ἔμβολα χαλκογένεια, φιλόπλοα τεύχεα νηῶν,
Ἀκτιακοῦ πολέμου κείμεθα μαρτύρια.
ἠνὶ δὲ σιμβλεύει κηροτρόφα δῶρα μελισσῶν,
ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα.
Καίσαρος εὐνομίης χρηστὴ χάρις. ὅπλα γὰρ ἐχθρῶν,
καρποὺς εἰρήνης ἀντεδίδαξε τρέφειν.

Ἀντιπάτρου.

Ἡ κόρυς, ἀμφοτέρων ἔλαχον χάριν. εἰμὶ δ' ὁρᾶσθαι
καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
ἐκ δὲ Πυλαιμένεος, Πείσων μ' ἔχει. ἔπρεπεν ἄλλαις
οὔτε κόρυς χαίταις, οὔτε κόμαι κόρυθι.

ἰοχέαιρα. ἡ τοῖς ἰοῖς χαίρουσα. ξείνια. munera. καὶ εἰράνας. pacis, in scena. χαλκοπαγῆ. aeream. μελίη. hasta. πανομφαίῳ Ζηνί. Homerus Iliad. θ. ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον ἀχαιοί. glossulae. πανομφαίῳ. πάσης φήμης ἢ κληδόνος. ὀμφὴ γὰρ ἡ θεία κληδών. alij. πεφημισμένῳ, ἢ ὅτι τὰς κακὰς ἀποστρέφει. πανομφαίῳ πᾶσα φήμη καὶ μαντεία ἀναφαί-

ἀναφαίνεται, τουτέστι κληδόνα. Ouid. in Metamorph. Ara Panomphæo uetus est sacrata tonanti. χαλκός. hastæ mucro. ταυρείην. è corio bubulo. ἐγχείην. hastam. χιτῶνα. thoracem. βακτρόν. baculum quo innititur. ὀμφάλιον. rotundum. ῥύφος. fragmentū clypei. τὸ λοιπόν. parmæ. ἀκόντων. hostium. χρόνος. στόμωμα. acies. ἀμφίδρυπτον. circumquaq; laceratus umbo. ἐάν. ἄν. σώζεο. non enim proijciebat, se è pugna subducens. ἀμφὶ βοείᾳ. cum clypeo. θεσμὸν πάντα. omnia Lacedæmoniorum fortitudinis instituta. τὸν θώ. θώρακα. καὶ τὰς κνη. κνημῖδας. καὶ κρα. κράνος. γοργοπριλάειος. forte γοργιοπριάειος uel γοργονοπριάειος. personarum scutorum ue emptor. τιμοθέω. Timothei filius. δοῦρας. hastam. ἀρτέμιδι. Dianæ Ephesiæ. παλάμης. Alexandri, qui hanc hastam uibrabat. ὤμων. ab humeris. ὑπωροφίας. scribe ὑπωροφία. Simonides. νηῷ ἐπ' ἀθηναίης κεῖται ὑπωροφία. τόν με φέροντα. Timanorem. ἥδη τῇδε μένω. loquitur scutum. ἐμῷ νώτῳ. bubulo, æreo, ligneo. δεξαμένα. ἀσπίς. πῆχυν. domini cubitum. ἀπὸ λευκανῶν. Lucani Italię populi sunt. ἄγων. ea afferens. Iulianus. τόνδε μόλιβδον ἄγων. σὺν θυρεοὺς ὁ μολοσσός. extat hoc apud Plutarchum in Pyrrho epigrāma & Pausaniam in Atticis. ἰτωνίδι. Stephanus in uoce ἴτων. Pausanias in Bœot. τῆς ἰτωνίας ἀθηνᾶς ἐστὶ τὸ ἱερόν. καλεῖται δὲ ἀπὸ ἰτωνίου τοῦ ἀμφικτύονος. καὶ ἐς τὸν κοινὸν συνίασιν ἐνταῦθα οἱ Βοιωτοὶ σύλλογον. Strab. lib. θ. τούτου δ' ὑπόκειται ὁ ἴτων, ὅπου τὸ τῆς ἰτωνίας ἱερόν, ἀφ' οὗ καὶ τὸ ἐν τῇ βοιωτίᾳ. Apollonij commentator: ἰτωνίας δὲ ἀθηνᾶς ἐστὶν ἱερὸν ἐν κορωνείᾳ τῆς Βοιωτίας. ὁ μέντοι ἀπολλώνιος οὐκ ἂν λέγοι τὴν ἀθηνᾶν ἀπὸ κατασκευῆς τῆς ἀργοῦς ἀπὸ τῆς ἐν ἰτωνίᾳ κλήσεως, μᾶλλον δὲ ἀπὸ θεσσαλικῆς ἰτωνίας. περὶ ἧς ἑκαταῖος μὲν ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν λέγει. ἀρμενίδας δὲ ἐν τοῖς θηβαϊκοῖς, ἀμφικτύονος υἱὸν ἴτωνον ἐν θεσσαλίᾳ γενηθῆναι, ἀφ' οὗ ἴτων πόλις καὶ ἰτωνὶς ἀθηνᾶ. αἰακίδαι. lege initium uitæ Pyrrhi apud Plutarchum & nuper citato loco Pausaniam. θυρεάσπιδας. parmæ & scuta. κάμακας. hastæ. παλλάδι. Itoniæ Mineruæ, in cuius templo hæc affixa erant. τούσδε. equos atq; uiros. περιαγέας. circumfractæ. ξανθόν. coinquinatum. maculatum. οὐκ ἐν ῥοπαῖς. non pugnæ & tumultus. ἔμβολα. rostra ærea. ἀκτιακοῦ πολέμων. uicto Antonio & Cleopatra ad Actium. Plutarchus in Antonio, & Dion lib. 50. ἑσμῷ. apū examine. ἐχθρῶν. hostium. Antonij & Cleopatræ.

ΑΠΟ ΤΑΧΥΓΡΑΦΩΝ.

φιλίππου.

Κυκλοτερῆ μόλιβον, σελίδων σημάντορα πλευρῆς,
καὶ σμίλην δονάκων ἀκροβελῶν γλυφίδα,
καὶ κανονῖδ' ὑπάτην, καὶ τὴν παρὰ θῖνα κίσηριν,
αὐχμηρὸν πόντου τρηματόεντα λίθον,
παλλιμβάκης, μούσαις ἀναπαυσάμενος καμάτοιο,
θῆκεν, ἐπεὶ γήρᾳ κανθὸς ἐπεσκέπετο.

Ἄδηλον.

γραμμοτόκῳ πλήθοντα μελάσματι κυκλομόλιβδον
καὶ κανόνα γραφίδων ἰθυπόρων φύλακα,
καὶ γραφικοῖο δοχεῖα κελαινοτάτοιο ῥεέθρου,
ἄκρα τε μεσοτόμους εὐγλυφέας καλάμους,
τρηχαλέην τε λίθον, δονάκων εὐθηγέα κόσμον,
ἔνθα πολυτριβέων ὀξὺ χάραγμα πέλει,
καὶ γλυφανοῦ καλάμου πλατὺν γλωχῖνα σιδήρου
ὅπλα σοι ἐμπορίης ἄνθεο φειδίης,

κεκμηκὼς Μενέδημος ὑπ' ἀχλύος ὄμμα παλαιὸν
ἑρμείᾳ. σὺ δ' ἀεὶ φέρβε τὸν ἐργατίνην.

Παύλου σιλεντιαρίου.

Γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς,
καὶ σκληρῶν ἀκόνην τρηχαλέην καλάμων,
καὶ πλατὺν ὀξυντῆρα μεσοσχιδέων δονακήων,
καὶ κανόνα γραμμῆς ἰθυπόρου ταμίην,
καὶ χρόνιον γλυπτοῖσι μέλαν πεφυλαγμένον ἄντροις
καὶ γλυφίδας καλάμων ἄκρα μελαινομένων,
ἑρμείῃ Φιλόδημος, ἐπεὶ χρόνου ἔκκριμες ἤδη
ἦλθε κατ' ὀφθαλμῶν ῥυσὸν ὑπισκύνιον.

Ἀδήλου.

Τὸν τροχόεντα μόλιβδον, ὃς ἀτραπὸν οἶδε χαράσσειν,
ὀρθὰ παρεξύων ἰθυτενῆ κανόνα,
καὶ χάλυβα σκληρὸν καλαμηφάγον, ἀλλὰ καὶ αὐτὸν
ἡγεμόνα γραμμῆς ἀπλανέος κανόνα,
καὶ λίθον ὀκρυόεντα, δόναξ ὅθι δισσὸν ὀδόντα
θήγεται, ἀμβλυνθεὶς ἐκ δολιχογραφίης,
καὶ βυθίην τρίτωνος ἁλιπλάγκτοιο χαμεύνην
σπόγγον, ἀκεστορίην πλαζομένης γραφίδος,
καὶ κίστην πολύωπα μελανδόκον, ἐν ἑνὶ πάντα
συγγραφέος τέχνης ὄργανα ῥυομένην,
ἑρμῇ Καλλιμένης, τρομερὴν ὑπὸ γήραος ὄκνῳ
χεῖρα καθαρμόζων ἐκ δολιχῶν καμάτων.

Ἀδήλου.

Ἀβροχον ἀπλανέος μόλιβον γραπτῆρα κελεύθου,
ἧς ἔπι ῥιζοῦνται γράμματος ἁρμονίη,
καὶ κανόνα τροχαλοῖο κυβερνητῆρα μολίβδου,
καὶ λίθακα ξυστὴν σπόγγῳ ἐεισαμένην,
καὶ μέλανος σατυροῖο δοχήιον, ἀλλὰ καὶ αὐτὴν
συγγραφέων καλάμων ἀκροβαφεῖς ἀκίδας,
σπόγγον ἁλὸς βλάστημα, χυτῆς λειμῶνα θαλάσσης
καὶ χαλκὸν δονάκων τέκτονα λεπταλέων,
ἐνθάδε Καλλιμένης Φιλομηδέσιν ἄνθετο μούσαις,
γήραϊ κεκμηκὼς ὄμματε, καὶ παλάμην.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ἀκλινέας γραφίδεσσιν ἀπιθύνοντα πορείας
τόνδε μόλιβδον ἄγων, καὶ μολίβου κανόνα
σύνδρομον ἡνιοχῆα, πολυτρήτου τ' ἀπὸ πέτρης
λᾶαν, ὃς ἀμβλεῖαν θῆγε γλύφων καλάμου,
σὺν δ' αὐτοῖς καλάμοισι μέλαν, μυστήρια φωνῆς
ἀνδρομέης, σμίλης τ' ὀξυτόμου κοπίδα,
ἑρμείῃ Φιλόδημος, ἐπεὶ χρόνος ὄμματος αὐγὴν
ἀμβλύνας, παλάμῃ δῶκεν ἐλευθερίην.

Τοῦ αὐτοῦ.

Αὔλακας ἰθυπόρων γραφίδων κύκλοισι χαράσσων,
ἄνθεμαι σοι ξωχθεὶς οὗτος ἐμὸς μόλιβος,

καὶ

καὶ μολίβῳ χρωστῆρι κανόνων τύπον ὀρθὸν ὀπάζων,
καὶ λίθον ὀξυντῆρα θηγαλέον καλάμων,
σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει
αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων,
Δέχνυσο, καὶ γλυπτῆρα σιδήρεον. ὦ θρασὺς ἄρης
σὺν μούσαις, ἰδίην δῶκε διατροφίην,
ἑρμείη, τὰ γὰρ ὅπλα, σὺ δ' ἀδρανέος Φιλοδήμου
ἴθυνε ζωὴν, λειπομένοιο βίου.

κυκλοτερῆ μόλιβον. quo etiam nostrates homines utuntur. Itali funiculos tabellæ ligneæ conglutinant, quibus chartæ suppositis manuque pressis lineas formant. καὶ σμίλην. cultellum calamarium. γλυφίδα. quasi scalprum & celtem. ἢ κανονίδα. regulam. παρὰ θῖνα. iuxta maris litus. κίσηριν. pumicē. quem θηχαλέον λίθον, ὀκρυόεντα, λίθακα ξεστὴν, θηγαλέον, & ἀκόνην uocat. nihil eo notius his qui calamo ut Græci omnes, non penna anserina scribūt. κανθός. oculi senectute hebescunt & caligant. γραμματόκω. nam super eam lineam literas deformamus. γραφικοῖο δοχεῖα. uasculum corneum aut uitreum asseri ligneo inclusum. μεσοτόμους. per medium scissos. εὐθηγέα. θήγω. ὀξὺ χάραγμα. tenues characteres. σιδήρου. cultri. κεκμηκὼς ὄμμα. laborantibus caligine oculis. ὀξυντῆρα. σμίλην. δονάκων μεσοσχιδέων. μεσοτόμων. μέλαν. atramentum. αὔλοις. in uasculo. ῥυσσὸν ὑποσκυνίου. rugosæ palpebræ in oculos procidunt eosque contegunt. τὸν ῥοχέοντα. κυκλοτερῆ. χάλυβα. σμίλην. δόναξ. calamus. χαμεύνην. τὴν σιβώδα. nam spongias sibi substernit Triton ut mollius cubet. σπόγγον. spongia hodie in usu est Venetis pueris arithmeticam discentibus. ferunt & Augusti Aiacem in spōgiam incubuisse. Aristides. αὐτὸς γάρ εἰ ἡμῖν λελάρηται, οὐδὲν δεῖ τῆς Στησιχόρου παλινῳδίας, ἀλλὰ σπόγγου ἰάσεται. id est delebo. καὶ κίστην. cistellam, scriniolum. γράμματος. scripturæ. σπόγγῳ ἐσδυμένην. pertusam. χαλκόν. σμίλην. ἀκίδας καλάμων. acutos calamos. λαιῶν. κίσηριν. σμύλης. σμίλης. χρόνος. ætas ingrauescens. αὔλακας. lineas, sulcos. ἀνθέμα σοι. ἀνάθεμα. tibi donarium esto. ῥωχθεὶς. erosus. κανών. regula qua plūbeus orbiculus regitur. χρωστῆρι. coloranti. καὶ λίθος. κίσηρις. γῆρυν. uocē & opinionem. σιδήρεον. σμίλην. διακονίην. ministerium aut nuncium.

## ΑΠΟ ΧΕΙΡΩΝΑΚΤΩΝ.

### Φιλίππου.

Αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον,
ῥίνην τε τρησίχρυσον ὀξυδήκτορα,
καὶ τὸν δίχηλον καρκίνον πυραγρέτην,
πῶκος πέδιλάς τε ξύστε λειψανηλόγους,
ὁ χρυσοτέκτων Δημοφῶν Κυλληνίῳ
ἔθηκε, γήρᾳ κανθὸν ἐζοφωμένος.

### Παγκρατίου.

Ἐκ πυρὸς ὁ ῥαιστὴρ, καὶ ὁ καρκίνος, ἥτε πυράγρη,
ἄγκειντ' Ἡφαίστῳ δῶρα Πολυκράτεος.
ᾧ πυκνὸν κροτέων ὑπὲρ ἄκμονος, εὕρετο παισὶν
ὄλβον, ὀϊζυρὴν ὠσάμενος πενίην.

### Φιλίππου.

Στάθμην ἰθυτενῆ μολιβαχθέα, δουροτυπῆ τε
σφῦραν, καὶ γυρὰς ἀμφιδέτους ἀρίδας,

καὶ στιβαρὸν πέλεκυν στελεχοτόμον, ἰθυδρομόν τε
πρίονα μιλτείῳ σάγματι πειθόμενον,
τρύπανα δ' ἑλκεσίχειρα, τορετρά τε, μιλτοθυρῆ τε
χοῖνον ὑπ' ἀκρονύχῳ ψαλλομένην κανόνι,
σοὶ κούρῃ γλαυκῶπι Λεόντιχος ὤπασε δῶρον,
ἄνθος ἐπεὶ γυίων πᾶν ἀπέλυσε χρόνος.

Λεωνίδου.

Θῆρις ὁ δαιδαλόχειρ τᾷ Παλλάδι πῆχυν ἀκαμπῆ
καὶ τετανὸν νώτῳ καμπτόμενον πρίονα,
καὶ πέλεκυν, ξυλόχον τε δίαγκα, καὶ περιαγὲς
τρύπανον, ἐκ τέχνας ἄνθος παυσάμενος.

φῦσαν. follem. τρισίχρυσον. scribendum opinor. λεσίχρυσον à uerbo τίνω. καρκίνον. forcipem. à similitudine brachiorum cancri. δίχηλον, bisulcum. σπόγγον πόδας. quibus scopem ac ramenta colligũt aurifices ac trapezia uerrunt. λεπτανολόγους. ὁ χρυσοτέκτων. aurifex. γήρᾳ. senio. κανθόν. oculos. ὁ καρκίνος. forceps, quo aureæ argenteæue laminæ ac bracteæ scinduntur. πυκνόν. densis ictibus. στάθμην. perpendiculum. μολιβοβαρῆ. plumbo depressum. ἀρίδας. Suidas & Pollux. μιλτείῳ σάγματι. minio. rubrica. χοῖνον. amussim colore tinctam quam paululum attollunt ac subinde demittunt ut casu lineam designet. ἄνθος. robur. πῆχυν ἀκαμπῆ. normam.

ΕΝ ΤΩΔΕ ΤΩ ΕΒΔΟΜΩ ΤΜΗΜΑΤΙ

περιέχεται ἑταιρικά τινα ἀποφθέγματα. τὰ μὲν, ὡς ἐγκώμια. τὰ δ' ὡς ἐπιστολαί. τὰ δ' ὡς ἂν ἕκαστον ἔτυχεν, ὅσα μὴ πρὸς τὸ ἀσεμνότερον, καὶ αἰσχρότερον ἀποκλίνει. τὰ γὰρ τοιαῦτα, πολλὰ ἐν τῷ ἀντιγράφῳ ὄντα, παρέλιπε φησὶν ὁ Πλανούδης.

# EPIGRAMMATVM GRAECORVM, IOANNIS BRODAEI TVRONENSIS SCHOLIIS illustratorum, Liber septimus.

ΜΕΛΕΑΓΡΟΥ.

ΗΔΥ μέλος ναὶ Πᾶνα τὸν ἀρκάδα πηκτίδι μέλπεις
Ζηνοφίλα λίγεια, ἁδὺ κρέκεις τι μέλος.
ποῖ σε φύγω; πάντη με περιστείχουσιν ἔρωτες,
οὐδ' ὅσον ἀμπνεῦσαι βαιὸν ἐῶσι χρόνον.
ἢ γάρ μοι μορφὴ βάλλει πόθον; ἢ πάλι μοῦσα,
ἢ χάρις, ἢ τί λέγω; πάντα πυρὶ φλέγομαι.

Τοῦ αὐτοῦ.

Ναὶ τὸν ἔρωτα, θέλω τὸ παρ' οὔασιν ἡλιοδώρας
φθέγμα κλύειν, ἢ τᾶς Λατοΐδεω κιθάρας.

Ἀδήλου.

Τίς, ῥόδον ὁ στέφανος Διονυσίου, ἢ ῥόδον αὐτὸς
τοῦ στεφάνου; δοκέω λείπεται ὁ στέφανος.

Μελεάγρου.

Ο στέφανος περὶ κρατὶ μαραίνεται ἡλιοδώρας.
αὐτὴ δ' ἐκλάμπει τοῦ στεφάνου στέφανος.

Τοῦ αὐτοῦ.

Ηδη λευκόϊον θάλλει, θάλλει δὲ φίλομβρος
νάρκισσος, θάλλει δ' οὐρεσίφοιτα κρίνα.
ἤδη δ' ἡ φιλέραστος ἐν ἄνθεσιν ὥριμον ἄνθος,
Ζηνοφίλα, πειθοῦς ἡδὺ τέθηλε ῥόδον.
λειμῶνες, τί μάταια κόμαις ἔπι φαιδρὰ γελᾶτε;
ἡ γὰρ παῖς, κρείσσων ἡδυπνόων στεφάνων.

Τοῦ αὐτοῦ.

Πλέξω λευκόϊον, πλέξω δ' ἁπαλοῖς ἅμα μύρτοις
νάρκισσον, πλέξω καὶ τὰ γελῶντα κρίνα,
πλέξω καὶ κρόκον ἡδύν. ἐπὶ πλέξω δ' ὑάκινθον
πορφυρέην, πλέξω καὶ φιλέραστα ῥόδα,
ὡς ἂν ἐπὶ κροτάφοις μυροβοστρύχου ἡλιοδώρας
εὐπλόκαμον χαίτην ἀνθοβολῇ στέφανος.

Τοῦ αὐτοῦ.

Φαμί ποθ' ἐν μύθοις τὰν εὔλαλον ἡλιοδώραν
νικάσειν αὐτὰς τὰς χάριτας χάρισιν.

Τοῦ αὐτοῦ.

Ὀξυβόαι κώνωπες, ἀναιδέες, αἵματος ἀνδρῶν
σίφωνες, ἀνδρῶν κνώδαλα διπτέρυγα,

Βαιὸν Ζηνοφίλαν λίτομαι, πάρεθ' ἥσυχον ὕπνον
    εὕδειν, τ' ἀμὰ δ' ἰδοὺ σαρκοφαγεῖτε μέλη.
καὶ τί πρὸς ἀκάτην αὐδῶ; καὶ θῆρες ἄτεγκτοι
    τέρπονται τρυφερῷ χρωτὶ χλιαινόμενοι.
ἀλλ' ἔτι νῦν προλέγω κακὰ θρέμματα, λήγετε τόλμης,
    ἢ γνώσεσθε χερῶν ζηλοτύπων δύναμιν.

Τοῦ αὐτοῦ.

Πταίης μοι κώνωψ ταχὺς ἄγγελος. οὔασι δ' ἄκροις
    Ζηνοφίλας ψαύσας, προσψιθύριζε τάδε,
ἄγρυπνος μίμνει σε. σὺ δ' ὦ λήθαργε φιλούντων
    εὕδεις. εἶα. πέτευ, ναὶ φιλόμουσε, πέτευ.
ἥσυχα δὲ φθέγξαι, μὴ καὶ σύγκοιτον ἐγείρας,
    κινήσῃς ἐπ' ἐμοὶ ζηλοτύπους ὀδύνας.
ἢν δ' ἀγάγῃς τὴν παῖδα, δορᾷ στέψω σε λέοντος
    κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον.

Τοῦ αὐτοῦ.

Ναὶ τὴν νηξαμένην χαροποῖς ἐνὶ κύμασι Κύπριν,
    ἐστὶ καὶ ἐκ μορφᾶς ἁ τρυφερὰ, τρυφερά.

Τοῦ αὐτοῦ.

Ἐντὸς ἐμῆς κραδίης τὴν εὔλαλον Ἡλιοδώραν
    ψυχὴν τῆς ψυχῆς ἔπλασεν αὐτὸς Ἔρως.

Σιμωνίδου.

Βοΐδιον αὐλητρὶς, καὶ Πυθιὰς, αἵ ποτ' ἐρασταὶ
    σοὶ Κύπρι, τὰς ζώνας, τάς τε γραφὰς ἔθεσαν.
ἔμπορε, καὶ φορτηγὲ, τὸ σὸν βαλάντιον οἶδεν
    καὶ πόθεν αἱ ζῶναι, καὶ πόθεν οἱ πίνακες.

Μελεάγρου.

Ἀνθοδίαιτε μέλισσα, τί μοι χροὸς Ἡλιοδώρας
    ψαύεις, ἐκπρολιποῦσ' εἰαρινὰς κάλυκας;
ἢ σύγε μηνύεις ὅτι καὶ γλυκὺ, καὶ δύσοιστον,
    πικρὸν ἀεὶ κραδίᾳ κέντρον Ἔρωτος ἔχει.
ναὶ δοκέω, τοῦτ' ἦν τοῦτ' ὦ φιλέραστε. παλίμπους
    στεῖχε. πάλαι τὴν σὴν οἴδαμεν ἀγγελίην.

Ἀδήλου.

Καὶ πυρὶ, καὶ νιφετῷ με, καὶ εἰ βούλοιο κεραυνῷ
    βάλλε, καὶ εἰς κρημνοὺς ἕλκε, καὶ εἰς πελάγη.
τὸν γὰρ ἀπαυδήσαντα, πόθοις, καὶ ἔρωτι δαμέντα,
    οὐδὲ Διὸς τρύχει πῦρ ἐπιβαλλόμενον.

Μελεάγρου.

Τὸ σκύφος ἡδὺ γέγηθε. λέγει δ' ὅτι τᾶς φιλέρωτος
    Ζηνοφίλας ψαύει τοῦ λαλίου στόματος.
ὄλβιον. εἴθ' ὑπ' ἐμοῖς χείλεσιν χείλεα θεῖσα,
    ἀπνευστὶ ψυχὰν τὰν ἐν ἐμοὶ προπίοι.

Τοῦ

Τοῦ αὐτοῦ.

Κηρύσσω τὸν ἔρωτα τὸν ἄγριον, ἄρτι γὰρ ἄρτι
ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκύς, ἀθαμβής,
σιμὰ γελῶν, πτερόεις νῶτα φαρετροφόρος.
πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος. οὔτε γὰρ αἰθήρ,
οὐ χθὼν φησὶ τεκεῖν τὸν θρασύν, οὐ πέλαγος.
πάντῃ γὰρ, καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐσορᾶτε
μήπου νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
καίτοι κεῖνος ἰδοὺ περὶ φωλεόν. οὔ με λέληθας
τοξότα, Ζηνοφίλας ὄμμασι κρυπτόμενος.

Τοῦ αὐτοῦ.

Πωλείσθω καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων,
πωλείσθω. τί δέ μοι τὸ θρασὺ τοῦτο τρέφειν;
καὶ γὰρ σιμὸν ἔφυ, καὶ ὑπόπτερον. ἄκρα δ' ὄνυξι
κνίζει. καὶ κλαῖον πολλὰ, μεταξὺ γελᾷ.
πρὸς δ' ἔτι λοιπὸν ἄθρεπτον, ἀείλαλον, ὀξὺ δεδορκὸς
ἄγριον, οὐδ' αὐτᾷ ματρὶ φίλᾳ τιθασόν.
πάντα τέρας. τοιγὰρ, πεπράσεται. εἴ τις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει, προσίτω.
καίτοι λίσσετ' ἰδοὺ δεδακρυμένος, οὔτι σε πωλῶ.
θάρσει. Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

Τοῦ αὐτοῦ.

Εἶπε Λυκαινίδι Δορκὰς, ἴδ' ὡς ἐπίτηκτα φιλοῦσα,
ἥλως. οὐ κρύπτει πλαστὸν ἔρωτα χρόνος.

Λεωνίδου.

Οὐκ ἀδικῶ τὸν ἔρωτα, γλυκύς, μαρτύρομαι αὐτὴν
κύπριν. βέβλημαι δ' ἐκ δολίου κέραος.
καὶ πᾶς τεφροῦμαι. θερμῷ δ' ἐπὶ θερμὸν ἰάλλει
ἄβακτον. λωφᾷ δ' οὐδ' ὅσον ἰοβόλος.
χὼ θνητὸς τὸν ἀλιτρὸν δηώκει. θνητὸς ὁ δαίμων;
τίσομαι, ἐγκλήμων δ' ἔσομ' ἀλεξάμενος.

Μελεάγρου.

Νὺξ μακρὴ, καὶ χεῖμα. μέσην δ' ἐπὶ πλειάδα δύνει
κἀγὼ πὰρ προθύροις νεῖσομαι ὑόμενος,
τρωθεὶς τῆς δολίης ἐλάφης πόθῳ. οὐ γὰρ ἔρωτα
Κύπρις, ἀνιηρὸν δ' ἐκ πυρὸς ἧκε βέλος.

Τοῦ αὐτοῦ.

Γυμνὴν ἢν ἐσίδῃς καλλίστιον ὦ ξένε φήσεις,
ἤλλακται διπλοῦν γράμμα συρηκοσίων.

Ποσειδίππου, ἢ ἀσκληπιάδου.

Αὐτοὶ τὴν ἁπαλὴν Εἰρήνιον εἶδον ἔρωτες,
Κύπριδος ἐκ χρυσέων ἐρχόμενοι θαλάμων,
ἐκ τριχὸς ἄχρι ποδῶν ἱερὸν θάλος, οἷά τε λυγδοῦ
γλυπτὴν, παρθενίων βριθομένην θαλάμων.

καὶ πολλοὺς τότε χερσὶν ἐπ' ἠιθέοισιν ὀϊστοὺς
τόξου πορφυρέης ἧκαν ἀφ' ἁρπεδόνης.

Μελεάγρου.

Ζηνοφίλα, κάλλος μὲν ἔρως. σύγκοιτα δὲ φίλτρα
Κύπρις ἔδωκεν ἔχειν. αἱ χάριτες δὲ, χάριν.

Τοῦ αὐτοῦ.

Ναὶ μὰ τὸν εὐπλόκαμον Τιμοῦς φιλέρωτα κίκιννον,
καὶ μυρόπνουν Δημοῦς χρῶτα τὸν ὑπναπάτην,
ναὶ πάλιν Ἰλιάδος φίλα παίγνια, ναὶ φιλάγρυπνον
λύχνον, ἐμῶν κώμων πολλὰ πιόντα μέλη,
βαιὸν ἔχω τό γε λειφθὲν ἔρως ὑπὸ χείλεσι πνεῦμα.
ἂν ἐθέλῃς, καὶ τοῦτ' εἰπὲ, καὶ ἐκπτύσομαι.

Ἀσκληπιάδου.

Αἱ σάμιαι Βιττὼ, καὶ Νάννιον, εἰς Ἀφροδίτης
φοιτᾶν τοῖς αὐτῆς οὐκ ἐθέλουσι νόμοις.
εἰς δ' ἕτερ' αὐτομολοῦσιν, ἃ μὴ καλά. δέσποτι Κύπρι
μίσει τὰς κοίτας τὰς παρὰ σοὶ φυγάδας.

Τοῦ αὐτοῦ.

Τῷ θαλλῷ Διδύμη με συνήρπασεν. ὤμοι ἐγὼ δὲ,
τήκομαι ὡς κηρὸς πὰρ πυρὶ κάλλος ὁρῶν.
εἰ δὲ μέλαινα, τί τοῦτο; καὶ ἄνθρακες. ἀλλ' ἂν ἐκείνους
θάλψωμεν, λάμπουσ' ὡς ῥόδεαι κάλυκες.

Ποσειδίππου,

Λίσσομ' ἔρως, τὸν ἄγρυπνον ἐμοὶ πόθον ἡλιοδώρας
κοίμισον, αἰδεσθεὶς μοῦσαν ἐμὴν ἱκέτιν.
ναὶ γὰρ δὴ τὰ σὰ τόξα, τὰ μὴ δεδιδαγμένα βάλλειν
ἄλλον, ἀεὶ δ' ἐπ' ἐμοὶ πτηνὰ χέοντα βέλη,
εἰ καί με κτείνῃς, λείψω φωνὴν προϊέντα
γράμματ', ἔρωτος ὅρα ξεῖνε μιαιφονίην.

Ἀγαθίου σχολαστικοῦ.

Εἰ φιλέεις, μὴ πάμπαν ὑποκλασθέντα χαλάσῃς
θυμὸν, ὀλισθηρῆς ἔμπλεον ἱκεσίης.
ἀλλά τι καὶ φρονέοις στεγανώτερον, ὅσον ἐρύσαι
ὀφρύας, ὅσον ἰδεῖν βλέμματι φειδομένῳ.
ἔργον γάρ τι γυναιξὶν ὑπερφιάλους ἀθερίζειν,
καὶ κατακαγχάζειν τῶν ἄγαν οἰκτροτάτων.
κεῖνος δ' ἐστὶν ἄριστος ἐρωτικὸς, ὃς τάδε μίξει
οἶκτον ἔχων ὀλίγῃ ξυνὸν ἀγηνορίῃ.

Παύλου σιλεντιαρίου.

Χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας
Ζεὺς, διαδὺς Δανάας χαλκελάτους θαλάμους.
φαμὶ λέγειν τὸν μῦθον ἐγὼ τάδε, χάλκεα νικᾷ
δάπεδα καὶ δεσμοὺς χρυσὸς ὁ πανδαμάτωρ

χρυσὸς ὅλους ῥητῆρας, ὅλας κληῖδας ἐλέγχει.
 χρυσὸς ἐπιγνάμπτει τὰς σοβαροβλεφάρους.
καὶ Δανάας ἐλύγωσεν ὅδε φρένα. μή τις ἐραστὰς
 λισσέσθω Παφίαν, ἀργύριον προέχων.

Ἀγαθίου σχολαστικοῦ.

Τὸν σοβαρὸν Πολέμωνα, τὸν ἐν θυμέλῃσι Μενάνδρου
 κείραντα γλυκεροὺς τῆς ἀλόχου πλοκάμους,
ὁ πλάστης Πολέμων μιμήσατο. καὶ τὰ ῥοδάνθη
 βόστρυχα παντόλμοις χερσὶν ἐληΐσατο.
καὶ τραγικοῖς ἄχεσι τὸ κωμικὸν ἔργον ἀμείψας
 μικρὸν ἔδει ῥαδινῆς ἄψεα θηλυτέρης.
ζηλομανὲς τὸ κόλασμα. τί γὰρ τόσον ἤλιτε κούρη,
 εἴ με καθοικτείρειν ἤθελε τειρόμενον;
σχέτλιος. ἀμφοτέρους δὲ διέτμαγε μέχρι καὶ αὐτοῦ
 βλέμματος, ἐνστήσας αἴθοπα βασκανίην.
ἀλλ' ἔμπης, τελέθει μισούμενος. αὐτὰρ ἔγωγε,
 δύσκολος, οὐχ ὁρόων τὴν περικειρομένην.

Τοῦ αὐτοῦ.

Εἰ καὶ νῦν πολιῇσι κατεύνασε, καὶ τὸ θαλυκρὸν
 κεῖνο κατημβλύνθη κέντρον ἐρωμανίης,
ὤφελον ὦ Κλεόβουλε πόθους νεότητος ἀθίγγους
 νῦν καὶ ἐποικτείρειν ὁπλοτέρων ὀδύνας,
μηδ' ἐπὶ τοῖς ξυνοῖς κοτέειν μέγα, μηδὲ κομάων
 τὴν ῥαδινὴν κούρην πάμπαν ἀπαγλαΐσαι.
ἀντίπατρος τῇ παιδὶ πάρος μεμέλητο ταλαίνῃ,
 καὶ νῦν ἐξαπίνης ἀντίπαλος γέγονας.

Παύλου σιλεντιαρίου.

Μέχρι τίνος φλογόεσσαν ὑποκλέπτοντες ὀπωπήν,
 φώριον ἀλλήλων βλέμμα τιτυσκόμεθα;
λεκτέον ἀμφαδίην μελεδήματα. κἤν τις ἐρύξῃ
 θράσσων, ἢ λέξας ἐχθρὸς ἔρωτος ἀνήρ,
φάρμακον ἀμφοτέροις ξίφος ἔσσεται. ἥδιον ἡμῖν
 ξυνὸν ἀεὶ μεθέπειν ἢ βίον, ἢ θάνατον.

Ἀγαθίου σχολαστικοῦ εἰς Ἀριάδνην
κιθαριστρίδα.

Εἴποτε μὲν κιθάρης ἐπαφήσατο πλῆκτρον ἔχουσα,
 κούρη Τερψιχόρης ἀντεμέλιξε μίτοις.
εἴποτε δὲ ῥαγικῷ ῥοιζήματι ῥήξατο φωνήν,
 αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο.
εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο, μᾶλλον ἂν αὐτή
 Κύπρις ἐνικήθη, κἂν ἐδίκαζε Πάρις.
σιγῇ ἐφ' ἡμείων, ἵνα μὴ Διόνυσος ἀκούσας,
 τῶν Ἀριαδνείων ζῆλον ἔχοι λεχέων.

Μακεδονίου ὑπάτου.

Φωσφόρε, μὴ τὸν ἔρωτα βιάζεο, μηδὲ διδάσκου
 ἄρεϊ γειτονέων, νηλεὲς ἦτορ ἔχειν.

ὡς δὲ

ὡς δὲ πάρος κλυμένης ὁρόων φαέθοντα μελάθρῳ,
οὐ δρόμον ὠκυπόδην ἦγεν ἀπ' ἀντολίης.
οὕτω μοι περὶ νύκτα μόγις ποθέοντι φανεῖσαν,
ἔρχεο δηθύνων, ὡς παρὰ κιμμερίοις.

Τοῦ αὐτοῦ.

Αὔξου ἔρως, κραδίης τε, καὶ ἥπατος. εἰδ' ἐπιθυμεῖς
βάλλειν, ἄλλο τί μου τῶν μελέων μετάβα.

Τοῦ αὐτοῦ.

Ἕλκος ἔχω τὸν ἔρωτα, ῥέει δέ μοι ἕλκεος ἰχὼρ
δάκρυον, ὠτειλῆς οὔποτε τερσομένης.
εἰμὶ καὶ ἐκ κακότητος ἀμήχανος. οὐδὲ μαχάων
ἤπιά μοι πάσσει φάρμακα δευομένῳ.
τήλεφός εἰμι κόρη. σὺ δὲ γίνεο πιστὸς ἀχιλλεύς.
κάλλεϊ σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

Παύλου σιλεντιαρίου.

Εἰπὲ τίνι πλέξεις ἔτι βόστρυχον, ἢ τίνι χεῖρας
φαιδρυνέεις, ὀνύχων ἀμφιτεμὼν ἀκίδα.
ἐς τί δὲ κοσμήσεις ἁλιανθέϊ φάρεα κόχλῳ,
μηκέτι Θεκλῆς ἐγγὺς ἰὼν ῥοδέης.
ὄμμασιν οἷς ῥοδόπην οὐ δέρκομαι, οὐδὲ φαεινῆς
φέγγος ἰδεῖν ἐθέλω χρύσεον ἠελίου.

Μακεδονίου ὑπάτου.

Τὴν Νιόβην κλαίουσαν ἰδών ποτε βουκόλος ἀνήρ,
θάμβεεν, εἰ λείβειν δάκρυον οἶδε λίθος.
αὐτὰρ ἐμὲ στενάχοντα τόσης ἐπὶ νυκτὸς ὁμίχλην
ἔμπνοος Εὐίππης οὐκ ἐλέαιρε λίθος.
αἴτιος ἀμφοτέροισιν ἔρως, ὀχετηγὸς ἀνίης,
τῇ Νιόβῃ τεκέων, αὐτὰρ ἐμοὶ, παθέων.

Παύλου σιλεντιαρίου.

Χρυσῆς εἰρύσασα μίαν τρίχα Δωρὶς ἐθείρης,
οἷα δορυκτήτους δῆσεν ἐμὰς παλάμας.
αὐτὰρ ἐγὼ, τὸ πρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι
Δωρίδος ἱμερτῆς εὐμαρὲς οἰόμενος.
ὡς δὲ διαρρῆξαι σθένος οὐκ ἔχον, ἔστενον ἤδη,
οἷά τε χαλκείῃ σφιγκτὸς ἀλυκτοπέδῃ.
καὶ νῦν ὁ τρισάποτμος ἀπὸ τριχὸς ἠέρτημαι
δεσπότις ἔνθ' ἐρύσῃ, πυκνὰ μεθελκόμενος.

Τοῦ αὐτοῦ.

Ὁ πρὶν ἀμαλθάκτοισιν ἐνὶ φρεσὶν ἡδὺν ἐν ἥβῃ
οἰστροφόρου Παφίης θεσμὸν ἀπειπάμενος,
γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν ἐρώτων,
αὐχένα σοι κλίνω Κύπρι μεσαιπόλιος.
δέξομαι καγχαλόωσα, σοφὴν ὅτι Παλλάδα νικᾷς
νῦν πλέον, ἢ τὸ πάρος μήλῳ ἐφ' ἑσπερίδων.

Τοῦ αὐτοῦ.

Ναὶ τάχα Ταντάλεως ἀχερόντια πήματα ποινῆς
 ἡμετέρων ἀχέων ἦεν ἐλαφρότερα.
οὐ γὰρ ἰδὼν σέο κάλλος ἀπείργετο χείλεα μῖξαι
 χείλεϊ σῷ ῥοδέων ἀβροτέρῳ καλύκων
Τάνταλος ἀκριτόδακρυς. ὑπερτέλλοντα δὲ πέτρον
 δείδιεν. ἀλλὰ θανεῖν δεύτερον οὐ δύναται.
αὐτὰρ ἐγώ, ζωὸς μὲν ἐών, κατατήκομαι οἴστρῳ.
 ἐκ δ᾽ ὀλιγοδρανίης, καὶ μόρον ἐγγὺς ἔχω.

Τοῦ αὐτοῦ.

Ἐσβέσθη φλογεροῖο πυρὸς μένος. οὐκ ἔτι κάμνω,
 ἀλλὰ καταφθινύθω, ψυχόμενος ῥαφίη.
ἤδη γὰρ μετὰ σάρκα, δι᾽ ὀστέα, καὶ φρένας ἕρπει,
 παμφάγον ἀσθμαίνων οὗτος ὁ πικρὸς ἔρως.
καὶ φλὸξ ἐν τελεταῖς ὅτε θύματα πάντα λαφύξει,
 φορβῆς ἡ μανίη ψύχεται αὐτόματος.

Τοῦ αὐτοῦ.

Ὤμοσα μιμνάζειν σέο τηλόθεν, ἀργέτι κούρη,
 ἄχρι δυωδεκάτης, ὦ πόποι, ἠριπόλης.
οὐδ᾽ ἔτλην ὁ τάλας. τὸ γὰρ αὔριον ἄμμι φαάνθη
 τηλοτέρω μήνης, ναὶ μὰ σέ, δωδεκάτης.
ἀλλὰ θεοὺς ἱκέτευε φίλη, μὴ ταῦτα χαράξαι
 ὅρκια, πινακῆς νῶτον ὑπὲρ σελίδος.
θέλγε δὲ σαῖς χαρίτεσσιν ἐμὴν φρένα. μὴ δέ με μάστιξ
 πότνια, καὶ κατασμύξῃ καὶ σέο, καὶ μακάρων.

Τοῦ αὐτοῦ.

Διπλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις
 ἕσπερος, ὑβριστὴν μῦθον ἐπιδεξαμένη.
ὕβρις ἔρωτας ἔλυσε. μάτην ὅδε μῦθος ἀλᾶται.
 ὕβρις ἐμὴν ἔρεθει μᾶλλον ἐρωμανίην.
ὤμοσα γὰρ λυκάβαντα μένειν ἀπάνευθεν ἐκείνης.
 ὦ πόποι, ἀλλ᾽ ἱκέτης πρώϊος εὐθὺς ἔβην.

Τοῦ αὐτοῦ.

Ἡ σὸν ἔτι φθινόπωρον ὑπέρτερον εἴαρος ἄλλης,
 χεῖμα σὸν ἀλλοτρίου θερμότερον θέρεος.

Τοῦ αὐτοῦ.

Κεκρύφαλοι σφίγγουσι τεὴν τρίχα. τήκομαι οἴστρῳ
 Ῥείης πυργοφόρου δείκελον εἰσορόων.
ἀσκεπὲς ἔστι κάρηνον; ἐγὼ ξανθίσματι χαίτης,
 ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον.
ἀργεννοῖς ὀθόνῃσι κατήορα βόστρυχα κεύθεις;
 οὐδὲν ἐλαφροτέρη φλὸξ κατέχει κραδίην.
μορφὴν τριχθαδίην, χαρίτων τριὰς ἀμφιπολεύει.
 πᾶσα δέ μοι μορφὴ πῦρ ἴδιον προχέει.

Τοῦ αὐτοῦ.

Φεῦ, φεῦ, καὶ τὸ λάλημα τὸ μείλιχον ὁ φθόνος εἴργει
βλέμματι λαθριδίως φθεγγομένων βλεφάρων.
ἱστάμενοι δ' ἄγχιστα, τεθήπαμεν ὄμμα γεραιῆς,
οἷα πολύγληνον βουκόλον Ἰναχίης.
ἵστασο, καὶ σκοπίαζε, μάτην δὲ σὸν ἦτορ ἀμύσσου.
οὐ γὰρ ἐπὶ ψυχὴν ὄμμα τεὸν τανύσεις.

Τοῦ αὐτοῦ.

Ανδρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ,
ὕδασι θηρείην εἰκόνα φασὶ βλέπειν.
λυσσώων τάχα πικρὸν ἔρως ἐνέπηξεν ὀδόντα
εἰς ἐμὲ, καὶ μανίαις θυμὸν ἐληΐσατο.
σὴν γὰρ ἐμοὶ καὶ πόντος ἐπήρατον εἰκόνα φαίνει,
καὶ ποταμῶν δῖναι, καὶ δέπας οἰνοχόον.

Τοῦ αὐτοῦ.

Μηκέτι τὶς πτήξειε πόθου βέλος. ἰοδόκην γὰρ
εἰς ἐμὲ λάβρος ἔρως ἐξεκένωσεν ὅλην.
μὴ πτερύγων τρομέοι τὶς ἐπήλυσιν. ἐξότε γάρ μοι
λὰξ ἐπιβὰς, στέρνοις πικρὸν ἔπηξε πόδα,
ἀστεμφὴς, ἀδόνητος ἐνέζεται. οὐδὲ μετέστη,
εἰς ἐμὲ συζυγίην κειράμενος πτερύγων.

Τοῦ αὐτοῦ.

Οὔτε ῥόδον στεφάνων ἐπιδεύεται, οὔτε σὺ πέπλων,
οὔτε λιθοβλήτων πότνια κεκρυφάλων.
μάργαρα σῆς χροιῆς ἀπολείπεται, οὐδὲ κομίζει
χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην.
ἰνδῴη δ' ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης,
ἀλλὰ τεῶν λογάδων πολλὸν ἀφαυροτέρην.
χείλεα δὲ δροσόεντα, καὶ ἡ μελίφυρτος ἐκείνη
ῥήθεος ἁρμονίη, κεστὸς ἔφυ Παφίης.
τούτοις πᾶσιν ἐγὼ καταδάμναμαι. ὄμμασι μούνοις
θέλγομαι, οἷς ἐλπὶς μείλιχος ἐνδιάει.

Τοῦ αὐτοῦ.

Τὴν, πρὶν ἐνεσφρήγισσεν ἔρως θρασὺς εἰκόνα μορφῆς
ἡμετέρης θερμῷ βένθεϊ σῆς κραδίης,
φεῦ, φεῦ, νῦν ἀδόκητος ἀπέπτυσας. αὐτὰρ ἐγώ τοι,
γραπτὸν ἔχω ψυχῇ σῆς τύπον ἀγλαΐης.
τοῦτον καὶ φαέθοντι, καὶ ἀΐδι βάρβαρε λέξω,
κρῆσσαν ἐπισπέρχων εἰς σὲ δικασπολίην.

Τοῦ αὐτοῦ,

Δηθύνει Κλεοφάντις. ὁ δὲ τρίτος ἄρχεται ἤδη
λύχνος ὑποκλάζειν, ἦκα μαραινόμενος.
αἴθε δὲ καὶ κραδίης πυρσὸς συναπέσβετο λύχνῳ,
μηδέ μ' ὑπ' ἀγρύπνοις δηρὸν ἔκαιε πόθοις.

ἆ, πόσα τὴν Κυθέρειαν ἐπώμοσεν ἑσπέριος ἐλθεῖν·
ἀλλ' οὔτ' ἀνθρώπων φείδεται, οὔτε θεῶν.

Τοῦ αὐτοῦ.

Χθιζά μοι Ἑρμώνασσα φιλακρήτους μετὰ κώμους,
στέμμασιν αὐλείας ἀμφιπλέκοντι θύρας,
ἐκ κυλίκων ἐπέχυεν ὕδωρ, ἀμάθυνε δὲ χαίτην,
ἣν μόλις εἰς τριτάτην πλέξαμεν ἀμφιλύκην.
ἐφλέχθην δ' ἔτι μᾶλλον ὑφ' ὕδατος. ἐκ γὰρ ἐκείνης
λάθριον εἶχε κύλιξ πῦρ γλυκερῶν στομάτων.

Τοῦ αὐτοῦ.

φράζεό μοι Κλεοφαντί, ὅσαι χάριες, ὁππότε δισσοὺς
λαῦρον ἐπαυγίζων ἴσος ἔρως κλονέει.
ποῖος ἄρης, ἢ τάρβος ἀπείριτον, ἤ τις αἰδὼς
τούσδε διακρῖναι πλέγματα βαλλομένους.
εἴη μοι μελέεσσι τὰ Λήμνιος ἥρμοσεν ἄκμων
δεσμά, καὶ Ἡφαίστου πᾶσα δολορραφίη.
μοῦνον ἐγὼ χρυσέεσσα, τεὸν δέμας ἀγκὰς ἑλίξας,
θελγοίμην ἐπὶ σοῖς ἄψεσι βουλόμενος,
δὴ τότε καὶ ξεῖνός με, καὶ ἐνδάπιος, καὶ ὁδίτης,
πότνια, καὶ ἀρητὴρ, χἠ παράκοιτις, ἴδοι.

Τοῦ αὐτοῦ.

Ἐξότε μοι πίνοντι συνεστιάουσα Χαρικλὼ,
λάθρῃ τοὺς ἰδίους ἀμφέβαλε στεφάνους,
πῦρ ὀλοὸν δάπτει με. τὸ γὰρ στέφος ὥς δοκέω τι
εἶχεν, ὃ καὶ Γλαύκην φλέξε Κρεοντιάδα.

Τοῦ αὐτοῦ.

Ὁ θρασὺς, ὑψαύχην τε, καὶ ὀφρύας εἰς ἓν ἀγείρων,
κεῖται παρθενικῆς παίγνιον ἀδρανέος.
ὁ πρὶν ὑπερβασίῃ δοκέων τὴν παῖδα χαλέπτειν,
αὐτὸς ὑποδμηθεὶς, ἐλπίδος ἐκτὸς ἔβη.
καί ῥ' ὁ μὲν, ἱκεσίοισι πεσὼν θηλύνεται οἴκτοις.
ἡ δὲ, κατ' ὀφθαλμῶν ἄρσενα μῆνιν ἔχει.
παρθένε θυμολέαινα, καὶ εἰ χόλον ἔνδικον ἔχεις.
σβέσον ἀγηνορίην. ἐγγὺς ἴδ' ἣν νέμεσιν.

Τοῦ αὐτοῦ πέμψαντος ἰχθὺν κόρῃ.

Εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις,
πτηνὸς ἔρως πτηνῷ κεῖσε τάχει με φέρει.
εἰ καὶ ἐς ἀντολίην πρὸς ὁμόχροον ἵξεαι ἠῶ,
πεζὸς ἀμετρήτοις ἕψομαι ἐν σταδίοις.
εἰ δέ τι σοι στέλλω βύθιον γέρας, ἵλαθι κούρη,
εἰς σὲ θαλασσαίη τοῦτο φέρει Παφίη,
κάλλεϊ νικηθεῖσα τεοῦ χροὸς ἱμερόεντι
τὸ πρὶν ἐπ' ἀγλαΐῃ θάρσος ἀπωσαμένη.

Τοῦ αὐτοῦ.

Ὀφθαλμοὶ, τέο μέχρις ἀφύσσετε νέκταρ ἐρώτων
κάλλεος ἀκρήτου ζωροπόται θρασέες;

πάλι διαθρέξωμεν, ὅποι δρόμος. ἐν δὲ γαλήνῃ,
νηφάλια σπείσω Κύπριδι μειλιχίῃ,
εἰ δ' ἄρα που καὶ κεῖθι κατάσχετος ἔσομαι οἴστρῳ,
γίνεσθε κρυεροῖς δάκρυσι μυδαλέοι,
ἔνδικον ὀτλεύοντες ἀεὶ πόνον. ἐξ ὑμέων γὰρ,
φεῦ, πυρὸς ἐς πόσσην ἤλθομεν ἐργασίην.

Τοῦ αὐτοῦ.

Ἱππομένην φιλέουσα, νόον προσέρεισα Λεάνδρῳ·
ἐν δὲ Λεανδρείοις χείλεσι πηγνυμένη
εἰκόνα τὴν Ξάνθοιο φέρω φρεσί. πλεξαμένη δὲ
Ξάνθον, ἐς Ἱππομένην νόστιμον ἦτορ ἄγω.
πάντα τὸν ἐν παλάμῃσιν ἀναίνομαι. ἄλλοτε δ' ἄλλον
αἰὲν ἀμοιβαίοις πήχεσι δεχνυμένη
ἀφνειὴν Κυθέρειαν ὑπέρχομαι. εἰ δέ τις ἡμῖν
μέμφεται, ἐν πενίῃ μιμνέτω οἰογάμῳ.

Μακεδονίου ὑπάτου.

Τὸ στόμα ταῖς χαρίτεσι, προσώπατα δ' ἄνθεσι βάλλεις.
ὄμματα τῇ Παφίῃ, τὴν χέρα, τῇ κιθάρῃ.
σκυλεύεις βλεφάρων φάος ὄμμασιν. οὔατα ἀοιδῇ.
πάντοθεν ἀγρεύεις τλήμονας ἠϊθέους.

Τοῦ αὐτοῦ.

Τὸ ξίφος ἐκ κολεοῖο τί σύρεται; οὐ μὰ σὲ κούρη,
οὐχ ἵνα τι πρήξω Κύπριδος ἀλλότριον,
ἀλλ' ἵνα σοι τὸν Ἄρηα, καὶ ἀζαλέον περ ἐόντα,
δείξω τῇ μαλακῇ Κύπριδι πειθόμενον.
οὗτος ἐμοὶ πενθέοντι συνέμπορος. οὐδὲ κατόπτρου
δεύομαι. ἐν δ' αὐτῷ δέρκομαι αὐτὸν ἐγώ.
καὶ καλὸς ὡς ἐν ἔρωτι. σὺ δ' ἢν ἀπ' ἐμεῖο λυθείης,
τὸ ξίφος ἡμετέρην δύσεται ἐς λαγόνα.

Τοῦ αὐτοῦ.

Τῷ χρυσῷ τὸν ἔρωτα μετέρχομαι. οὐ γὰρ ἀρότρῳ
ἔργα μελισσάων γίγνεται, ἢ σκαπάνῃ,
ἀλλ' ἔαρι δροσερῷ. μέλιτος γέμεν ἀφρογενείης,
ὁ χρυσὸς τελέθει ποικίλος ἐργατίνης.

Τοῦ αὐτοῦ.

Κιχλίζεις, χρεμέτισμα γάμου προκέλευθον ἐεῖσα.
ἥσυχά μοι νεύεις, πάντα μάτην ἐρέθεις.
ὤμοσα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις,
μή ποτε μειλιχίοις ὄμμασιν εἰσιδέειν.
πλῆξε μόνη τὸ φίλημα, μάτην πόππυζε σεαυτῇ,
χείλεσι γυμνοτάτοις οὔ τινι μιγνυμένοις.

Τοῦ αὐτοῦ.

Παρμενὶς οὐκ ἔργῳ. τὸ μὲν οὔνομα καλὸν ἀκούσας
ᾠισάμην. σὺ δέ μοι πικροτέρη θανάτου.

καὶ φεύγεις φιλέοντα, καὶ οὐ φιλέοντα διώκεις,
ὄφρα πάλιν κεῖνον τὸν φιλέοντα φύγοις.

Ἀγαθίου σχολαστικοῦ.

Πᾶσαν ἐγὼ τὴν νύκτα κινύρομαι. εὖτε δ' ἐπέλθῃ
ὄρθρος ἐλινύσαι μικρὰ χαριζόμενος,
ἀμφιπεριτρύζουσι χελιδόνες. ἐς δέ με δάκρυ
βάλλουσι, γλυκερὸν κῶμα παρωσάμεναι.
ὦ φθονεραὶ παύσασθε λαλητρίδες. οὐ γὰρ ἔγωγε
τὴν φιλομηλείην γλῶσσαν ἀπεθρισάμην.
ἀλλ' ἴτυλον κλαίοιτε κατ' οὔρεα, καὶ γοάοιτε
εἰς αἶπος, κραναὴν αὖλιν ἐφεζόμεναι,
βαιὸν ἵνα κνώσσοιμεν ἴσως δέ τις ἥξει ὄνειρος,
ὅς με ῥοδανθέοις πήχεσιν ἀμφιβάλοι.

Τοῦ αὐτοῦ.

Σῴζεό σοι μέλλων ἐνέπειν, παλίνορσον ἰωὴν
ἂψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω.
σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν, οἷά τε πικρὴν
νύκτα καταπτήσσω τὴν ἀχεροντιάδα.
ἤματι γὰρ σέο φέγγος ὁμοίϊον. ἀλλὰ τὸ μέν που,
ἄφθογγον. σὺ δέ μοι, καὶ τὸ λάλημα φέρεις,
κεῖνο, τὸ σειρήνων γλυκερώτερον. ᾧ ἔπι πᾶσαι
εἰσὶν ἐμῆς ψυχῆς ἐλπίδες ἐκκρεμέες.

Τοῦ αὐτοῦ.

Εἰμὶ μὲν οὐ φιλόοινος. ὅταν δ' ἐθέλῃς με μεθύσαι,
πρῶτα σὺ γευομένη πρόσφερε, καὶ δέχομαι.
εἰ γὰρ ἐπιψαύσεις τοῖς χείλεσιν, οὐκέτι νήφειν
εὐμαρὲς, οὐδὲ φυγεῖν τὸν γλυκὺν οἰνοχόον.
πορθμεύει γὰρ ἔμοιγε κύλιξ παρὰ σεῦ τὸ φίλημα,
καί μοι ἀπαγγέλλει τὴν χάριν, ἣν ἔλαβεν.

Τοῦ αὐτοῦ.

Μήποτε λύχνε μύκητα φέροις, μηδ' ὄμβρον ἐγείροις
μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον.
αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι. καὶ γὰρ ὅτ' Ἡρὼ
ἥρμοσε Λεάνδρῳ. θυμὲ, τὸ λοιπὸν ἔα.
ἡφαίστου τελέθεις. καὶ πείθομαι, ὅττι χαλέπτων
Κύπριδι, θωπεύεις δεσποτικὴν ὀδύνην.

Τοῦ αὐτοῦ.

Τί στενάχεις; φιλέω. τίνα; παρθένον. ἦ ῥά γε καλήν;
καλὴν ἡμετέροις ὄμμασι φαινομένην.
ποῦ δέ μιν εἰσενόησας; ἐκεῖ ποτὶ δεῖπνον ἐπελθὼν,
ξυνῇ κεκλιμένην ἔδρακον ἐν στιβάδι.
ἐλπίζεις δὲ τυχεῖν; ναὶ, ναὶ, φίλος. ἀμφαδίην δὲ
οὐ ζητῶ φιλίην, ἀλλ' ὑποκλεπτομένην.
τὸν νόμιμον μᾶλλον φεύγεις γάμον; ἀτρεκὲς ἔγνων
ὅττι γε τῶν κτεάνων πουλὺ τὸ λειπόμενον.

ἔγνως. οὐ φιλέεις. ἐψεύσαο. πῶς δύναται γὰρ
ψυχὴ ἐρωμανέειν, ὀρθὰ λογιζομένη;

Τοῦ αὐτοῦ.

Δισσῶν θηλυτέρων μοῦνός ποτε μέσσα καθεύδων,
τῆς μέν, ἐφιμείρων, τῇ δέ, χαριζόμενος.
εἷλκε δέ μ' ἡ φιλέουσα. πάλιν δ' ἐγὼ οἷά τε τὶς φώς,
χείλεϊ φειδομένῳ τὴν ἑτέρην ἐφίλουν.
ζῆλον ὑποκλέπτων φιλογάκου, ἧς τὸν ἔλεγχον,
καὶ τὰς λυσιπόθους ἔτρεμον ἀγγελίας.
ὀχθήσας δ' ἄρ' ἔειπον, ἐμοὶ τάχα καὶ τὸ φιλεῖσθαι,
ὡς τὸ φιλεῖν, χαλεπὸν δισσὰ κολαζομένῳ.

Τοῦ αὐτοῦ.

Η πάρος ἀγλαΐῃσι μετάρσιος, ἡ πλοκαμῖδας
σειομένη πλέκτας, καὶ σοβαρευομένη,
ἡ μεγαλαυχήσασα καθ' ἡμετέρης μελεδώνης,
χεῖρας ῥικνώθη. τὴν πρὶν ἀφῆκε χάριν.
μαζὸς ὑπεκλίνθη. πέσον ὀφρύες. ὄμμα τέτηκται.
χείλεα βαμβαίνει φθέγματι γηραλέῳ.
τὴν πολιήν, καλέω νέμεσιν πόθου, ὅτι δικάζει
ἔννομα, ταῖς σοβαραῖς θᾶσσον ἐπερχομένη.

Τοῦ αὐτοῦ.

Αὐτή μοι Κυθέρεια, καὶ ἱμερόεντες ἔρωτες,
τήξουσιν κενεὴν ἀχθόμενοι κραδίην.
ἄρσενας εἰ ποθέσω φιλέειν ποτέ. μήτε τυχήσω,
μήτ' ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
ἄρκια θηλυτέρων ἀλιτήματα. κεῖνα κομίσσω.
καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

Τοῦ αὐτοῦ.

Η ῥά γε καὶ σὺ Φίλιννα φέρεις πόθον; ἦ ῥά καὶ αὐτὴ
κάμνεις αὐαλέοις ὄμμασι τηκομένη;
ἢ σὺ μέν, ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
φροντίδος, οὔτε λόγος γίγνεται, οὔτ' ἀριθμός.
εὑρήσεις τὰ ὅμοια, τεὴν δ' ἀμέγαρτε παρειὴν,
ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
Κύπρις γὰρ τὰ μὲν ἄλλα, παλίγκοτος. ἓν δέ τι καλὸν
ἔλλαχεν, ἐχθαίρει τὰς σοβαρευομένας.

Τοῦ αὐτοῦ.

Η ῥαδινὴ Μελίτη, τανάου ἤδη γήραος οὐδῷ
τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν,
ἀλλ' ἔτι μαρμαίρουσι παρηΐδες. ὄμμα δὲ θέλγον
οὐ λάθε. τῶν δ' ἐτέων ἡ δεκάς, οὐκ ὀλίγη.
μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν. ἐνθάδε δ' ἔγνων
ὅττι φύσιν νικᾶν ὁ χρόνος οὐ δύναται.

Τοῦ αὐτοῦ.

Σπεύδων εἰ φιλέει με μαθεῖν εὐῶπις Ἐρευθώ,
πείραζον κραδίην πλάσματι κερδαλέῳ.
βήσομαι δὴ ξείνην τινὰ πού χθόνα. μίμνε δὲ κούρη
λέξω, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.
ἡ δὲ, μέγα στονάχησε, καὶ ἥλατο, καὶ τὸ πρόσωπον
πλῆξε, καὶ εὐπλέκτου βότρυν ἔρηξε κόμης.
καί με μένειν ἱκέτευεν. ἐγὼ δέ τις ὡς βραδυπειθὴς
ὄμματι θρυπτομένῳ συγκατένευσα μένειν.
ὄλβιος εἰς πόθον εἰμί. τὸ γὰρ μενέαινον ἀνύσσαι,
πάντῃ εἰς μεγάλην τοῦτο δέδωκε χάριν.

Τοῦ αὐτοῦ πρὸ τῆς πόλεως διάγοντος διὰ τὰ
λύσιμα τῶν νόμων ὑπομνηστικὸν πρὸς
Παῦλον σιλεντιάριον.

Ενθάδε μὲν χλοάουσα τεθηλότι βῶλος ὀράμνῳ,
φυλλάδος εὐκάρπου πᾶσαν ἔδειξε χάριν.
ἐνθάδε δὲ κλάζουσιν ὑπὸ σκιεραῖς κυπαρίσσοις
ὄρνιθες, δροσερῶν μητέρες ὀρταλίχων,
καὶ λιγυρὸν βομβεῦσιν ἀκανθίδες. ἡ δ' ὀλολυγὼν
τρύζει τρηχαλέαις ἐνδιάουσα βάτοις.
ἀλλὰ τί μοι τῶν ἦδος; ἐπεὶ σέο μῦθον ἀκούειν
ἤθελον, ἢ κιθάρης κρούματα Δηλιάδος.
καί μοι δισσὸς ἔρως περικίδναται. εἰσοράαν γὰρ
καὶ σὲ μάκαρ ποθέω, καὶ γλυκερὴν δάμαλιν,
ἧς με περιτρύχουσι μεληδόνες. ἀλλά με θεσμοὶ
εἴργουσιν ῥαδινῆς τηλόθι δορκαλίδος.

Παύλου σιλεντιαρίου ἀντίγρα-
φα εἰς αὐτό.

Θεσμὸν ἔρως οὐκ οἶδε βιημάχος, οὐδέ τις ἄλλη
ἀνέρα νοσφίζει πρῆξις ἐρωμανίης.
εἰ δέ σε θεσμοπόλοιο μεληδόνος ἔργον ἐρύκει,
οὐκ ἄρα σοὶ κρυόεις λάβρος ἔνεστιν ἔρως.
ποῖος ἔρως, ὅτε βαιὸς ἁλὸς πόρος οἶδε μερίζειν
σὸν χρόα, παρθενικῆς τηλόθεν ὑμετέρης;
νηχόμενος Λείανδρος, ὅσον κράτος ἐστὶν ἐρώτων,
δείκνυεν, ἐννυχίου κύματος οὐκ ἀλέγων.
σοὶ δὲ φίλος, παρέασι καὶ ὁλκάδες· ἀλλὰ θαμίζεις
μᾶλλον Ἀθηναίῃ, Κύπριν ἀπωσάμενος.
θεσμοὺς, Παλλὰς ἔχει, Παφίη, πόθον. εἰπὲ τίς ἀνὴρ
ἐν ἑνὶ θητεύσει Παλλάδι, καὶ Παφίῃ;

Ἀγαθίου σχολαστικοῦ.

Ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
ταῖς ἁπαλοψύχοις ἔχεται θηλυτέραις.
τοῖς μὲν γὰρ παρέασιν ὁμήλικες, οἷς τὰ μερίμνης
ἄλγεα, μυθεῦνται φθέγματι θαρσαλέῳ.

παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς
πλάζονται, γραφίδων χρώμασι ῥεμβόμενοι.
ἡμῖν δ' οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
κρυπτόμεθα, ζοφεραῖς φροντίσι τηκόμεναι.

Τοῦ αὐτοῦ.

Μηδὲν ἄγαν σοφὸς εἶπεν, ἐγὼ δέ τις ὡς ἐπέραστος,
ὡς καλός, ἠγάλλουν ταῖς μεγαλοφροσύναις.
καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
κεῖσθαι τῆς κούρης τῆς τάχα κερδαλέης.
ἡ δ' ὑπερηέρθη. σοβαρὴν δ' ὑπερέσχεθεν ὀφρύν,
ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.
καὶ νῦν ὁ βλοσυρωπός, ὁ χάλκεος, ὁ βραδυπειθής,
ὁ πρὶν ἀερσιπέτης, ἥττημαι ἐξαπίνης.
πάντα δ' ἔναλλα γένοντο. πεσὼν δ' ἐπὶ γούνασι κούρης,
ἴαχον, ἱλήκοις, ἤλιτεν ἡ νεότης.

Τοῦ αὐτοῦ.

Ποίην τις πρὸς ἔρωτας ἴοι τρίβον; ἐν μὲν ἀγυιαῖς,
μαχλάδος οἰμώξεις χρυσομανῆ σπατάλην.
εἰ δ' ἐπὶ παρθενικῆς πελάσεις λέχος, ἐς γάμον ἥξεις
ἔννομον, ἢ ποινὰς τὰς περὶ τῶν φθορέων.
κουριδίαις δὲ γυναιξὶν ἀτερπέα Κύπριν ἐγείρειν,
τίς κεν ὑποτλαίη, πρὸς χρέος ἑλκόμενος;
μοίχια λέκτρα κάκιστα, καὶ ἔκτοθέν εἰσιν ἐρώτων.
ὧν μέτα, παιδομανὴς κείσθω ἀλιτροσύνη.
χήρη δ' ἡ μὲν ἄκοσμος, ἔχει πάνδημον ἐραστήν,
καὶ πάντα φρονέει δήνεα μαχλοσύνης.
ἡ δὲ σαοφρονέουσα, μόλις φιλότητι μιγεῖσα,
δέχνυται ἀστόργου κέντρα παλιμβολίης,
καὶ στυγέει τὸ τελεσθέν. ἔχουσα δὲ λείψανον αἰδοῦς
ἄψ ἐπὶ λυσιγάμους χάζεται ἀμβολίας.
ἢν δὲ μιγῇς ἰδίῃ θεραπαινίδι, τλῆθι καὶ αὐτὸς,
δοῦλος ἐναλλάγδην δμωΐδι γιγνόμενος.
εἰ δὲ καὶ ὀθνείῃ, τότε σοι νόμος αἶσχος ἀνάψει,
ὕβριν ἀνιχνεύων σώματος ἀλλοτρίου.
πάντ' ἄρα Διογένης ἔφυγεν τάδε. τὸν δ' ὑμέναιον
ἤειδεν παλάμῃ, Λαΐδος οὐ χατέων.

Αγλωαίου ῥαιφερνδαρίου.

Ὄμματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν.
χείλεα δ' ἀκροβαφῆ λοξὰ παρεκτανύεις.
καὶ πολὺ κιχλίζουσα, σοβεῖς εὐβόστρυχον αἴγλην.
ἐκχυμένας δ' ὁρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος.
οὔπω ἐθηλώθης οὐδὲ μαραινομένη.

Παλλαδᾶ.

Νῦν καταγιγνώσκω καὶ τοῦ Διὸς ὡς ἀνάνδρου,
μὴ μεταβαλλομένου τῆς σοβαρᾶς ἕνεκεν.

οὔτε γὰρ Εὐρώπης, οὐ δὲ Δανάης πόθει κάλλος,
οὐδ' ἁπαλῆς Λήδης ἐς ἀέρα λειπομένης.
ἐμὴ τὰς πόρνας παραπέμπεται, οἶδα γὰρ αὐτὸν
τὸν βασιλευουσῶν παρθενικῶν φθορέα.

Ἐρατοσθένους σχολαστικοῦ.

Ἄρσενας ἄλλος ἔχοι. φιλέειν δ' ἐγὼ οἶδα γυναῖκας
τὴν χρονίην φιλίην οἷα φυλασσομένας.
οὐ καλὸν ἡβητῆρσιν. ἀπεχθαίρω γὰρ ἐκείνην
τὴν τρίχα τὴν φθονερήν, τὴν ταχὺ φυομένην.

Λεοντίου.

Ψαῦε μελισταγέων στομάτων Λέμας. εὗρες, ἄμελγε·
οὐ φθονέω. τὴν σὴν δ' ἤθελον αἶσαν ἔχειν.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων αἰγυπτίου.

Ἱμερτὴ Μαρίη μεγαλίζεται. ἀλλὰ μετέλθοις
κείνης πότνα Δίκη κόμπον ἀγηνορέης.
μὴ θανάτῳ βασίλεια. τὸ δ' ἔμπαλιν, ἐς τρίχας ἥξοι
γῆρας. ἐς ῥυτίδων σκληρὸν ἵκοιτο ῥέθος.
τίσειαν πολιαὶ τάδε δάκρυα. κάλλος ὑπόσχοι
ψυχῆς ἀμπλακίην, αἴτιον ἀμπλακίης.

Φιλοδήμου.

Δακρύεις. ἐλεεινὰ λαλεῖς. περίεργα θεωρεῖς.
ζηλοτυπεῖς. ἅπτῃ πολλάκι. πυκνὰ φιλεῖς.
ταῦτα μὲν ἐστιν ἐρῶντος, ὅταν δ' εἴπω παράκειμαι
καὶ σὺ μένεις ἁπλῶς, οὐδὲν ἐρῶντος ἔχεις.

Τοῦ αὐτοῦ.

Μῆλον ἐγώ. βάλλει με φιλῶν σέ τις. ἀλλ' ἐπίνευσον
Ξανθίππη. κἀγώ, καὶ σύ, μαραινόμεθα.

Τοῦ αὐτοῦ.

Τὸν σιγῶντα φιλαινὶ, συνίστορα τῶν ἀλαλήτων
λύχνον, ἐλαιηρῆς ἐκμεθύσασα δρόσου,
ἔξιθι. μαρτυρίην γὰρ ἔρως μόνος οὐκ ἐφίλησεν
ἔμπνουν, καὶ πυκτὴν κλεῖε φιλαινὶ, θύραν.

Τοῦ αὐτοῦ.

Νὺξ ἱερή, καὶ λύχνε, συνίστορας οὔ τινας ἄλλους
ὅρκοις, ἀλλ' ὑμέας εἰλόμεθ' ἀμφότεροι.
χὠ μὲν ἐμὲ στέρξειν, κεῖνον δ' ἐγὼ οὔποτε λείψειν,
ὠμόσαμεν, κοινὴν δ' εἴχετε μαρτυρίην.
νῦν δ' ὁ μὲν ὅρκια φησὶν ἐν ὕδατι κεῖνα φέρεσθαι.
λύχνε, σὺ δ' ἐν κόλποις αὐτὸν ὁρᾷς ἑτέρων.

Τοῦ αὐτοῦ.

Οὔπω σοι καλύκων γυμνὸν θέρος, οὐδὲ μελαίνει
βότρυς ὁ παρθενίους πρωτοβολῶν χάριτας,
ἀλλ' ἤδη θοὰ τόξα νέοι θήγουσιν ἔρωτες
Λυσιδίκη, καὶ πῦρ τύφεται ἐγκρύφιον.

φεύγωμεν δυσέρωτον, ἕως βέλος οὐκ ἐπὶ νευρῆ.
μάντις ἐγὼ πολλῆς αὐτίκα πυρκαϊῆς.

Τοῦ αὐτοῦ.

Ψυχή μοι προλέγει φεύγειν πόθον Ἡλιοδώρας,
δάκρυα, καὶ ζήλους τοὺς πρὶν ἐπισταμένη.
φησὶ μὲν, ἀλλὰ φυγεῖν οὔ μοι σθένος. ἡ γὰρ ἀναιδὴς
αὐτὴ, καὶ προλέγει, καὶ προλέγουσα, φιλεῖ.

Τοῦ αὐτοῦ.

Ὁσσάκι Κυδίλλης ὑποκόλπιος, ἤν τε κατ' ἦμαρ,
ἔτ' ἀποτολμήσας ἤλυθον ἑσπέριος.
οἶδ' ὅτι πὰρ κρημνὸν τέμνω πόρον, οἶδ' ὅτι ῥιπτῶ
πάντα κύβον κεφαλῆς αἰὲν ὑπὲρ θεν ἐμῆς.
ἀλλὰ τί μοι πλέον; ἐστὶ γὰρ ὁ θρασὺς. ἠδ' ὅταν ἕλκῃ
πάντοτ' ἔρως, ἀρχὴν οὐδ' ὄναρ οἶδε φόβον.

Τοῦ αὐτοῦ.

Ἑξήκοντα τελεῖ χαρίκλω λυκάβαντος ἐς ὥρας.
ἀλλ' ἔτι κυανέων σύρμα μένει πλοκάμων,
καὶ χρὼς ἀρρυτίδωτος. ἔτ' ἀμβροσίη, ἔτι πειθὼ
πάσας ἐπιστάζει μυριάδας χαρίτων.

Τοῦ αὐτοῦ.

Ἠράσθην. τίς δ' οὐχὶ κεκώμακε; τίς δ' ἀμύητος
κώμων; ἀλλ' ἐμάνην. ἐκ τίνος; οὐχὶ θεοῦ.
ἐῤῥίφθω. πολιὴ γὰρ ἐπείγεται ἀντὶ μελαίνης
θρὶξ, ἤδη συνετῆς ἄγγελος ἡλικίης.
καὶ παίζειν ὅτε καιρὸς ἐπαίξαμεν, ἡνίκα καὶ νῦν
οὐκ ἔτι, λωοτέρης φροντίδος ἁψόμεθα.

Τοῦ αὐτοῦ.

Ἠράσθην πλουτῶν Σωσικράτους. ἀλλὰ πένης ὢν,
οὐκ ἔτ' ἐρᾷ. λιμὸς φάρμακον οἷον ἔχει.
ἡ δὲ πάρος σε καλοῦσα μύρον, καὶ τερπνὸν ἄδωνιν
Μηνοφίλα, νῦν μου τοὔνομα πυνθάνεται.
τίς; πόθεν εἷς ἀνδρῶν; πόθι τοι πόλις; ἦ μόλις ἔγνως
τοῦτ' ἔπος, ὡς οὐδεὶς οὐδὲν ἔχοντι φίλος.

Τοῦ αὐτοῦ.

Ἡ χαλεπὴ κατὰ πάντα Φιλήσιον, ἡ τὸν ἐραστὴν
μηδέποτ' ἀργυρείου χωρὶς ἀναχομένη,
φαίνετ' ἀνεικοτέρη νῦν, ἢ πάρος, οὐ μέγα θαῦμα
φαίνεσθ' ἠλλάχθαι τὴν φύσιν οὐ δοκέω.
καὶ γὰρ πρηϋτέρη ποτὲ γίγνεται ἀσπὶς ἀναιδής.
δάκνει δ' οὐκ ἄλλως, ἢ θανατηφορίην.

Τοῦ αὐτοῦ.

Ἠράσθην Δημοῦς, παφίης γένος. οὐ μέγα θαῦμα.
καὶ Σαμίης Δημοῦς δεύτερον. οὐχὶ μέγα.
καὶ πάλιν ὀσιακῆς Δημοῦς τρίτον. οὐκ ἔτι ταῦτα
παίγνια. καὶ Δημοῦς τέτρατον ἀργολίδος.

αὐταί

αὐταί που μοῖραί με κατωνόμασαν φιλόδημον,
ὡς αἰεὶ δημοῦς θερμὸς ἔχει με πόθος.

Τοῦ αὐτοῦ.

Μικκὴ, καὶ μελανεῦσα φιλαίνιον, ἀλλὰ σελίνων
οὐλοτέρη, καὶ ἀμνοῦ χρῶτα τερεινοτέρη,
καὶ κεστοῦ φωνεῦσα μαγωτέρα, καὶ παρέχουσα
πάντα, καὶ αἰτῆσαι πολλάκι φειδομένη.
τοιαύτην στέργοιμι φιλαίνιον, ἄχρις ἂν εὕρω
ἄλλην ὦ χρυσέη Κύπρι, τελειοτέρην.

Τοῦ αὐτοῦ.

Ψαλμὸς, καὶ λαλιὴ, καὶ κωτίλον ὄμμα, καὶ ᾠδὴ
Ξανθίππης, καὶ πῦρ ἄρτι καταρχόμενον,
ὦ ψυχὴ, φλέξει σε, τὸ δ' ἐκ τίνος, ἢ πότε, καὶ πῶς,
οὐκ οἶδα. γνώσῃ δύσμορε, τυφομένη.

Τοῦ αὐτοῦ.

Ω ποδὸς, ὢ κνήμης, ὢ τῶν ἀπόλωλα δικαίως
μηρῶν, ὢ γλουτῶν, ὢ κτενὸς, ὢ λαγόνων,
ὢ ὤμων, ὢ μαστῶν, ὢ τοῦ ῥαδινοῖο τραχήλου,
ὢ χειρῶν, ὢ τῶν μαίνομαι ὀμματίων,
ὢ κακοτεχνοτάτου κινήματος, ὢ περιάλλων
γλωττισμῶν, ὢ τῶν κλῶμαι φωνασίων.
εἰδ' ὀπικὴ, καὶ φλωρὰ, καὶ οὐκ ᾄδουσα τὰ Σαπφοῦς,
καὶ Περσεὺς ἰνδῆς ἠράσατ' ἀνδρομέδης.

Τοῦ αὐτοῦ.

Η κομψὴ, μεῖνόν με, τί σοι καλὸν οὔνομα; ποῦ σε
ἔστιν ἰδεῖν; ὃ θέλεις, δώσομεν, οὐδὲ λαλεῖς;
ποῦ γίνῃ; πέμψω μετὰ σοῦ τινά; μή τις ἔχει σε;
ὦ σοβαρὴ, ὑγίαιν', οὐδ' ὑγίαινε λέγεις;
καὶ πάλι, καὶ πάλι σοι προσελεύσομαι. οἶδα μαλάσσειν
καὶ σοῦ σκληροτέρας. νῦν δ' ὑγίαινε γύναι.

Αντιφίλου.

Χεῦμα μὲν, εὐρώτας λακωνικὸν. ἁ δ' ἀκάλυπτος,
Λήδα, χὠ κύκνῳ κρυπτόμενος κρονίδας.
οἱ δέ με τὸν δυσέρωτα καταίθετε. καὶ τί γένωμαι
ὄρνεον. εἰ γὰρ ζεὺς κύκνος, ἐγὼ κόρυδος.

Μελεάγρου.

Ηδυμελεῖς μοῦσαι σὺν πηκτίδι, καὶ λόγος ἔμφρων
σὺν πειθοῖ, καὶ ἔρως καλὸς ἐφ' ἡνιόχῳ,
ζηνοφίλα σοὶ σκῆπτρα πόθων ἀπένειμαν, ἐπεὶ σοὶ
αἱ τρισσαὶ χάριτες, τρεῖς ἔδοσαν χάριτας.

Τοῦ αὐτοῦ.

Τίς μοι Ζηνοφίλαν λαλίην παρέδειξεν ἑταίρην;
τίς μίαν ἐκ τρισσῶν ἤγαγέ μοι χάριτα;

ἦ ῥ' ἐτύμως ἀνὴρ κεχαρισμένον εὕρετο δῶρον,
δῶρα διδοὺς, καὐτὴν τὴν χάριν ἐν χάρισι.

Τοῦ αὐτοῦ.

Ἡ φίλερως χαλεποῖς ἀσκληπιὰς, οἷα γαλήνης
ὄμμασι, συμπείθει πάντας ἐρωτοπλοεῖν.

Τοῦ αὐτοῦ.

Δεινὸς ἔρως, δεινός. τί δὲ τὸ πλέον; ἢν πάλιν εἴπω,
καὶ πάλιν οἰμώζων, πολλάκι δεινὸς ἔρως.
ἦ γὰρ ὁ παῖς τούτοισι γελᾷ, καὶ πυκνὰ κακισθεὶς,
ἥδεται. ἢν δ' εἴπω λοίδορα, καὶ τρέφεται.
θαῦμα δέ μοι, πῶς ἄρα διὰ γλαυκοῖο φανεῖσα
κύματος ἐξ ὑγροῦ Κύπρι σὺ πῦρ τέτοκας.

Τοῦ αὐτοῦ.

Ναὶ τὰν Κύπριν ἔρως, φλέξω τὰ σὰ πάντα πυρώσας
τόξα τε, καὶ σκυθικὴν ἰοδόκον φαρέτρην.
φλέξω ναί. τί μάταια γελᾷς, καὶ σιμὰ σεσηρὼς,
μυχθίζεις; τάχα που σαρδόνιον γελάσεις,
εἰ γάρ σευ τὰ ποδηγὰ πόθων ὠκύπτερα κόψας,
χαλκόδετον σφίγξω σοῖς περὶ ποσσὶ πέδην,
καίτοι καδμεῖον κράτος οἴσομεν, εἴ σε πάροικον
ψυχῇ συζεύξω λύγκα παρ' αἰπολίοις.
ἀλλ' ἴθι δυσκίνητε. λαβὼν δ' ἐπὶ κοῦφα πέδιλα,
ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.

Τοῦ αὐτοῦ.

Τί ξένον, εἰ βροτολοιγὸς ἔρως τὰ πυρίπνοα τόξα
βάλλει, καὶ λαμυροῖς ὄμμασι πυκνὰ γελᾷ;
οὐ μήτηρ στέργει μὲν ἄρη, γαμέτις δὲ τέτυκται
ἡφαίστου, κοινὴ καὶ πυρὶ, καὶ ξίφεσιν;
μητρὸς δ' οὐ μήτηρ ἀνέμων μάστιξι θάλασσα
τρηχὺ βοᾷ; γενέτης δ' οὔτε τις, οὔτε τινός;
τοὔνεκεν ἡφαίστου μὲν ἔχει φλόγα, κύμασι δ' ὀργὴν
στέρξεν ἴσην, ἄρεος δ' αἱματόφυρτα βέλη.

Τοῦ αὐτοῦ.

Κῦμα τὸ πικρὸν ἔρωτος, ἀκοίμητοί τε πνέοντες
ζῆλοι, καὶ κώμων χειμέριον πέλαγος.
ποῖ φέρομαι; πάντη δὲ φρενῶν οἴακες ἀφεῖνται.
ἦ πάλι τὴν τρυφερὴν σκύλλαν ἐποψόμεθα.

Τοῦ αὐτοῦ.

Αἰεί τοι δινεῖ μὲν ἐν οὔασιν ἦχος ἔρωτος.
ὄμμα δὲ σῖγα πόθοις τὸ γλυκὺ δάκρυ φέρει.
οὐδ' ἡ νὺξ, οὐ φέγγος ἐκοίμισεν, ἀλλ' ὑπὸ φίλτρων
ἤδη που κραδίῃ γνωστὸς ἔνεστι τύπος.
ὦ πτανοί, μὴ καί ποτ' ἐφίπτασθαι μὲν ἔρωτες
οἴδατ', ἀποπτῆναι δ' οὐδ' ὅσον ἰσχύετε;

Τοῦ αὐτοῦ.

Καὐτὸς ἔρως ὁ πτανὸς, ἐν αἰθέρι δέσμιος ἥλω,
τοῖς σοῖς ἀγρευθεὶς ὄμμασι Τιμάριον.

Τοῦ αὐτοῦ.

Ὦ σοβαρὴ βαλανίσκα, τί δή ποτέ μ' ἔκπυρα λούεις;
πρὶν δ' ἀποδύσασθαι, τοῦ πυρὸς αἰσθάνομαι.

Τοῦ αὐτοῦ.

Εἰ κάλλει καυχᾷ, γίγνωσχ' ὅτι καὶ ῥόδον ἀνθεῖ.
ἀλλὰ μαρανθὲν ἄφνω, σὺν κοπρίοις ἐρρίφη.
ἄνθος γὰρ, καὶ κάλλος, ἴσον χρόνον ἐστὶ λαχόντα.
ταῦτα δ' ὁμοῦ φθονέων ἐξεμάρανεν ὁ χρόνος.

Τοῦ αὐτοῦ.

Εἰ μὲν γηράσκει τὸ καλὸν, μετάδος πρὶν ἀπέλθῃ.
εἰ δὲ μένει, τί φοβῇ τοῦθ' ὃ μένει διδόναι;

Τοῦ αὐτοῦ.

Τὴν καταφλεξίπολιν Σθενελαΐδα, τὴν πολύμισθον
τὴν τοῖς βουλομένοις χρυσὸν ἐρευγομένην,
γυμνήν μοι διὰ νυκτὸς ὅλης παρέκλινεν ὄνειρος,
ἄχρι φίλης ἠοῦς προῖκα χαριζόμενος.
οὐκ ἔτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ
κλαύσομαι, ὕπνον ἔχων κεῖνο χαριζόμενον.

Ἀσκληπιάδου.

Αὐτοῦ μοι στέφανοι παρὰ δικλίσι ταῖσδε κρεμαστοὶ
μίμνετε, μὴ προπετῶς φύλλα τινασσόμενοι,
οὓς δακρύοις κατέβρεξα, κάτομβρα γὰρ ὄμματ' ἐρώντων.
ἀλλ' ὅτ' ἀνοιγομένης αὐτὸν ἴδητε θύρης,
στάξαθ' ὑπὲρ κεφαλῆς ἐμὸν ὑετὸν, ὡς ἂν ἄμεινον
ἡ ξανθή γε κόμη τἀμὰ δάκρυα πίῃ.

Τοῦ αὐτοῦ.

Λύχνε, σὲ γὰρ παρεοῦσα τρὶς ὤμοσεν ἡράκλεια
ἥξειν, κοὐχ ἥκει. λύχνε, σὺ δ' εἰ θεὸς εἶ,
τὴν δολίην ἐπάμυνον. ὅταν φίλον ἔνδον ἔχουσα
παίζῃ, ἀποσβεσθεὶς, μηκέτι φῶς πάρεχε.

Τοῦ αὐτοῦ.

Νεῖφε, χαλαζοβόλει, ποίει σκότος, αἶθε, κεραύνου,
πάντα τὰ πορφύροντ' ἐν χθονὶ σεῖε νέφη.
ἢν γάρ με κτείνῃς, τότε παύσομαι. ἢν δέ μ' ἀφέῃς,
καὶ διαθῇς τούτων χείρονα, κωμάσομαι.
ἕλκει γάρ μ' ὁ κρατῶν καὶ σοῦ θεὸς, ᾧ ποτε πεισθεὶς
ζεῦ, διὰ χαλκείων χρυσὸς ἔδυς θαλάμων.

Ποσειδίππου.

Ἐν παφίῃ κυθερείᾳ παρήιον εἶδε Κλέανδρος
Νικοῦς ἐν χαροποῖς κύμασι νηχομένης.
καιομένους δ' ὑπ' ἔρωτος ἐνὶ φρεσὶν ἄνθρακας ἀνὴρ
ξηροὺς, ἐκ νοτερῆς παιδὸς ἐπεσπάσατο.

χὡ μὲν

χῶ μὲν, φιλαγρεὺς γαίης ἔπι· τὴν δὲ, θαλάσσης
ψαύουσαν, πηνεῖς εἴχοσαν αἰγιαλοί.
νῦν δ' ἴσος ἀμφοτέροις φιλίης πόθος. οὐκ ἀτελὴς γὰρ
εὐχὰ, τὰς κείνης εὔξατ' ἐπ' ἠϊόνος.

Τοῦ αὐτοῦ.

Δάκρυα, καὶ κῶμοι, τί μ' ἐγείρετε, πρὶν πόδας ἄραι
ἐκ πυρὸς, εἰς ἑτέρην Κύπριδος ἀνθρακιήν;
λήγω δ' οὔποτ' ἔρωτος. ἀεὶ δέ μοι ἐξ ἀφροδίτης
ἄλγος, ὁ μὴ κρίνων κοινὸν ἄγοντι πόθος.

Ῥούφου δομεστίκου.

Πάντα σέθεν φιλέω, μοῦνον δὲ σὸν ἄκριτον ὄμμα
ἐχθαίρω, στυγεροῖς ἀνδράσι τερπόμενον.

Ἀντιφίλου.

Εἶπον ἐγὼ καὶ πρόσθεν ὅτ' ἦν ἔτι φίλτρα Τερείνης
νήπια, συμφλέξει πάντας ἀεξομένη.
οἱ δ' ἐγέλων τὸν μάντιν. ἰδ' ὁ χρόνος, ὅν ποτ' ἐφώνουν
οὗτος. ἐγὼ δὲ πάλαι τραύματος ἠσθανόμην.
καὶ τί πάθω; λεύσσειν μὲν, ὅλαι φλόγες. ἢν δ' ἀπονεύσω
φροντίδες. ἢν δ' αἰτῶ, παρθένος. οἰχόμεθα.

Λουκιλλίου.

Ἢ τὸ φιλεῖν περίγραψον ἔρως ὅλον, ἢ τὸ φιλεῖσθαι
πρόσθες, ἵν' ἢ λύσῃς τὸν πόθον, ἢ κεράσῃς.

Ῥουφίνου.

Παλλὰς ἐσαθρήσασα, καὶ ἥρη χρυσοπέδιλος
Μαιονίην, ἐκ κραδίης ἴαχον ἀμφότεραι,
οὐκ ἔτι γυμνούμεθα, κρίσις μία ποιμένος ἀρκεῖ.
οὐ καλὸν ἡττᾶσθαι δὶς περὶ καλλοσύνης.

Τοῦ αὐτοῦ.

Κάλλος ἔχεις Κύπριδος. πειθοῦς στόμα. σῶμα καὶ ἀκμὴν
εἰαρινῶν ὡρῶν. φθέγμα δὲ, Καλλιόπης.
νοῦν, καὶ σωφροσύνην, θέμιδος, καὶ χεῖρας ἀθήνης.
σὺν σοὶ δ' αἱ χάριτες, τέσσαρές εἰσι φίλαι.

Τοῦ αὐτοῦ.

Πέμπω σοι ῥοδόκλεια τόδε στέφος ἄνθεσι πλέξας,
αὐτὸς ὑφ' ἡμετέραις δρεψάμενος παλάμαις.
ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ' ἀνεμώνη,
καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.
ταῦτα στεψαμένη, λῆξον μεγάλαυχος ἐοῦσα.
ἀνθεῖς, καὶ λήγεις καὶ σὺ, καὶ ὁ στέφανος.

Τοῦ αὐτοῦ.

Γείτονα παρθένον εἶχον ἀμυμώνην ἀφροδίτην,
ἥ μου τὴν ψυχὴν ἔφλεγεν οὐκ ὀλίγον.
αὕτη μοι προσέπαιζε, καὶ εἴ ποτε καιρὸς, ἐτόλμα.
ἠρυθρία τί πλέον τὸν πόνον ᾐσθάνετο.

ἰῶνσε πολλὰ κεκμηώς. παραλύκησα νῦν ὅτι τίκτει.
ὥστε τί ποιῶμεν; φεύγομεν, ἢ μένομεν;

Τοῦ αὐτοῦ.

Αὕτη πρόσθ' ἦν βραχύχροος, ἀερόμαθος,
εὔσφυρος, εὐμήκης, εὔοφρυς, εὐπλόκαμος.
ἠλλάχθη δὲ χρόνῳ, καὶ γήραϊ, καὶ πολιῇσι.
καὶ νῦν τῶν προτέρων οὐδ' ὄναρ οὐδὲν ἔχει.

Τοῦ αὐτοῦ.

Ἀρνεῖται τὸν ἔρωτα Μελισσιὰς, ἀλλὰ τὸ σῶμα
κέκραγεν ὡς βελέων δεξάμενον φαρέτρην.
καὶ βάσις ἀστατέουσα, καὶ ἄστατος ἄσθματος ὁρμὴ
καὶ κοῖλαι βλεφάρων ἰοτυπεῖς βάσιες.
ἀλλὰ πόθοι, πρὸς μητρὸς ἐϋστεφάνου Κυθερείης,
φλέξατε τὴν ἀπιθῆ, μέχρις ἐρεῖ φλέγομαι.

Τοῦ αὐτοῦ.

Εἰ δύσιν οὐκ ἴσχυσας ἴσην φλόγα πυρφόρε καῦσαι,
τὴν ἐνὶ καιομένην ἢ σβέσον, ἢ μετάθες.

Τοῦ αὐτοῦ.

Οὐκ ἔστ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
βούλετ' ἔχειν φρονίμοις ὄμμασι πειθόμενος,
ἀλλ' ὅς τις κακόμορφον ἰδὼν πεφορημένος οἴστρῳ
στέργει, μαινομένης ἐκ φρενὸς αἰθόμενος.
οὗτος ἔρως, πῦρ τοῦτο. τὰ γὰρ καλὰ πάντας, ὁμοίως
τέρπει τοὺς κρίνειν εἶδος ἐπισταμένους.

Τοῦ αὐτοῦ.

Πέμπω σοι μύρον ἡδὺ. μύρῳ τὸ μύρον θεραπεύων,
ὡς Βρομίῳ σπένδων νᾶμα τὸ τοῦ Βρομίου.

Τοῦ αὐτοῦ.

Ὑψοῦται Ῥοδόπη τῷ κάλλεϊ. κἢν ποτε χαῖρε
εἴπω, ταῖς σοβαραῖς ὀφρύσιν ἠσπάσατο.
ἤν ποτε καὶ στεφάνους προθύρων ὑπερεκκρεμάσωμαι,
ὀργισθεῖσα πατεῖ τοῖς σοβαροῖς ἴχνεσιν.
ὦ ῥυτίδες, καὶ γῆρας ἀνηλεὲς, ἔλθετε θᾶσσον.
σπεύσατε, κἂν ὑμεῖς πείσατε τὴν Ῥοδόπην.

Τοῦ αὐτοῦ.

Ὥπλισμαι πρὸς ἔρωτα περὶ στέρνοισι λογισμὸν,
οὐδέ με νικήσει μοῦνος ἐὼν πρὸς ἕνα.
θνατὸς δ' ἀθανάτῳ συνελεύσομαι, ἢν δὲ βοηθὸν
Βάκχον ἔχῃ, τί ποιεῖν πρὸς δύ' ἐγὼ δύναμαι;

Τοῦ αὐτοῦ.

Τέσσαρες αἱ χάριτες, Παφίαι δύο, καὶ δέκα μοῦσαι.
Δερκυλὶς ἐν πάσαις, μοῦσα, χάρις, Παφίη.

Τοῦ αὐτοῦ.

Ὄμματ' ἔχεις ἥρης Μελίτη, τὰς χεῖρας ἀθήνης.
τοὺς μαζοὺς Παφίης, τὰ σφυρὰ τῆς Θέτιδος.

εὐδαίμων ὁ βλέπων σε, τρισόλβιος ὅς τις ἀκούει,
ἡμίθεος δ' ὁ φιλῶν, ἀθάνατος δ' ὁ σιωνῶν.

Τοῦ αὐτοῦ.

ῥουφῖνος τῇ μῇ γλυκερωτάτῃ ἐλπίδι πολλὰ
χαίρειν, εἰ χαίρειν χωρὶς ἐμοῦ δύνασαι.

Τοῦ αὐτοῦ.

Οὐκ ἔτι παιδομανής, ὡς πρίν ποτε, νῦν δὲ καλοῦμαι
θηλυμανής. καὶ νῦν δίσκος ἐμοὶ κρόταλον,
ἀντὶ δέ μοι παίδων ἀδόλου χροὸς, ἤρεσε γύψου
χρίσματα, καὶ φύκους ἄνθος ἐπεισόδιον.
βοσκήσει δελφῖνας ὁ δενδροκόμης ἐρύμανθος,
καὶ πολιὸν πόντου κῦμα θοὰς ἐλάφους.

Τοῦ αὐτοῦ.

Εἰ μὲν ἐπ' ἀμφοτέροισιν ὁρῶς ἴσα τόξα τιταίνεις,
εἶ θεός. εἰ δὲ ῥέπεις πρὸς μέρος, οὐ θεὸς εἶ.

Τοῦ αὐτοῦ.

Οὕτως ὑπνώσαις κωνώπιον, ὡς ἐμὲ ποιεῖς
κοιμᾶσθαι ψυχροῖς τοῖσδε παρὰ προθύροις.
οὕτως ὑπνώσαις ἀδικωτάτη, ὡς τὸν ἐραστὴν
κοιμίζεις. ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας.
γείτονες οἰκτείρουσι. σὺ δ' οὐδ' ὄναρ. ἡ πολιὴ δὲ
αὐτίκ' ἀναμνήσει ταῦτά σε πάντα κόμη.

Τοῦ αὐτοῦ.

Εἰ ταύτας ὁ κριτὴς ὁ θεῶν ἐθεάσατο κούρας,
οὐκ ἔτ' ἂν οὐδ' ἐνιδεῖν ἤθελε τὰς προτέρας.

Τοῦ αὐτοῦ.

Ἤρισαν ἀλλήλαις, ῥοδόπη, Μελίτη, ῥοδόκλεια,
τῶν τριοσῶν τίς ἔχει κάλλος ἀρειότερον.
καί με κριτὴν εἵλοντο. καὶ ὡς θεαὶ αἱ περίβλεπτοι,
ἔστησαν οἵῳ νέκταρι λειπόμεναι.
ἀλλὰ σαφῶς ἃ πέπονθε Πάρις διὰ κρίσιν εἰδώς,
τὰς τρεῖς ἀθανάτους εὐθὺ συνεστεφάνουν.

Τοῦ αὐτοῦ.

Λουσάμενοι Προδίκη, πυκασώμεθα, καὶ τὸν ἄκρατον
ἕλκωμεν, κύλικας μείζονας ἀράμενοι.
βαιὸς ὁ χαιρόντων ἐστὶ βίος. εἶτα τὰ λοιπά,
γῆρας κωλύσει. καὶ τὸ τέλος, θάνατος.

Τοῦ αὐτοῦ.

Εὐρώπης τὸ φίλημα καὶ ἢν ἄχρι χείλεος ἔλθῃ,
ἥδει, κἂν ψαύσῃ μοῦνον ἄχρι στόματος.
ψαύει δ' οὐκ ἄκροις τοῖς χείλεσιν. ἀλλ' ἐρείσασα
τὸ στόμα, τὴν ψυχὴν ἐξ ὀνύχων ἀνάγει.

Τοῦ αὐτοῦ.

Ποῦ νῦν πραξιτέλης; ποῦ δ' αἱ χέρες αἱ Πολυκλείτου
αἱ ταῖς πρόσθε τέχναις πνεύματα χαριζόμεναι;

τίς πλοκάμους Μελίτης ἐνώδιας, ἢ πυρόεντα
 ὄμματα, καὶ διερῆς φέγγος ἀπηλάσατο;
ποῦ πλάσαι; ποῦ δ' εἰσὶ λιθοξόοι; ἔπρεπε τῇδε
 μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξόανον.

Τοῦ αὐτοῦ.

Οὐκ ἔλεγον Προδίκη, γηράσκομεν; οὐ προεφώνουν
 ἥξουσιν ταχέως αἱ διαλυσίφιλοι;
νῦν ῥυτίδες, καὶ θρὶξ πολιὴ, καὶ σῶμα ῥακῶδες,
 καὶ στόμα τὰς προτέρας οὐκέτ' ἔχον χάριτας.
μή τίς σοι μετέωρε προσέρχεται, ἢ κολακεύων
 λίσσεται, ὡς δὲ τάφον, νῦν σε παρερχόμεθα.

Τοῦ αὐτοῦ.

Σοί με λάτριν γλυκύδωρος Ἔρως παρέδωκε Βοῶπι,
 γαῦρον ὑποζεύξας εἰς πόθον αὐτόμολον,
αὐτοθελῆ, πάνδουλον, ἑκούσιον, αὐτοκέλευστον,
 αἰτήσοντα πικρὴν μήποτ' ἐλευθερίην,
ἄχρι φίλης πολιῆς, καὶ γήραος. ὄμμα βάλοι δὲ
 μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη.

Τοῦ αὐτοῦ.

Τίς γυμνὴν οὕτω σε καὶ ἐξέβαλεν, καὶ ἔδειρεν;
 τίς ψυχὴν λιθίνην εἶχε, καὶ οὐκ ἔβλεπεν;
μοιχὸν ἴσως εὕρηκεν ἀκαίρως κεῖνος ἐσελθών;
 γιγνόμενον. πᾶσαι τοῦτο ποιοῦσι τέκνον.
πλὴν ἄρα νῦν, ὅταν ᾖ ἔσω. κεῖνος δ' ὅταν ἔξω,
 τὸ πρόθυρον σφήνου, μὴ πάλι ταὐτὸ πάθῃς.

Τοῦ αὐτοῦ.

Ἐκβάλλει γυμνήν τις, ἐπὴν εὕρῃ ποτὲ μοιχὸν,
 ὡς μὴ μοιχεύσας, ὡς ἀπὸ Πυθαγόρου.
εἶτα τέκνον κλαίουσα καταδρύψασα τὸ πρόσωπον,
 καὶ παραειγώσεις μαινομένου προθύροις;
ἔμαξαι. μὴ κλαῖε τέκνον. χεὑρήσομεν ἄλλον.
 μηκέτι τὸν τὸ βλέπειν εἰδότα, καὶ τὸ δέρειν.

Τοῦ αὐτοῦ.

Μέχρι τίνος Προδίκη παρακλαύσομαι; ἄχρι τίνος σε
 γουνάζομαι στερεὴ, μηδὲν ἀκουόμενος;
ἤδη καὶ λευκαί σοι ἐπισκιρτῶσιν ἔθειραι.
 καὶ τάχα μοι δώσεις ὡς Ἑκάβη Πριάμῳ.

Τοῦ αὐτοῦ.

Εὐκαίρως μονάσασαν ἰδὼν Προδίκην, ἱκέτευον.
 καὶ τῶν ἀμβροσίων ἁψάμενος γονάτων,
σῶσον ἔφην ἄνθρωπον ἀπολλύμενον παρὰ μικρὸν,
 καὶ φεῦγον ζωῆς πνεῦμα σύ μοι χάρισαι.
ταῦτα λέγοντος, ἔκλαυσεν. ἀποψήσασα δὲ δάκρυ,
 ταῖς τρυφεραῖς χερσὶν ἡμᾶς ὑπεξέβαλεν.

Διονυσίου σοφιστοῦ.

Ἡ τὰ ῥόδα, ῥοδόεσσαν ἔχεις χάριν. ἀλλὰ τί πωλεῖς;
σαυτὴν, ἢ τὰ ῥόδα, ἠὲ συναμφότερα;

Τοῦ αὐτοῦ.

Εἴθ' ἄνεμος γενόμην. σὺ δ' ἐπιστείχουσα παρ' αὐγὰς,
στήθεα γυμνώσαις, καί με πνέοντα λάβοις.
εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσὶν
ἀραμένη, κομίσαις στήθεσι χιονέοις.
εἴθε κρίνον γενόμην λευκόχροον, ὄφρα με χερσὶν
ἀραμένη, μᾶλλον σῆς χροτιῆς κορέσῃς.

Μακκίου.

Ὤμοσ' ἐγὼ δύο νύκτας ἀφ' ἡδυλίου Κυθέρεια,
σὸν κράτος ἡσυχάσειν. ὡς δοκέω δὲ, γελᾷς,
τὸ μὸν ἐπισταμένη πάντως κακόν. οὐ γὰρ ὑποίσω
τὴν ἑτέρην. ὅρκους δ' εἰς ἀνέμους τίθεμαι.
αἱροῦμαι δ' ἀσεβεῖν, κείνης χάριν. ἢ τὰ σὰ τηρῶν
ὅρκι', ἀποθνήσκειν πότνι' ὑπ' εὐσεβίης.

Τοῦ αὐτοῦ.

Τί στυγνή; τί δὲ ταῦτα κόμης εἰκαῖα Φιλαινὶ
σκύλματα, καὶ νοτερῶν σύγχυσις ὀμματίων;
μὴ, τὸν ἐραστὴν εἶδες ἔχουθ' ὑποκόλπιον ἄλλην;
εἶπον ἐμοί, λύπης φάρμακ' ἐπιστάμεθα.
δακρύεις; οὐ φὴς δέ; μάτην ἀρνεῖσθ' ἐπιβάλλει.
ὀφθαλμοὶ, γλώσσης ἀξιοπιστότεροι.

Τοῦ αὐτοῦ.

Θερμαίνει μ' ὁ καλὸς Κορνήλιος. ἀλλὰ φοβοῦμαι
τοῦτο τὸ φῶς, ἤδη πῦρ μέγα γιγνόμενον.

Μάρκου ἀργενταρίου.

Μήνη χρυσόκερως, δέρκευ τάδε. καὶ πυριλαμπεῖς
ἀστέρες, οὓς κόλποις ὠκεανὸς δέχεται,
ὥς με μόνον προλιποῦσα μυρόπνοος ᾤχετ' Ἀρίστη.
ἑκταίην δ' εὑρεῖν τὴν μάγον οὐ δύναμαι.
ἀλλ' ἔμπης αὐτὴν ζητήσομεν, ἢν ἐπιπέμψω
Κύπριδος ἰχνευτὰς ἀργυρέους σκύλακας.

Τοῦ αὐτοῦ.

Τὴν ἰχνίην Διόκλειαν, ἀσαρκοτέρην Ἀφροδίτης
ὄψεαι, ἀλλὰ καλοῖς ἤθεσι τερπομένην.
οὐ πολύ μοι τὸ μεταξὺ γενήσεται. ἢν δὲ ποθεινὰ
στέρνα πεσὼν, ψυχῆς κείσομαι ἐγγυτάτω.

Τοῦ αὐτοῦ.

Ἔγχει Λυσιδίκης κυάθους δέκα. τῆς δὲ ποθεινῆς
Εὐφράντης, ἕνα μοι λάζε δίδου κύαθον.
φήσεις Λυσιδίκην με φιλεῖν πλέον. οὐ μὰ τὸν ἡδὺν
Βάκχον, ὃν ἐν ταύτῃ λαβροποτῶ κύλικι,
ἀλλά μοι Εὐφράντη, μία πρὸς δέκα. καὶ γὰρ ἀπείρους
ἀστέρας, ἓν μήνης φέγγος ὑπερτίθεται.

Τοῦ

Τοῦ αὐτοῦ.

Παρθένον Ἀλκίππην ἐφίλουν μέγα. καί ποτε πείσας
αὐτὴν λαθριδίως εἶχον ἐπὶ κλισίῃ.
ἀμφοτέρων δὲ στέρνον ἐπάλλετο μή τις ἐπέλθῃ,
μή τις ἴδῃ τὰ πόθων κρυπτὰ ποθεινοτέρων.
μητέρα δ' οὐκ ἔλαθον κείνης λάλον. ἀλλ' ἐσιδοῦσα
ἐξαπίνης, ἑρμῆς κοινὸς ἔφη θύγατερ.

Ἀντιπάτρου θεσσαλονικέως.

Πάντα καλός. τό γε μὴν χρυσῆν ἔτι τὴν ἀφροδίτην
ἔξοχα καὶ πάντων εἶπεν ὁ μαιονίδης.
ἢν μὲν γὰρ τὸ χάραγμα φέρῃς φίλος, οὔτε θυρωρὸς
ἐν ποσὶν, οὔτε κύων ἐν προθύροις δέδεται.
ἢν δ' ἑτέρως ἔλθῃς, καὶ ὁ κέρβερος. ὦ πλεονέκται,
οἱ πλούτου πενίην ὡς ἀδικεῖτε μόνοι.

Τοῦ αὐτοῦ.

Ὄρθρος ἔβη Χρύσιλλα. πάλαι δ' ἠῷος ἀλέκτωρ
κηρύσσων, φθονερὴν ἠριγένειαν ἄγει.
ὀρνίθων ἔρροις φθονερώτατε, ὅς με διώκεις
οἴκοθεν εἰς πολλοὺς ἠϊθέων ὀάρους.
γηράσκεις Τιθωνέ. τί γὰρ σὴν εὐνέτιν ἠῶ
οὕτως ὀρθριδίην ἤλασας ἐκ λεχέων;

Παρμενίωνος.

Εἰς Δανάην ῥεύσας ὀλύμπιε χρυσός, ἵν' ἡ παῖς
ὡς δώρῳ πεισθῇ, μὴ τρέσῃ ὡς Κρονίδην.

Τοῦ αὐτοῦ.

Ὁ ζεὺς τὴν δανάην, χρυσοῦ, κἀγὼ δέ σε, χρυσοῦ.
πλείονα γὰρ δοῦναι τοῦ Διὸς οὐ δύναμαι.

Καλλιμάχου.

Ὤμοσε Καλλίγνωτος ἰωνίδι μήποτ' ἐκείνης
ἕξειν μήτε φίλον κρείσσονα, μήτε φίλην.
ὤμοσεν, ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
ὅρκους μὴ βαίνειν οὔατ' ἐς ἀθανάτων.
νῦν δ' ὁ μὲν, ἄλλης δὴ θέρεται πυρί. τῆς δὲ ταλαίνης
νύμφης, ὡς μεγαρέων, οὐ λόγος, οὐδ' ἀριθμός.

Σκιαίου.

Ἐχθαίρω τὸν ἔρωτα. τί γὰρ βαρὺς οὐκ ἐπὶ θῆρας
ὄρνυται. ἀλλ' ἐπ' ἐμὴν ἰοβολεῖ κραδίην;
τί πλέον, εἰ θεὸς ἄνδρα καταφλέγει; ἢ τί τὸ σεμνὸν
δῃώσας ἀπ' ἐμῆς ἆθλον ἔχει κεφαλῆς;

Ὀνέστου.

Οὔτε με παρθενικῆς τέρπει γάμος, οὔτε γεραιῆς.
τὴν μὲν, ἐποικτείρω, τὴν δὲ, καταιδέομαι.
εἴη μήτ' ὄμφαξ, μήτ' ἀσταφίς, ἡ δὲ πέπειρος,
ἐς Κύπριδος θαλάμους ὥρια καλλοσύνη.

Νικάρχου.

Οὐκ ἀποθνήσκειν δεῖ με; τί μοι μέλει, ἤν τε ποδαγρὸς
  ἤν τε δρομεὺς γεγονὼς, ἐς ἀΐδην ὑπάγω;
πολλοὶ γάρ μ᾽ οἴσουσιν, ἔα χωλόν με γενέσθαι.
  τῶν δ᾽ ἕνεκεν γὰρ ἴσως οὔποτ᾽ ἐῶ θιάσους.

Τοῦ αὐτοῦ.

Πάντα λίθον κίνει. σαυτὴν τρέφε. καὶ γράφε πρός με
  εἰς ποίην ἀκτὴν εὐφρόσυνον γέγονας;
εὐτακτεῖν πειρῶ. τὸ φοίνικον ἄντι ποδιστὸν
  γίγνεται, καὶ ἐμοὶ φρόντισον ἱμάτιον.
ἢν ἐν γαστρὶ λάβῃς, λάβε. καὶ τίκε, μὴ θορυβηθῇς.
  εὑρήσει πόθεν ἔστ᾽ ἐλθὸν ἐς ἡλικίην.

Τοῦ αὐτοῦ.

Κάλλος ἄνευ χαρίτων, τέρπει μόνον. οὐ κατέχει δὲ,
  ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.
ὁπλίζου Κύπρι τόξα, καὶ εἰς σκοπὸν ἥσυχος ἐλθέ.
  ἄλλον ἐγὼ γὰρ ἔχω τραύματος ὧδε τόπον.

Ἀργεντταρίου.

Ἰσιὰς ἡδύπνοιε, καὶ εἰ δεκάκις μύρον εὔδεις,
  ἔγρεο, καὶ δέξαι χερσὶ φίλαις στέφανον.
ὃν νῦν μὲν θάλλοντα, μαραινόμενον δὲ πρὸς ἠῶ
  ὄψεαι, ἡμετέρης σύμβολον ἡλικίης.

Κριναγόρου.

Κἢν ῥίψῃς ἐπὶ λαιὰ, καὶ ἢν ἐπὶ δεξιὰ ῥίψῃς
  Κριναγόρη, κενεοῦ σαυτὸν ὕπερθε λέχους.
εἰ μή σοι χαρίεσσα παρακλίνοιτο Γέμελλα,
  γνώσῃ κοιμηθεὶς, οὐχ ὕπνον ἀλλὰ κόπον.

Βασσοῦ.

Οὐ μέλλω ῥεύσειν χρυσός ποτε. βοῦς δὲ γένοιτο
  ἄλλος, χὡ μελιθροῦς κύκνος ἐπ᾽ ἠϊόνος.
Ζηνὶ φυλασσέσθω τάδε παίγνια. τῇ δὲ Κορίννῃ
  τοὺς ὀβολοὺς δώσω τοὺς δύο, κοὐ πέτομαι.

Ἀδήλου.

Οὐκέτι βαστάζω μὰ τὰ σ᾽ ὄμματα τὴν Φιλοδήμου,
  καὶ τὴν μηνολεχῆ σεῖο διαζυγίην,
ἀλλ᾽ ἀεὶ δακρύοισι πεφυρμένος, ἢ ἐπιορκήσων
  ἔρχομαι, ἢ μεγάλης νηὸν ἐς Ἀρτέμιδος
ἄσειον. ἀλλὰ πάτρη με δεδέξεται. ἐς δὲ σὸν ὄμμα
  πτήσομαι, ἐρρῶσθαι μυρία σ᾽ εὐχόμενος.

Ἀδήλου.

Εἴτε σε κυανέῃσιν ἀστίλβουσαν ἐθείραις,
  εἴτε πάλιν ξανθαῖς εἶδον ἄνασσα κόμαις,
ἴση ἀπ᾽ ἀμφοτέρων λάμπει χάρις, ἢ ῥά γε ταύταις
  θριξὶ συνοικήσει, καὶ πολιῇσιν ἔρως.

Ἀδήλου.

Ποῦ σοι κεῖνα μέλισσα τὰ χρύσεα, καὶ περίοπτα
 τῆς πολυθρυλήτου κάλλεα φαντασίης;
ποῦ δ' ὀφρύες, καὶ γαῦρα φρονήματα, καὶ μέγας αὐχὴν
 καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη;
νῦν πηνιχρή, ψαφαρή τε, κόμη τ' ἐπὶ πᾶσι βραχεῖα,
 ταῦτα τὰ τῶν ἀπαταλῶν τέρματα παλλακίδων.

Ἀδήλου.

Νῦν μοι χαῖρε λέγεις, ὅτε σου τὸ πρόσωπον ἀπῆλθεν
 κεῖνο τὸ τῆς λύγδου βάσκανε λειότερον.
νῦν μοι προσπαίζεις, ὅτε τὰς τρίχας ἠφάνικάς σου,
 τὰς ἐπὶ τοῖς σοβαροῖς αὐχέσι πλαζομένας,
μηκέτι μοι μετέωρε προσέρχεο, μὴ δὲ συνάντα.
 ἀντὶ ῥόδου γὰρ ἐγὼ τὴν βάτον οὐ δέχομαι.

Ἀδήλου.

Ἡδὺ φίλτατε λύχνε τρεὶς ἔπταρες. ἦ τάχα τερπνὴν
 ἐς θαλάμους ἥξειν ἀντιγόνην προλέγεις.
εἰ γὰρ ἄναξ εἴη τόδ' ἐτήτυμον, οἷος ἀπόλλων
 θνητοῖς μάντις ἔσῃ καὶ σὺ παρὰ τρίποδι.

Ἀδήλου.

Γραῖα φίλη, θρέπτειρα, τί μου προσιόντος ὑλακτεῖς,
 καὶ χαλεπὰς βάλλεις διὸς τόξον εἰς ὀδύνας;
παρθενικὴν γὰρ ἄγεις περικαλλέα. τῇ, ἐπιβαίνων
 ἴχνεσι, τὴν ἰδίην οἶμον ἴδ' ὡς φέρομαι,
ἄλλος ἐσαυγάζων μοῦνον γλυκύ. τίς φθόνος ὄσσων
 δύσμορε; καὶ μορφὰς ἀθανάτων βλέπομεν.

Ἀδήλου.

Αἰετὸς ὁ ζεὺς ἦλθεν ἐπ' ἀντίθεον γανυμήδην,
 κύκνος ἐπὶ ξανθὴν μητέρα τῆς ἑλένης.
οὕτως ἀμφότερ' ἐστὶν ἀσύγκριτα. τῶν δύο δ' αὐτῶν,
 ἄλλοις ἄλλο δοκεῖ. κρεῖσσον ἐμοί, τὰ δύο.

Ἀδήλου.

Εἴ μοι τίς μέμψοιτο λαὸς, ὅτι λάτρις ἔρωτος
 φοιτῶ, θηρευτὴν ὄμμασιν ἰξὸν ἔχων,
εἰδείη καὶ ζῆνα, καὶ ἀΐδα, τόν τε θαλάσσης
 σκηπτοῦχον, μαλερῶν δοῦλον ἐόντα πόθων.
εἰ δὲ θεοὶ τοιοίδε, θεοῖς δ' ἐνέπουσιν ἕπεσθαι
 ἀνθρώπους, τί θεῶν ἔργα μαθὼν ἀδικῶ;

Ἀδήλου.

Χαῖρε κόρη. καὶ δὴ σύ. τίς ἡ προσιοῦσα; τί πρὸς σέ;
 οὐκ ἀλόγως ζητῶ. δεσπότης ἡμετέρη.
ἐλπίζειν ἔξεστι; ζητεῖς δὲ τί; νύκτα. φέρεις τί;
 χρυσίον. εὐθύμει. καὶ τόσον; οὐ δύναμαι.

Ἀδήλου.

Ἄλλος ὁ μὴν ὁ φίλαξ λέγεται παρὰ μαχλάσι κόσμος,
 ἄλλος, ἐπεὶ πάσης γίνεται ἀκρασίης.

ἀλλ' ἴτε χιλιάδες κείνης πέλας. ἢ γὰρ ὁ ταύτης
οὐρανὸς, ἐν τοῖς ἔχει καὶ κύβα καὶ διδύμους.

Ἀδήλου.

Γιγνώσκω χαρίεσσα φιλεῖν πάνυ τὸν φιλέοντα.
καὶ πάλι γιγνώσκω τὸν με δάκνοντα δακεῖν.
μὴ λύπει με λίην στέργοντά σε, μηδ' ἐρέθιζε.
τὰς βαρυοργήτους, μὴ θέλε πιερίδας.
ταῦτ' ἐβόων αἰεὶ, καὶ προὔλεγον, ἀλλ' ἴσα πόντῳ
ἰονίῳ μύθων ἔκλυες ἡμετέρων.
τοιγὰρ νῦν, σὺ μὲν ὧδε μέγα κλαίουσα βαΰζεις,
ἡμεῖς δ' ἐν κόλποις ἥμεθα νηϊάδος.

Ἰουλιανοῦ ἀπὸ ὑπάρχων.
αἰγυπτίου.

Στέφος πλέκων ποθ', εὗρον.
ἐν τοῖς ῥόδοις ἔρωτα.
καὶ τῶν πτερῶν κατασχὼν,
ἐβάπτισ' εἰς τὸν οἶνον.
λαβὼν δ' ἔπιον αὐτόν.
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

Οὐ δύναμαί σ' ἐθέλων θέσθαι φίλην. οὔτε γὰρ αἰτεῖς
οὔτ' αἰτοῦντι δίδως, οὔθ' ἃ δίδωμι δέχῃ.

Κῦρος, κύριός ἐστι. τί μοι μέλει, εἰ παρὰ γράμμα
οὐκ ἀναγιγνώσκω τὸν καλὸν, ἀλλὰ βλέπω;

Ματρὸς ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὄρθρινα παίζων
ἀστραγάλοις, τοὐμὸν πνεῦμ' ἐκύβευσεν ἔρως.

Πῖν' ἀσκληπιάδη. τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληΐσατο,
οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα, καὶ ἰοὺς,
πικρὸς ἔρως. τί ζῶν ἐν σποδιῇ τίθεσαι;
πίνωμεν Βάκχου ζωρὸν πόμα δάκτυλος ἀὼς,
ἢ πάλι κοιμαστὴν λύχνον ἰδεῖν μένομεν.

Καλὸς ὁ παῖς ἀχελῷε λίην καλός. εἰ δέ τις οὐχὶ
φησὶν, ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.

Ἢν ἐσίδω Θήρωνα, τὰ πάνθ' ὁρῶ. ἢν δὲ τὰ πάντα
βλέψω, τόνδε γε μὴ, τοὔμπαλιν οὐδὲν ὁρῶ.

Ἐσπούδον τὸν ἔρωτα φυγεῖν. ὁ δὲ, βαιὸν ἀνάψας
φανίον ἐκ τέφρης, εὗρέ με κρυπτόμενον.
κυκλώσας δ' οὐ τόξα, χερὸς δ' ἀκρώνυχα δισσὰ,
κνίσμα πυρὸς θραύσας, ὧδε λαβὼν ἔβαλεν.

ἐκ δὲ

ἐκ δὲ φλογὸς, ταύτῃ μοι ἐπέδραμεν. ὦ βαρὺ φέγγος
λάμψαν ἐμοὶ μέγα πῦρ φαινίον ἐν κραδίῃ.

Κύπρι, τί μοι τρισσοὺς ἐφ' ἕνα σκοπὸν ἤλασας ἰοὺς
ἐν δὲ μιῇ ψυχῇ τρισσὰ πέπηγε βέλη;
καὶ τῇ μὲν, φλέγομαι. τῇ δ' ἕλκομαι. ἣν δ' ἀπονεύσω
διστάζω. λάβρῳ δ' ἐν πυρὶ πᾶς φλέγομαι.

Οἶδα φιλεῖν, φιλέοντας. ἐπίσταμαι ἤν μ' ἀδικῇ τις,
μισεῖν. ἀμφοτέρων εἰμὶ γὰρ οὐκ ἀδαής.

Θυμὸς ἔρως, παρ' ἐμοὶ μενέτω μόνῳ. ἢν δὲ πρὸς ἄλλους
φοιτήσῃ, μισῶ κοινὸν ἔρωτα Κύπρι.

Ὄρνιθες ψίθυροι. τί κεκράγατε, τί μ' ἀνιᾶτε,
τὸν τρυφερῆς παρθένου σαρκὶ χλιαινόμενον,
ἑζόμεναι πετάλοισιν ἀηδόνες. αἱ δὲ λάλυθρον
θῆλυ γένος, δέομαι μείνατ' ἐφ' ἡσυχίης.

Εἰ μισεῖν πόνος ἐστὶ, φιλεῖν πόνος, ἐκ δύο λοιπὸν
αἱροῦμαι, χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

πόστ' αἰτεῖς; δέκα δώσω. καὶ εἴκοσι δ' αὐτίκα ἕξεις.
ἀρκεῖ σοι χρυσός. ἤρκεσε καὶ Δανάῃ.

Εἰ σὺ τῷ πελάγει σώζεις Κύπρι, κἀμὲ τὸν ἐν γᾷ
ναυηγὸν φιλίης, σῶσον ἀπολλύμενον.

Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν.
ἡ μὲν γὰρ, βραδέως. ἡ δὲ, θέλει ταχέως.

Ὄμματα μὲν χρύσεια, καὶ ὑαλόεσσα παρειὴ,
καὶ στόμα, πορφυρέης τερπνότερον κάλυκος.
δειρὴ λυγδινέη. καὶ στήθεα μαρμαίροντα.
καὶ πόδες ἀργυρέης λευκότεροι Θέτιδος.
εἰ δέ τι καὶ πλοκάμοισι διαστίλβουσιν ἄκανθαι,
τῆς λευκῆς καλάμης οὐδὲν ἐπιστρέφομαι.

Φεύγειν δεῖ τὸν ἔρωτα, κενὸς πόνος. οὐ γὰρ ἀλύξω
πεζὸς ὑπὸ πτηνοῦ πυκνὰ διωκόμενος.

Τῷ μήλῳ βάλλω σε. σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
δεξαμένη, τῆς σῆς παρθενίης μετάδος.
εἰ δ' ἄρ ὃ μὴ γίγνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα,
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

Φείδῃ παρθενίης; καὶ τί πλέον. οὐ γὰρ ἐς ᾅδην
ἐλθοῦσ' εὑρήσεις τὸν φιλέοντα κόρη.

ἐν ζωοῖσι

ἐν ζωοῖσι τὰ τερπνὰ τὰ κύπριδος, ἐν δ᾽ ἀχέροντι
ὀστέα καὶ σποδιή, παρθένε, κεισόμεθα.

Πέμπω σοι μύρον ἡδύ, μύρῳ παρέχων χάριν, οὐ σοί.
αὐτὴ γὰρ μυρίσαι, καὶ τὸ μύρον δύνασαι.

Ηδὺ θέρους διψῶντι, χιὼν ποτόν. ἡδὺ δὲ ναύταις
ἐκ χειμῶνος ἰδεῖν εἰαρινὸν στέφανον.
ἡδὺ δὲ καὶ ὁπόταν κρύψῃ μία τοὺς φιλέοντας
χλαῖνα, καὶ αἰνῆται κύπρις ὑπ᾽ ἀμφοτέρων.

Ομφαξ οὐκ ἐπένευσας ὅτ᾽ ἦς σταφυλὴ παρέπεμψω.
μὴ φθονέσῃς δοῦναι κἂν βραχὺ τῆς σταφίδος.

Κόρη τίς μ᾽ ἐφίλησεν ὑφέσπερα χείλεσιν ὑγροῖς.
νέκταρ ἔην τὸ φίλημα. τὸ γὰρ στόμα, νέκταρος ἔπνει
καὶ μεθύω τὸ φίλημα, πολὺν τὸν ἔρωτα πεπωκώς.

Ηράσθην, ἐφίλησα, ἔτυχον, κατέπραξ᾽. ἀγαπῶμαι.
τίς δὲ, καὶ ἧς, καὶ πῶς; ἡ θεὸς οἶδε μόνη.

Εκμαίνει χείλη με, ῥοδόχροα, ποικιλόμυθα.
ψυχοτακῆ, στόματος νεκταρέου πρόθυρα,
καὶ γλῆναι λασίῃσιν ὑπ᾽ ὀφρύσιν ἀστράπτουσαι,
σπλάγχνων ἡμετέρων, δίκτυα καὶ παγίδες,
καὶ μαζοὶ γλαγόεντες, εὔζυγες, ἱμερόεντες,
εὐφυέες, πάσης τερπνότεροι κάλυκος.
ἀλλὰ τί, μηνύω κυσὶν ὀστέα. μάρτυρές εἰσι
τῆς ἀθυροστομίης, οἱ Μίδεω κάλαμοι.

Ioannis Brodæi Turoneñ. Scholia.

AITEIA. modulate et suauiter canẽs. Moschopulus. λιγὺς δ᾽ ὁ ὀξύφωνος ὅθεν καὶ λιγεῖα φωνὴ καὶ λιγυρὸν μέλος. Hesych. λυγέας, κολάκας. ἔασι. me sinũt. πάντα. omnib. modis. φθέγμα, cantũ. ὁ στέφανος. sit ne rosa Dionysii corona an ipse Dionysius rosa coronæ quærit, ad Dionysii Liberi patris coronã inter sidera relatã nulla est hic allusio, nã Dionysius formosus puer est. νάρκισσος. Dioscorides. Plinius. Theophr. ἡ φιλόρρας. quæ est, πειθοῦς ῥόδον. suadę. suadelę. hic fortasse Veneris. Phurn. παρέδρους τε καὶ συνέδρους τὰς χάριτας ἔχει ἡ ἀφροδίτη καὶ τὴν πειθὼ καὶ τὸν ἑρμῆν διὰ τὸ πειθοῖ προσάγεσθαι καὶ λόγῳ καὶ χάρισι τοὺς ἐρωμένους, ἢ διὰ τὸ περὶ τὰς συνουσίας ἀγωγόν. Pausan. in Att. ἀφροδίτην δὲ τὴν πάνδημον σέβεσθαι καὶ πειθὼ κατέστησε. Rosam nõ nisi candidã ab initio, mox uulnerato Veneris pede aut Adonidis adrubuisse, Ausonius sanguine cupidinis, Dionysius Vticensis nectare effuso ala cupidinis in conuiuio deorum lasciuientis illisa poculis, commemorant. Alia Boccacius. Nonnulli ferunt à Venere rosam primum inuentam eãq; in iudicio Paridis coronatam. flos alioqui Veneri sacer est. Martialis in Epigrammate de Rosa. Sic te semper amet Venus. Virgilius in Hortulo. & floris est domina una Venus. Pausanias. ῥόδον μὲν καὶ μυρσίνη ἀφροδίτης ἱερὰ ἐστὶ καὶ οἰκεῖα ἐπὶ εἰς κάλλος λόγῳ. Aelianus. σὺ δὲ τῶν τῆς ἀφροδίτης στεφάνων τῶν ῥοδίνων. at Plutarchus. πλὴν ὅτι γε ταῖς μούσαις ὁ τῶν ῥόδων στέφανος ἀποπεφήμισται

μισαι. ἡ παῖς. Xenophila. ἀνθοβολεῖ. floribus spargat. μύθοις. sermone. αἷμα τῶν ἀνδρῶν σίφωνες. hominū sanguinē haurientes. ἰδού. e. n ecce. παρὰ σηκάδιον. mansuete. alij πρὸς ἡσυχίαν. quieta & supressa uoce loquor. ἄτεγκτοι. truces. immites. χροΐ. Xenophilę. ἄγρυπνος. Meleager. ὦ λήθαργε φιλέοντος. amantis Meleagri penitus immemor. Celsus lib. 3. cap. 20. λήθαργος scribendū non arbitror, & si κύων λήθαργος ἐστι, paroemia sit ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρα, inquit Suidas. εἶα. age. hoc tantum nuntia. πέτου. uola. σύγκοιτον. maritum. δορᾶς λέοντος. Erasmus in prouerbio, induitis me leonis exuuiū. ῥόπαλον. Herculis clauam. νὴ τὴν νηξαμένην. Venerem, cum Paphum enatauit. ἐκ τρυφερᾶς. non solum ex nomine. ἡ τρυφερά. mulieris nomen. τρυφερά. adiectiuum est. τὸ ψυχᾶς. animæ meæ animam & uitam. γραφάς. picturas, tabulas. ἔμποροι καὶ φορτηγοί. quos argento emunxerant eæ meretriculæ. ἀνθοδίαιτοι. è floribus uiuēs. ἢ σύγε σίμβλων. ex Theocriti Idyllio. 22. recte Plautus. nanq; æcastor amor & melle & felle est fœcundissimus. καὶ ἀδύνατον. quod incredibile est. κραδίας, amantū. τοῦτο τεὸν. hic tuus est nuntius. οἴδαμεν ἀγγελίαν. hoc ita esse iamdiu experti. Ista ad amantium γλυκύπικρον spectant, quod ita interpretatus est Plutarchus. αἱ γὰρ ἀναβλέψαι τὴν ἐν ὥρᾳ, καὶ τὸ διὰ τῶν ὀμμάτων ἐκπίπτων εἴτε ἄρα φῶς, εἴτε ῥεῦμα, τοὺς ἐρῶντας ἐκτήκει καὶ ἀπόλλυσι μεθ' ἡδονῆς ἀλγεδόνι μεμιγμένης, ἣν αὐτοὶ γλυκύπικρον ὀνομάζουσιν. οὔτε γὰρ ἁπτομένοις, οὔτε ἀκούουσιν, οὕτω τιτρώσκεσθαι συμβαίνει καὶ πάσχειν, ὡς προσβλεπομένοις καὶ προσβλέπουσι. Musæus. ἡδὺ καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων. Βάλλει. Iupiter. τὸ σκύφος. in quo bibit Xenophila. ὄλβιον. σκύφος. ἀπνευστὶ ψυχάν. ad ἄμυστιν, id est potionem, quæ raptim fit & sine interspiratione cōtinuato & unico suctu intuetur. ὁ παῖς γλυκύδακρυς. ex Moschi amore Drapeta aut Theocriti Idyllio 21. σμικρά. modice & ficte. νῶτα. humeris. πτερόεις. lege hypothesim Idyllij ιγ eiusdem Theocriti. τὸν θρασύν. amorem. λίνα. animum irretiat. περὶ φωλεόν. metaphora à bestijs in lustris insidiantibus. φωλεὰ ἐπὶ θηρίων. χειὰ ἐπὶ δράκοντος, ὀπὴ ἐπὶ μυρμήκων καὶ μυῶν, νεοσσία ἐπὶ τῶν μικρῶν ὀρνίθων, ἰλεὼς ἐπὶ ὄφεως. Moschopulus. ἔφυ. est. ἄκρα. longe summe. οὐδ' αὐτᾷ ματρί. Lucianus in sermone Veneris & amoris. τί δήποτε ὦ ἔρως, τοὺς μὲν ἄλλους θεοὺς κατηγωνίσω ἅπαντας, τὸν δία, τὸν ποσειδῶ, τὸν ἀπόλλω, τὴν ῥέαν, ἐμὲ τὴν μητέρα. πάντα κατὰ ἀπόπλους. nauigans, ἐπίκτητα φιλοῦσα. non ex animo sed simulate amans. ἥλως. deprehensa es. ἐκ δολίου κέρατος. arcu. Theocritus. αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλών, κοίλαν τε φαρέτραν τόξον apud poetas arcum & sagittas notas. ἄτρακτον. sagittam. οὐδ' ὅσον. ne tantillum quidem desinit ferire. χὠ θνητός. & mortalis quispiam Hippolytus. τὸν ἀλιτρόν. amorem, pestem & perniciem meam. ἔσχεθε. cohibuit aliquando, & confecit. θνητὸς ὁ δαίμων. & hic deus morti est obnoxius, igitur inquit τίθεμαι. ἀλεξάμενος. amore repulso. mira amantis inconstantia. μέσην δ' ἐπὶ πλειάδα. Cum uergiliæ mediæ occidunt. eæ sexto Idus Nouembris mane occidunt Columellæ, Proclo circa 13. Nouembris, Ptolemæo Idibus Nouembris. δύνει. Sucula undecimo Calendas Decembris mane occidit. lepus 10. scorpius 18. canis 5. pridie Calendas Orion, qui fugientes Vergilias ad occasum sequi uidetur, aut δύνει occidūt opposita signa cum ipse Pleiades cosmice oriuntur. nec scio an quis μέσην πλειάδα medium hyemis tempus poetam pinguius enarrans male ex Arato interpretaretur ita de Vergilijs scribente. ὅς σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο σημαίνειν ἐκέλευσεν. quem aperit Higinius libro 2. & Homeri scholiastes Iliad. σ. δύνει. sol. qui à brumali tropico à nobis recedens pessum it. προθύροις. ædium Helenæ. διπλοῦν χρῶμα συγκινδυνεύον. καλλίστιον non uocares sed θαλλίχιον κ in θ & τ in χ mutatis.

θ autem

